13 (8) *Ἐγένετο δὲ ὡς ἐδέξατο τὴν ἐπιστολὴν ὁ ἀρχιερεὺς καὶ ὡς ἀνέγνω, ὀργῆς μεγάλης ἐπλήσθη, καὶ τὰ ἱμάτια αὐτοῦ διέρρηξεν καί φησιν· Ἆρα ὅτι ὁ πλάνος ἐκεῖνος καὶ ἐν Ἀθήναις ἐν τοῖς φιλοσόφοις ἐχώρησεν ἀπατῆσαι αὐτούς; Ὁ δὲ Μανσημάτ, τοῦτ' ἔστιν ὁ Σατανᾶς, ὑπεισῆλθεν εἰς τὸν Ἀνανίαν καὶ ἐπλήρωσεν αὐτὸν θυμοῦ καὶ ὀργῆς· καὶ εἶπεν ὅτι Ἐὰν ἐάσω αὐτόν τε ἐκεῖνον τὸν Φίλιππον καὶ τοὺς μετ' αὐτοῦ ζῆσαι, πάντως ὁ νόμος λυθήσεται, καὶ ἡ διδασκαλία αὐτῶν ἴσως πληρώσει τὴν γῆν ὅλην. Καὶ εἰσῄει ὁ ἀρχιερεὺς εἰς τὴν οἰκίαν τὴν ἑαυτοῦ καὶ οἱ νομοδιδάσκαλοι καὶ οἱ Φαρισαῖοι, καὶ συνεβουλεύσαντο μετ' ἀλλήλων λέγοντες· Τί ποιήσωμεν περὶ τούτων; Καὶ λέγουσιν τῷ ἀρχιερεῖ· Ἀνανία ἀναστὰς ὅπλισον σεαυτὸν καὶ ἐκ τοῦ λαοῦ πεντακοσίους δυνατοὺς ἄνδρας, καὶ ἄπελθε εἰς τὰς Ἀθήνας, καὶ πάντως ἀνάλισκε τὸν Φίλιππον, καὶ τὴν διδαχὴν αὐτοῦ οὕτως ἀνατρέψεις.*

14 (9) *Καὶ ἐνδυσάμενος τὸ ἔνδυμα τὸ ἀρχιερατικὸν παρεγένετο εἰς τὴν Ἑλλάδα ἐν μεγάλῃ φαντασίᾳ μετὰ τῶν πεντακοσίων ἀνδρῶν. ὁ δὲ Φίλιππος ἦν ἐν οἰκίᾳ πρώτου τινὸς τῆς πόλεως μετὰ τῶν πεπιστευκότων ἀδελφῶν. ὁ δὲ ἀρχιερεὺς καὶ οἱ σὺν αὐτῷ καὶ οἱ τριακόσιοι φιλόσοφοι ἀνῆλθον εἰς τὸ προπύλαιον τῆς οἰκίας ἔνθα ἦν ὁ Φίλιππος. καὶ ἐμηνύθη*

[1] *ἑλλάδαν P* ‖ [2] *κύκλω τῶν P* ‖ [3] *κακωμένους X κομένους* (*sup scr κα*) *P κακουμένους Tischendorf* ‖ [4] *τοῦ om V* ‖ [5] *τί*] *τί ἂν X* ‖ [6] *ὀνόματι τῷ P ὄνομα ὃ VX ὄνομα τοῦτο ὃ Tischendorf fort recte* [7] *ἀποστείλαμεν X* ‖ [8] *ἐγέν. - ἀρχ.*] *ὦ ἀρχιερεῦ P cf praef* ‖ *ἀρχ.*] *ἀνανίας add V* ‖ [10] *scr φησιν ὅτι Ἆρα?* ‖ *ὅτι om VX* ‖ *ἐκεῖνος om V* ‖ *ἐν Ἀθ. om X* ‖ [12] *Μανσ. - ὁ om V* ‖ *μασιμάτ X* ‖ [14] *τε om VX* ‖ *ἐκ. om V* ‖ [16] *ἴσως om VX: cf 6, 25* ‖ *ὅλ. τ. γ. V πᾶσαν* (*ex παν eff*) *τ. γ. X* ‖ *εἰσῆλθεν VX* ‖ [16–17] *τὴν ἑ. οἰκ.* (*om alt τὴν*) *VX* ‖ [18] *ἐνεβουλεύσαντο P* ‖ [19] *τούτον X* ‖ *ἀρχιερεῖ Ἀνανίᾳ· Tischendorf* ‖ *Ἀν. om VX* ‖ [20] *ὥπλισεν* (*sed ο ex ε eff*) *V* ‖ *σεαυτῷ X om V* ‖ *καὶ om VX* ‖ *ἄνδ. δυν. V* ‖ *δυν. om X* ‖ [21] *τὰς om V* ‖ *ἀνελεῖς VX* ‖ [22] *αὐτοῦ*] *καὶ add X* ‖ *ἀναστρέψῃς X* ‖ [23] *καὶ om X* ‖ *ἀρχ. ἐνδ.* (*om alt τὸ*) *X* ‖ *παρ.*] *δὲ add X* ‖ [25] *ἀνδρῶν om VX* ‖ *πρώτου*] *πρός P* ‖ [26] *μετὰ||||τῶν P* ‖ [27] *αὐτῷ*] *πεντακόσιοι add V: cf 20*

τῷ Φιλίππῳ ἑστάναι αὐτοὺς ἔξω· καὶ ἀναστὰς ἐξῆλθεν. καὶ ὡς εἶδεν αὐτὸν ὁ ἀρχιερεύς, λέγει πρὸς αὐτόν· Ὦ Φίλιππε φαρμακὲ καὶ μάγε· γνωρίζω γάρ σε ὅτι εἰς Ἱερουσαλὴμ ὁ κύριός σου ὁ πλάνος ὠνόμασέν σε υἱὸν βροντῆς· οὐκ ἤρκεσεν ὑμῖν πᾶσα ἡ Ἰουδαία, ἀλλὰ καὶ ὧδε ἤλθατε πλανῆσαι Ἀθηναίους ἄνδρας φιλοσόφους; Καὶ ὁ Φίλιππος εἶπεν· Εἴθε ὦ Ἀνανία ἀφῄρητο τὸ κάλυμμά σου τῆς ἀπιστίας ἀπὸ τῆς καρδίας σου, ἵνα γνῷς τοὺς λόγους σου καὶ ἀπ' αὐτῶν μάθῃς εἰ ἄρα πλάνος ἐγὼ ἢ σύ.

15 (10) Ταῦτα ἀκούσας ὁ Ἀνανίας εἶπεν τῷ Φιλίππῳ·
99 T Ἀποκρι|θήσομαι τοῖς πᾶσιν. Καὶ εἶπεν ὁ Φίλιππος· Λάλησον. Λέγει ὁ ἀρχιερεύς· Ὦ ἄνδρες τῆς Ἑλλάδος, οὗτος ὁ Φίλιππος πιστεύει εἰς ἄνθρωπον καλούμενον Ἰησοῦν, ὃς ἐγεννήθη ἐν ἡμῖν, ὃς καὶ ἐδίδαξεν τὴν αἵρεσιν ταύτην, καὶ τὸν νόμον καὶ τὸν ναὸν κατέλυσεν, καὶ τὸν καθαρισμὸν τὸν διὰ Μωσέως κατήργησεν καὶ τὰ σάββατα καὶ τὰς νεομηνίας, Ὅτι φησὶν οὐκ εἰσὶν ὑπὸ θεοῦ τεταγμέναι. Καὶ ὡς εἴδομεν ὅτι τὸν νόμον οὗτος καταλύει, ἐπαναστάντες ἐσταυρώσαμεν αὐτόν, ἵνα μὴ πληθυνθῇ ἡ διδαχὴ αὐτοῦ· ἐστράτευσεν γὰρ ὑπ' αὐτῶν πλήθη πολλά, καὶ ἔδωκεν μαρτυρίαν οὐ καλήν, ἐσθίειν τε πάντα ἁπλῶς καὶ συμμιγεῖς εἶναι μετὰ τῶν ἐθνῶν. καὶ τοῦτον παραδόντες ἐφονεύσαμεν καὶ κατεθάψαμεν αὐτὸν ἐν μνημείῳ· οὗτοι δὲ οἱ μαθηταὶ αὐτοῦ κλέψαντες αὐτὸν διεκήρυξαν πανταχοῦ ὅτι ἠγέρθη ἐκ τῶν νεκρῶν, καὶ ἐπλάνησαν πολὺ πλῆθος, ὁμολογήσαντες αὐτὸν εἶναι ἐκ δεξιῶν τοῦ θεοῦ ἐν οὐρανοῖς. ἀλλὰ δὲ καὶ αὐτοὶ οὗτοι τὴν περιτομὴν ἔχοντες ὡς καὶ ἡμεῖς· οὓς καὶ ἐδιώξαμεν, ἐπειδὴ πολλὰς δυνάμεις ἤρξαντο ποιεῖν ἐν

[4] cf Marc 3, 17 || [17] cf Matth 5, 17 || [25] cf Eph 1, 20

[5] *ἤλθετε V || Ἀθ. om P || [7] σου om V || [8] σου utrumque om X || λ.. μου Tischendorf recte || μ. εἰ] μαθήσῃ (P) Tischendorf || [9] σύ] ἐσοί P || [11] εἶπεν] φησὶν X om V || λάλ.] καὶ add X || [13] καλ..] λεγόμενον V || [14] ἐδ.] ἀνέδειξεν X || [16] κ. τὰ σάβ. om P: del?? cf ep ad Col 2, 16 || νεουμηνίας P: scr νουμηνίας?? || [17] θ.] τοῦ θ. X || scr τεταγμένα?? || οἴδαμεν VX (ἴδωμεν P) || τὸν om P || [18] οὕτω P om X || [19] διδασκαλία V || ὑπ' α.] ἑαυτῷ X del Tischendorf: scr ὑπ' αὐτὸν? an ὑπ' αὐτῷ? || πάθη P || [20] ἐσθίει P || πάντατα P || [21] σ. ε. μ.] συμμιγήσιν αἵματα P συνμήγησιν μετὰ X συμμίγνυσθαι μετὰ V συμμίγνυσιν αἵματα Tischendorf || τοῦτον] οὕτως V οὕτω X || [23] ἐκήρυξαν X || [24] ἐπλάνεσαν πολὺν P || [26] δὲ om V δὴ Tischendorf: intercidisse aliquid putauerim || ἔχουσιν VX || [27] οὓς καὶ] οὐκ P Tischendorf || ἐδιδάξαμεν X ἐδίωξαν Tischendorf || ἐν om X τῇ add V: cf 9, 2*

Ἱερουσαλὴμ διὰ τοῦ ὀνόματος τοῦ Ἰησοῦ· καὶ ἐκβληθέντες ἐξ Ἱερουσαλὴμ περιέρχονται τὴν οἰκουμένην καὶ πάντας ἀπατῶσιν ἐν τῇ μαγείᾳ ἐκείνου τοῦ Ἰησοῦ, ὡς καὶ νῦν οὗτος ὁ Φίλιππος ἦλθεν πρὸς ὑμᾶς τῇ αὐτῇ τέχνῃ ἀπατῆσαι ὑμᾶς. ἀλλ' ἐγὼ τοῦτον μεθ' ἑαυτοῦ ἀποφέρω εἰς Ἱερουσαλήμ, ὅτι καὶ ζητεῖ αὐτὸν ὁ Ἀρχέλαος ὁ βασιλεὺς τοῦ ἀποκτεῖναι αὐτόν.

16 (11) Ὡς δὲ ἤκουσαν ταῦτα τὸ περιεστῶς πλῆθος, οἱ μὲν ὑπὸ τῆς πίστεως ἐστηριγμένοι οὐκ ἐκινήθησαν οὐδὲ ἐδιψύχησαν· ᾔδεισαν γὰρ ὅτι Φίλιππος νικήσει ἐν τῇ δόξῃ τοῦ Ἰησοῦ. ὁ οὖν Φίλιππος ἀπελογήσατο ἐν τῇ δυνάμει τοῦ Χριστοῦ μετὰ μεγάλης παρρησίας ἀγαλλιῶν καὶ λέγων· Ἐγὼ ἄνδρες Ἀθηναῖοι καὶ οἱ ἐν ὑμῖν φιλόσοφοι ἦλθον πρὸς ὑμᾶς οὐ λόγοις διδάξαι ἀλλ' ἐν ἀποδείξει θαυμασίων, ὧν καὶ ἀπὸ μέρους τάχα ἐθεάσασθε δι' ἐμοῦ γεγενημένων ἐν ἐκείνῳ τῷ ὀνόματι ᾧ οὗτος ὁ ἀρχιερεὺς ἀποβάλλεται. ἰδοὺ οὖν βοήσω 100 T
πρὸς τὸν θεόν μου καὶ διδάξω ὑμᾶς, καὶ ὑμεῖς δοκιμάσατε τοὺς τῶν ἀμφοτέρων λόγους.

17 (12) Ταῦτα ἀκούσας ὁ ἀρχιερεὺς ἔδραμεν ἐπὶ τὸν Φίλιππον μαστίξαι θέλων αὐτόν, καὶ αὐτῇ τῇ ὥρᾳ ὅλῃ ἡ χεὶρ αὐτοῦ ἐξηράνθη καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἐτυφλώθησαν· ὁμοίως δὲ καὶ οἱ πεντακόσιοι οἱ μετ' αὐτοῦ ἐτυφλώθησαν καὶ αὐτοί. καὶ ἐνύβριζον καὶ κατεθεμάτιζον τὸν ἀρχιερέα λέγοντες ὅτι Ἐξερχόμενοι τὴν Ἱερουσαλὴμ ἐλέγομέν σοι· Κατάστειλον· ἄνθρωποι γὰρ ὄντες θεῷ μάχεσθαι οὐ δυνάμεθα. Ἀλλὰ δεόμεθά σου ἀπόστολε τοῦ θεοῦ τοῦ Ἰησοῦ Φίλιππε, δὸς ἡμῖν τὸ δι' αὐτοῦ φῶς, ἵνα καὶ ἡμεῖς ἀληθῶς αὐτοῦ ἐσόμεθα δοῦλοι.

18 (13) Ὁ δὲ Φίλιππος ἰδὼν τὸ γενόμενον ἔλεγεν· Ὦ

---

[1] Ἱερ. *om X* ‖ [3] ἐκ. *om X* ‖ [4] π. ἡμᾶς *P* ‖ ἀ. ἡμᾶς *P* βουλόμενος *add V* ‖ [5] ἑαυτὸν *X* ‖ [6] ὁ *utrumque om V* ‖ [8] ἤκουσεν *X: recte?* ‖ περιεστὸς *Tischendorf* ‖ [9] τῆς *om VX* ‖ οὔτε *X* ‖ [10] Φ.] ὁ φ. *X* ‖ νικῆσαι *X* πάντας *add V* ‖ [11] Ἰησ.] χριστοῦ *V* ‖ ἀπεκρίνατο *X* ‖ [14] θαυμάτων *X* ‖ ὧν *om P* ‖ [15] δι'] τῶν δι' *P* ‖ γεγενημένα *X* ‖ [16] ᾧ οὗτος] οὗτος δὲ *VX* ‖ ἀποβ.] τοῦτο τὸ ἅγιον ὄνομα *add VX* ‖ [17] ὑμᾶς] τὸ τίς εἰμι *add V* ‖ [19] ἀρχ.] ἀνανίας *add V* ‖ [20] ⟨ἐν⟩ αὐτῇ? *cf 14, 13; 15, 14; 20, 7; 39, 5; 16; c 133 i Θ* ‖ ὅλῃ *om VX* ‖ [21–22] ὁμ. δὲ *om VX: cf 11, 16* ‖ [22] μετ' α. πεντ. ἄνδρες (*om alt* οἱ) *X* ‖ κ. α. ἐτ. *VX: cf 11, 16* ‖ [23] κατεμάστιζον *X* ‖ λέγ.] καὶ ἔλεγον *VX* ‖ [24] τὴν] τῆς *V* ‖ κατάστ.] σου τὸ θράσος καὶ τὸν θυμὸν *add V: recte? cf 17, 13; 22, 33* ‖ [26] τ. θ. τ. Ἰ.] ἰησοῦ χριστοῦ τ. θ. *V* τ. χριστοῦ *X: scr* τ. θ. Ἰ.? ‖ [29] γεγενημένον *VX* ‖ ὦ] ἡ *add X*

ἀσθενὴς φύσις, ἥτις ἐπαίρει μὲν ἑαυτὴν ἐφ' ἡμᾶς, εὐθέως δὲ εἰς ἑαυτὴν καταταπεινουμένη· ὦ ἡ πικρὰ θάλασσα τὰ ἑαυτῆς κύματα εἰς ἡμᾶς ταράσσουσα καὶ ἐκφοβεῖν νομίζουσα, ἀλλὰ παρ' ἑαυτῇ τὰ κύματα κοιμίζουσα. νῦν οὖν ὁ ἡμέτερος καλὸς οἰκονόμος, Ἰησοῦ, τὸ ἅγιον φῶς, οὐ παρεῖδες ἡμᾶς τὸ σύνολον κράζοντας ἄνω πρὸς σὲ ἐν πᾶσι τοῖς καλοῖς ἔργοις, ἀλλ' ἦλθες τελέσαι αὐτὰ δι' ἡμῶν. νῦν οὖν ἐλθὲ Ἰησοῦ κύριε, ἔλεγξον τὴν ἀπόνοιαν τούτων.

19 (14) *Λέγει ὁ ἀρχιερεὺς τῷ Φιλίππῳ· Ἆρα μὴ νομίζεις ἀποστρέψαι ἡμᾶς ἀπὸ τῶν παραδόσεων τῶν πατέρων ἡμῶν καὶ τοῦ θεοῦ τῆς ἐρήμου τὸ μάννα καὶ Μωσέως, καὶ προσδοκᾷς ἐξακολουθῆσαι ἡμᾶς τῷ Ναζωραίῳ, τῷ Ἰησοῦ; Εἶτα λέγει αὐτῷ ὁ Φίλιππος· Ἰδοὺ δεηθήσομαι τοῦ θεοῦ μου ἵνα ἔλθῃ καὶ φανερώσῃ ἑαυτὸν ἔμπροσθέν σου καὶ τῶν πεντακοσίων καὶ ἐνώπιον τῶν ὧδε πάντων· ἴσως γὰρ πιστεύσεις μετανοήσας. ἐὰν δὲ μέχρι τέλους ἐπιμείνῃς τῇ ἀπιστίᾳ, ἔρχεται ἐπὶ σὲ παράδοξον πρᾶγμα, ὅπερ λαληθήσεται εἰς γενεὰς γενεῶν, ὥστε καὶ κατέλθῃς ζῶν κάτω εἰς τὸν ᾅδην ἐνώπιον πάντων τῶν ὁρώντων σε ὅτι ἔτι διαμένεις ἐν τῇ ἀπιστίᾳ, ὅτι καὶ ζητεῖς ἀποστρέψαι τὸ πλῆθος τοῦτο ἀπὸ τῆς ἀληθινῆς ζωῆς. Καὶ ὁ Φίλιππος προσηύξατο λέγων· Ὦ πατερ ἅγιε* 101 T *τοῦ | ἁγίου υἱοῦ Ἰησοῦ Χριστοῦ, ὁ χαρισάμενός μοι τὸ εἰς αὐτὸν πιστεύειν, πέμψον σου τὸν ἀγαπητὸν υἱὸν Ἰησοῦν Χριστὸν ἐλέγξαι τὸν ἄπιστον ἀρχιερέα, ἵνα τὸ σὸν ὄνομα ἐν τῷ ἀγαπητῷ Χριστῷ δοξασθῇ.*

20 (15) *Ἔτι δὲ ταῦτα βοῶντος τοῦ Φιλίππου ἐξαίφνης ἠνεῴχθησαν οἱ οὐρανοί, καὶ ἐφάνη ὁ Ἰησοῦς κατελθὼν ἐν*

---

[1] *ἐπ. μ.] ἀπέρρι μὲν P ἀπέρριψεν Tischendorf* ‖ [2] *ταπεινουμένη VX: scr καταπίπτει ταπεινουμένη?* ‖ [3] *ἐκφοβῆσαι X ἐμφοβῆσαι V ἐκβάλλειν Tischendorf* ‖ [4] *ἑαυτὴν X* ‖ [4–7] *νῦν - ἡμῶν om V* ‖ [4] *ἡμ.] καὶ add X* ‖ [5] *ἰησοῦς X* ‖ *παρίδεις X* ‖ [6] *ἀλλὰ X* ‖ [7] *κύρ.] scr καὶ??* ‖ [8] *ἔλ.] καὶ ἔλ. V* ‖ [9] *μὴ om V μὴν Tischendorf* ‖ [10] *ἡμῶν om V* ‖ [11] *καὶ - Μωσ. om (cum fenestra) X* ‖ *τῆς - Μωσ. om V* ‖ *τὸ μάννα del cum Tischendorf?? ⟨τοῦ δόντος ἡμῖν⟩ τὸ μάννα? cf 11, 10* ‖ [12] *τῷ alt om VX* ‖ [13] *λέγει om VX αὐτῷ post ὁ φ. X om V* ‖ *ἰδοὺ|||| P* ‖ [14] *ἔλθοι X* ‖ *αὐτὸν V* ‖ [15] *τῶν ὧδε om V* ‖ *πιστεύεις X* ‖ [17] *σοι P* ‖ *λαλ.] καὶ λαλ. V* ‖ [18] *καὶ om VX κατελθεῖν (σε add V) ζῶντα VX nescio an recte* ‖ *τὴν ἄβυσσον VX: cf 15, 14* ‖ [19] *ἀπ.] σου add X* ‖ *ὅτι om V* ‖ [22] *ἀγ.] ἀγαπητοῦ X: cf 23; 25 υἱ. om VX σου add X fort recte: cf 3* ‖ *με V* ‖ [25] *Χρ.] σου χριστῷ X σου υἱῷ V: cf 22* ‖ [26] *τοῦ φιλίππου in rasura X* ‖ [27–11,3] *ὁ Ἰ. - χιόνος] στύλος πυρὸς ἀπὸ τοῦ οὐρανοῦ μέχρι τῆς γῆς κατερχόμενος ἀναμέσον τοῦ περιεστῶτος ὄχλου καὶ τοῦ ἀποστόλου ὥστε μὴ ὑποφέροντας τοὺς περιεστῶτας*

τιμιωτάτῃ δόξῃ καὶ ἀστραπῇ, καὶ τὸ πρόσωπον αὐτοῦ ἑπταπλάσιον λάμπον ὑπὲρ τὸν ἥλιον, καὶ τὰ ἱμάτια αὐτοῦ λευκότερα χιόνος, ὡς καὶ πάντα τὰ εἴδωλα τῶν Ἀθηνῶν πεσεῖν ἐξαίφνης ἐπὶ τὴν γῆν καὶ ὅλα συντριβῆναι· ἔφυγον δὲ καὶ οἱ ἐν αὐτοῖς δαίμονες οἰκοῦντες ἐκβοῶντες· Ἰδοὺ καὶ ἡμεῖς φεύγομεν διὰ τὸν ἐπιφανέντα τῇ πόλει Ἰησοῦν τὸν υἱὸν τοῦ θεοῦ. Εἶτα λέγει ὁ Φίλιππος τῷ ἀρχιερεῖ· Ἀκούεις τῶν δαιμόνων ἐκβοώντων διὰ τὸν ὀφθέντα, καὶ ἀπιστεῖς πρὸς τὸν παρόντα ὅτι αὐτὸς κύριος τῶν πάντων; Λέγει ὁ ἀρχιερεύς· Ἐγὼ οὐκ ἔχω ἄλλον θεὸν ἢ τὸν ἐν τῇ ἐρήμῳ δόντα τὸ μάννα.

21 (16) *Ἀνερχομένου δὲ τοῦ Ἰησοῦ εἰς τὸν οὐρανὸν ἐγένετο σεισμὸς μέγας σφόδρα, ὥστε σχισθῆναι τὸν τόπον ἐφ' ὃν εἱστήκεισαν· καὶ δραμόντες οἱ ὄχλοι ἔκειντο πρὸς τοὺς πόδας τοῦ ἀποστόλου κράζοντες· Ἐλέησον ἡμᾶς ὦ θεοῦ ἄνθρωπε. Ὁμοίως καὶ οἱ πεντακόσιοι ἄνδρες ἔκραξαν καὶ αὐτοὶ πάλιν· Ἐλέησον ἡμᾶς ὦ Φίλιππε, ἵνα σὲ ἴδωμεν καὶ διὰ σοῦ τὸν φωστῆρα τῆς ζωῆς Ἰησοῦν· ὅτι ἐλέγομεν τούτῳ τῷ ἀπίστῳ ἀρχιερεῖ ὅτι Ἄνθρωποι ἁμαρτωλοὶ ὄντες θεῷ μάχεσθαι οὐ δυνάμεθα.*

22 (17) *Τότε λέγει ὁ Φίλιππος· Οὐκ ἔστιν φθόνος ἐν ἡμῖν, ἀλλ' ἡ τοῦ Χριστοῦ χάρις ἀναβλέψαι ὑμᾶς ποιήσει· πρότερον δὲ ὑμῶν τὸν ἀρχιερέα ἀναβλέψαι ποιήσω, ὅπως ἐπὶ τούτῳ πλέον ὑμεῖς πιστεύσητε. Καὶ φωνὴ ἐξ οὐρανοῦ ἠνέχθη τῷ Φιλίππῳ· Φίλιππε υἱὲ ποτὲ βροντῆς, νῦν δὲ πρᾳότητος, εἴ τι ἂν αἰτήσῃ τὸν πατέρα μου, ποιήσει σοι. Καὶ πᾶς ὁ*

[25] cf Marc 3, 17 ‖ [26] cf Io 14, 14

καταπεσεῖν ἐπιπρόσωπον ἐπὶ τὴν γῆν καὶ φέβος καὶ τρόμος ἔλαβεν ἅπαντας V

[3] *χι.] τῆς χι. X* ‖ *ὥστε V* ‖ *πάντα om V* ‖ *καταπεσεῖν V* ‖ [4] *ἐξ. om V* ‖ *ὅλα] ὁ λαὸς P om V* ‖ *συντριβῆς P εἰς χοῦν add V* ‖ *δὲ om P* ‖ [5] *οἰκ. om X* ‖ *ἐβόων P: cf 8* ‖ *καὶ om VX* ‖ *φεύγωμεν P* ‖ [6] *Ἰ.] χριστὸν add V* ‖ [8] *καὶ] καὶ ἀκμὴν V* ‖ [8–9] *πρ. τ. παρ. om V* ‖ [9] *κύρ.] ἐστιν κύρ. V κύρ. ἐστιν X* ‖ [10] *ἢ] εἰ μὴ VX fort recte: cf 14, 20* [10–11] *δ. τὸ μ. om PX: del? cf 10, 11* ‖ [12] *Ἰ. - οὐρ.] φωτεινοῦ στύλου τοῦ φανέντος εἰς οὐρανοὺς V* ‖ *ἐν τῷ οὐρανῷ X* ‖ [13] *τὸν] καὶ τὸν V ὦ V* ‖ [14] *ἱστήκασιν P* ‖ [15] *κράζ.] λέγοντες X* ‖ *ὦ om VX* ‖ [16] *ὁμ. om VX: cf 9, 21* ‖ *καὶ αὐτοὶ ἔκρ. VX: cf 9, 22* ‖ [17] *ἡμ.] καὶ ἡμ. V* ‖ [18] *ὅτι] καὶ add VX fort recte* ‖ *ἐλέγαμεν X* ‖ *τῷ ἀπ. τούτῳ X* ‖ [19] *ἱερεῖ VX: cf 15, 16* ‖ [22] *ὑμῖν X* ‖ *Χρ. om X* ‖ *ἡμᾶς P* ‖ [23] *ἀν.] νῦν add X* [24] *πλεῖον X* ‖ [24–12,2] *καὶ φ. - ἐγένετο om V* ‖ [26] *ἂν] ἐὰν X* ‖ *αἰτίσεις U ποι. σοι] δώσει σοι δι' ἐμοῦ X*

ὄχλος ἔκθαμβος ἦν ἐπὶ τῇ φωνῇ· τὸ γὰρ ἦχος αὐτῆς μεῖζον βροντῆς ἐγένετο. Τότε λέγει ὁ Φίλιππος τῷ ἀρχιερεῖ· Ἐν τῷ ὀνόματι τῆς δυνάμεως τῆς φωνῆς τοῦ κυρίου μου Ἰησοῦ ἀνάβλεψον Ἀνανία. Καὶ εὐθέως ἀνέβλεψεν, καὶ περιβλεψάμενος εἶπεν· Ὦ φησιν τί ἐστιν τὸ τῆς μαγείας τοῦ Ἰησοῦ; ὅτι
102 T *οὗτος ὁ Φίλιππος ἐν ὀλίγῳ με ἐτύφλωσεν, καὶ πάλιν ἐν ὀλίγῳ ἀναβλέψαι με ἐποίησεν. Τί οὖν; ἔφη ὁ Φίλιππος, πιστεύεις εἰς τὸν Ἰησοῦν; Λέγει ὁ ἀρχιερεύς· Μὴ γὰρ δύνασαί με μαγεῦσαι καὶ πεῖσαι; Οἱ δὲ πεντακόσιοι οἱ μετ' αὐτοῦ, ἀκούσαντες ὅτι ὁ ἀρχιερεὺς αὐτῶν ἀναβλέψας ἔτι ἀπιστεῖ, ἔλεγον τοῖς παρεστῶσιν δεηθῆναι τοῦ Φιλίππου ὅπως αὐτοὺς ἀναβλέψαι ποιήσῃ, Ἵνα τὸν ἄπιστον ἀρχιερέα τοῦτον ἀνέλωμεν.*

23 (18) *Εἶπεν δὲ ὁ Φίλιππος· Μὴ κακοῖς ἀμύνεσθε. Καὶ λέγει τῷ ἀρχιερεῖ· Σημεῖον ἐπὶ σοὶ ἔσται τι μέγα. Λέγει πρὸς τὸν Φίλιππον· Οἶδα ὅτι φαρμακὸς εἶ καὶ τοῦ Ἰησοῦ μαθητής· οὐ μαγεύεις με. Ὁ δὲ ἀπόστολος εἶπεν πρὸς τὸν Ἰησοῦν· Ζαβαρθάν, σαβαθαβάτ, βραμανούχ, ταχὺ ἐλθέ. Καὶ εὐθὺς ἡ γῆ ἐσχίσθη κατὰ τὸ μέρος τοῦ Ἀνανίου καὶ κατέπιεν αὐτὸν μέχρι γονάτων. Καὶ ἔκραξεν Ἀνανίας· Ὦ μεγάλη τῆς ἀληθοῦς μαγγανείας, ὅτι τὴν γῆν ἔσχισεν, ἀπειλήσαντος αὐτὴν ἑβραϊστί τε ἐνορκισαμένου τοῦ Φιλίππου, καὶ συνέχει με μέχρι γονάτων, καὶ ἐκ τῶν πτερνῶν εἰς τὰ κάτω τινὲς ὥσπερ ὄγκινοι καθέλκουσίν με, ἵνα πιστεύσω τῷ Φιλίππῳ.*

---

[3] *τ. δυν. τ. φ.* om V ‖ *μου*] *ἡμῶν* V om X ‖ *Ἰ.* om Tischendorf *χριστοῦ* add V ‖ [4] *εὐθὺς* V ‖ [5] *εἶπεν* om VX Tischendorf ‖ *φησι ὦ* V *ἔφη ὦ* X ‖ *τί - τῆς*] *τῆς τοσαύτης* VX ‖ [6] *οὕτως* X ‖ *ἐν ὀλ.*] *ἐνὶ λόγῳ* utroque loco VX fort recte: cf tamen 9, 20 ‖ *ἐτ. με* VX ‖ [7] *ἐπ. με* X ‖ [7–9] *τί - πεῖσαι* om V ‖ [7] *Φ.*] *ἰησοῦς* semirasum X ‖ [9] *οἱ* alt om X ‖ [11] *περιεστῶσιν* VX ‖ *δεήθητε* VX ‖ *τῷ φιλίππῳ* X ‖ [11–12] *α. ἀ. π.*] *ἡμᾶς ἀ. π.* X *ἀ. π. καὶ ἡμᾶς* V ‖ [12] *τοῦτ. ἀρχ.* VX ‖ [13] *εἰπὼν* X ‖ *ἀμύνεσθαι* VX: cf 33, 31; Th c 167 e ‖ *καὶ*] *εἶτα* V om X ‖ [14] *σὲ ἔσηται* X ‖ *τι* om X *καὶ* add V ‖ *λέγ.*] *αὐτὸς* add V ‖ [16] *οὐ*] *ἀλλ' οὐ* V ‖ [16–17] *τὸν Ἰ. - ἐλθέ*] *ἀνανίαν ἐπειδὴ τοσαῦτα ἤκουσας καὶ οἶδας καὶ ἔτι ἀπιστεῖς ἐν ὀνόματι ἰησοῦ χριστοῦ τοῦ ἀπὸ σοῦ βλασφημουμένου ἀνοιξάτω ἡ γῆ τὸ ἑαυτῆς στόμα καὶ καταπιέτω σε μέχρι τῶν γονάτων* V ‖ [17] *σαβαρθάν* Tischendorf ‖ *σαβαθάβτ* P ‖ [18] *σχισθῆσα ἡ γῆ* V ‖ *ἐσείσθη* X ‖ [18–19] *κατὰ - αὐτὸν*] *ἐδέξατο αὐτὸν κατὰ τὴν κέλευσιν φιλίππου* V ‖ [18] *ἀνανία* X ‖ [19] *αὐτ*] *ἡ γῆ* add X ‖ *μέχ.*] *τῶν* add V: cf 22 ‖ *γονάτου* P: cf 22 ‖ *Ἀν.*] *ὁ ἀν.* X ‖ *μεγάλης* X *δύναμις* add Tischendorf fort recte ‖ [20] *τίς* (i e *τις*) *ἀληθῶς μαγεία* V non male ‖ *τῆς* om X ‖ *ἡ γῆ* VX ‖ *ἐσχίσθη* V *ἑαυτὴν* add X ‖ [20–21] *ἀπειλ. - Φ.* om V ‖ [21] *αὐτοῦ* X *αὐτῇ* Tischendorf ‖ *τε*] *καὶ* X om P ‖ [22] *μέχ.*] *τῶν* add VX: cf 19; 14, 14 ‖ [23] *ὡς προς ὀγκίνους* P ‖ *ὀγκίνοις* V

ἀλλ᾽ οὐ δύναταί με πεῖσαι· ἀπὸ γὰρ τῆς Ἱερουσαλὴμ ἐγὼ ἐπίσταμαι τὰς μαγείας αὐτοῦ.

24 (19) *Ὀργισθεὶς δὲ ὁ Φίλιππος εἶπεν· Ὦ γῆ σύσφιγξον αὐτὸν μέχρι τοῦ ὀμφαλοῦ. Καὶ εὐθὺς κατεσύρη. καὶ ἔλεγεν· Ὁ μὲν εἷς μου ποὺς κάτωθεν κρυσταλλοῦται, ὁ δὲ ἕτερος δεινῶς ἐκθερμαίνεται· ἀλλ᾽ ὑπὸ τῆς μαγείας σου Φίλιππε οὐ νικηθήσομαι. πλὴν οὖν ὅτι κακῶς κάτωθεν βασανίζομαι, ὅλως δὲ οὐ πιστεύω. Οἱ δὲ ὄχλοι ἠθέλησαν αὐτὸν λιθάσαι. ὁ δὲ Φίλιππος Μὴ οὕτως φησίν. τοῦτο γὰρ τέως γέγονεν, καταποθῆναι αὐτὸν μέχρι τοῦ ὀμφαλοῦ, ἵνα σωτηρία γένηται τῶν ψυχῶν ὑμῶν, ὅτι παρ᾽ ὀλίγον ἔμελλεν ἕλκειν ὑμᾶς ἐν τοῖς κακοῖς αὐτοῦ λόγοις πρὸς ἀπιστίαν. ἀλλ᾽ εἰ καὶ αὐτὸς μετενόησεν, ἀναγάγω αὐτὸν ἐκ τῆς γῆς πρὸς σωτηρίαν τῆς ψυχῆς αὐτοῦ· ἀλλὰ τάχα οὐκ ἔστιν ἄξιος σωτηρίας. ἐὰν οὖν ἐπιμείνῃ τῇ ἀπιστίᾳ, βλέψετε αὐτὸν | βυθισθέντα κάτω εἰς τὴν* 103 T *ἄβυσσον· εἰ μὴ κύριος μέλλει τοὺς ἐν τῷ ᾅδῃ ἐγείρειν, ἵνα ὁμολογήσωσιν ὅτι κύριος Ἰησοῦς. ἐν ἐκείνῃ γὰρ τῇ ἡμέρᾳ πᾶσα γλῶσσα ἐξομολογήσεται ὅτι κύριος Ἰησοῦς, καὶ ὅτι μία δόξα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ σὺν ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας.*

25 (20) *Καὶ εἰπὼν ταῦτα ὁ Φίλιππος διεπέτασεν τὴν δεξιὰν αὐτοῦ χεῖρα σκεπάσας δι᾽ ἀέρος ἐπάνω τῶν πεντακοσίων ἀνδρῶν ἐν τῷ ὀνόματι τοῦ Ἰησοῦ. καὶ ἀνεῴχθησαν αὐτῶν*

[18] cf Phil 2, 11

---

[2] *αὐτοῦ] καὶ τοῦ διδασκάλου αὐτοῦ add V* ‖ [3] *δὲ] τε V* ‖ *σύσφιξον P* ‖ [4] *ὀμφ.] ἵνα μὴ βλαφημῇ τὸν υἱὸν τοῦ θεοῦ καὶ ποιητήν σου add V* ‖ *εὐθέως X* ‖ *κατεσύρει PV Tischendorf ὁ ἀνανίας add V* ‖ *ἔλ.] ἐβόα λέγων V* ‖ [5–7] *ὁ μὲν - νικ.] οἴμοι οἴμοι δεινῶς οἱ πόδες μου κάτω ὑποκαίονται ὑπο σφοδροῦ πυρὸς φλογιζόμενοι καὶ οὐκ ὑποφέρω τὴν βίαν ἀλλὰ φίλιππε οὐ μή μου νικήσης οὐδ᾽ οὐ μὴ πιστεύσω τῶ ἰησοῦ τῶ ὑπο σοῦ κηρυττομένω V* ‖ [5] *μὲν om X* ‖ [7] *οὖν om VX* ‖ [8] *ὅλ. δὲ οὐ π. om V* ‖ *ὄχλ.] λαβόντες λίθους add V* ‖ [9] *φησίν] ἀδελφοί V* ‖ *γέγ. τέως VX τὸ add V nescio an recte* ‖ [10] *(γέ)νοιται in ras X* ‖ [11] *ἡμῶν P* ‖ *ἤμελλεν X* | *ἡμᾶς P* ‖ [12] *ἀλλὰ καὶ α. εἰ μετανοήσειεν V* ‖ *μετανοεῖ X* ‖ [13] *ἀνήγαγον X ἂν add V* ‖ [14] *οὖν sup scr P om X* ‖ *ἐνμείνῃ et add αὐτοῦ V* ‖ [15] *βλέψει V μέλλεται X* ‖ *ἑαυτὸν V* ‖ *κάτω om V* ‖ [16–20] *εἰ - αἰῶνας om V* | [16] *εἰ μὴ] ἐνῆ X* ‖ *μέλλῃ ὁ κύρ. X* ‖ *τῷ om X* ‖ [17] *ὁμολογήσουσιν X* ‖ *Ἰ.] χριστὸς add X* ‖ *ἐκ.] αὐτῇ X* ‖ [19] *ἁγ.] τῷ ἁγ. Tischendorf* ‖ *τοὺς om X* [22] *σκ. δ. ἀ. om V* ‖ *σκ.] κατασείσας X: scr σφραγίσας??* ‖ *ἀέρο//ς X* [23] *ἀνδρ.] τὸ σημεῖον τοῦ σταυροῦ ποιήσας βοήσας μεγάλῃ τῇ φωνῇ add V τοῦ om VX: del?* ‖ *Ἰ.] χριστοῦ ἀνοιχθήσονται ὑμῶν οἱ ὀφθαλμοὶ ὅπως ἴδητε τὸν ἀρχιερέα ὑμῶν εἰς ἀπώλειαν χωροῦντα διὰ τὴν ἀπιστίαν αὐτοῦ add V* ‖ *ἀν.] εὐθέως ἀν. V* ‖ [23]–14,[1] *α. οἱ ὀ.] οἱ ὀ. τῶν πεντακοσίων ἀνδρῶν V*

οἱ ὀφθαλμοί, καὶ ὕμνησαν τὸν θεὸν πάντες ἐν ἑνὶ στόματι λέγοντες· Εὐλογοῦμέν σε Χριστὲ Ἰησοῦ τὸν θεὸν τοῦ Φιλίππου ὅτι ἐδίωξας ἀφ' ἡμῶν τὴν πήρωσιν καὶ ἔδωκας ἡμῖν τὸ σὸν φῶς τὸ εὐαγγέλιον. Ὁ δὲ Φίλιππος κατ' ὀλίγον ἦν ἀγαλλιώμενος τοῖς ῥήμασιν αὐτῶν, ὅτι οὕτως ἐστηρίζοντο τῇ πίστει. μετὰ δὲ ταῦτα στραφεὶς ὁ Φίλιππος πρὸς τὸν ἀρχιερέα εἶπεν· Ὁμολόγησον καὶ σὺ ἐν καθαρᾷ καρδίᾳ ὅτι κύριος Ἰησοῦς ἐστιν, ἵνα σωθῇς ὡς οὗτοι οἱ μετὰ σοῦ. Ὁ δὲ ἀρχιερεὺς ἦν καταγελῶν τοῦ Φιλίππου καὶ ἐπιμένων τῇ ἀπιστίᾳ.

26 (21) *Ἰδὼν οὖν ὁ Φίλιππος ὅτι ἐπιμένει τῇ ἀπιστίᾳ, βλέψας εἰς αὐτὸν λέγει τῇ γῇ· Ἄνοιξόν σου τὸ στόμα καὶ κατάπιε αὐτὸν μέχρι τοῦ τραχήλου αὐτοῦ ἐνώπιον τῶν πιστευσάντων εἰς τὸν Χριστὸν Ἰησοῦν. Καὶ ἐν αὐτῇ τῇ ὥρᾳ ἀνοίξασα ἡ γῆ τὸ στόμα αὐτῆς ἐδέξατο αὐτὸν ἕως τραχήλου. ὡς δὲ οἱ ὄχλοι ἦσαν ὁμιλοῦντες ἀλλήλοις διὰ τὰ γεγονότα*
27 *θαυμάσια,* 27 (22) *ἦλθέν τις πρῶτος τῆς πόλεως βοῶν καὶ*
λέγων· Ὦ μακάριε ἀπόστολε, τῷ υἱῷ μου δαίμων τις ἐπέστη, καὶ ἔκραζεν λέγων πρός με· Ἐπειδὴ ἀφῆκας ξένον ἄνθρωπον εἰσελθεῖν εἰς τὴν πόλιν ἡμῶν σὺ ὢν πρῶτος, ὃς κατέλυσεν τὰς λατρείας ἡμῶν καὶ τὰς θυσίας ἡμῶν, τί σοι ποιήσω εἰ μὴ τοῦτον ἀνελῶ τὸν μονογενῆ σου υἱόν; Καὶ μετὰ τὸ εἰπεῖν αὐτὸν ταῦτα ἀπέπνιξεν τὸν υἱόν μου. νῦν οὖν, παρακαλῶ σε ἀπόστολε τοῦ Χριστοῦ, μὴ ἐάσῃς τὴν χαράν μου στραφῆναι εἰς πένθος, ὅτι κἀγὼ ἐπίστευσα τοῖς σοῖς λόγοις.

28 (23) *Ἀκούσας δὲ ὁ ἀπόστολος ταῦτα εἶπεν· Θαυμάζω*
104 T *τὴν | ἐνέργειαν τῶν δαιμόνων, ὅτι ἐνεργεῖ ἐν παντὶ τόπῳ,*
τολμᾷ δὲ εἰς οὓς οὐκ ἔχει δύναμιν ἐπιβαίνειν, ὡς νῦν ἐπεί-

---

[1] *ἐν ἑ. στ. ἅπαντες V* ‖ [2] *εὐλογημένος εἶ V εὐλογητὸς εἶ X* ‖ *ἰησ. χρ. X* ‖ *Ἰ. om V* ‖ *τ. θ. τ.] υἱὲ τοῦ θεοῦ V ὁ θεὸς X* ‖ *Φ. om V* ‖ [3] *ὅτι ἐδ.] ὁ διώξας V* ‖ *ἐκδίωξας P* ‖ *πήρ.] διὰ φιλίππου add V* ‖ *ἔδ. ἡμ.] δείξας ἡμ. V om X* ‖ [4] *σὸν - εὐ.] φῶς τὸ σὸν ἔστη ἐν ἡμῖν καὶ τὸ εὐ. ἐγνωρίσαμεν X* ‖ *τὸ εὐ. om V* ‖ [4–6] *ὁ - στρ.] στρ. δὲ V* ‖ [4] *ἀγαλλώμενος X* ‖ [6] *δὲ om X* ‖ [8] *ὡς] καὶ add VX fort recte* ‖ *σέ V* ‖ [8–9] *ἦν - ἀπ.] ἐβόα λέγων οὐ μή μου πείσεις φίλιππε οὐδ' οὐ μὴ ἀπατήσῃς με ταῖς μαγείαις σου V* ‖ [12] *αὐτοῦ om VX* ‖ *πιστευόντων Vx* ‖ [13] *τὸν om VX* ‖ *del Χρ.?* ‖ [14] *αὐτῆς om VX* ‖ *τρ.] τοῦ τρ. VX: cf 12, 22* ‖ [15] *ὡς om P* ‖ *οἱ δὲ P* ‖ *ἀλλήλους P* ‖ [16] *θαῦματα V* ‖ [17] *τῷ υἱ.] τὸ οὖς X* ‖ [18] *ἔκραξεν VX* ‖ *ἀφ.] ἔασας X* ‖ [19] *ὑμῶν Tischendorf* ‖ *πρ.] ὁ πρ. X* ‖ *ὃς] καὶ V* ‖ [20] *κ. τ. θ. ἡμ. om V* ‖ [20–21] *εἰ μὴ] ἢ X: cf 11, 10* ‖ [21] *τοῦτο X* ‖ [23] *τοῦ om VX: cf 4, 5* ‖ [23–24] *εἰς π. στρ. X* ‖ [24] *κἀγὼ] καὶ X* ‖ *σοῖς om X* ‖ [25] *ταῦτα ὁ ἀπ. VX* ‖ [27] *δὲ] καὶ add V* ‖ *ἔ. δ.] ἐδυνάμην P* ‖ *ὡς] ὃς VX καὶ add V* ‖ *ἐπείρασεν VX*

ρασαν ὑμᾶς θέλοντες σκανδαλίσαι. Καὶ λέγει τῷ ἀνθρώπῳ· Ἔνεγκέ μοι τὸν υἱόν σου, κἀγὼ αὐτὸν δώσω σοι ζῶντα διὰ τὸν Χριστόν μου. Καὶ ἔδραμεν χαίρων τοῦ ἐνέγκαι τὸν υἱὸν αὐτοῦ. καὶ ὡς ἤγγισεν τῇ οἰκίᾳ αὐτοῦ, ἔκραξεν λέγων· Υἱέ μου βλέπεις; ἦλθον ἐπὶ σέ, ἀπενέγκαι σε πρὸς τὸν ἀπόστολον, ὅστις σε ζῶντα παρέξει μοι. Καὶ ἐκέλευσεν τοῖς ἑαυτοῦ δούλοις βαστάξαι τὴν κλίνην· ἦν δὲ ὁ παῖς ἐτῶν κγ΄. ὅτε δὲ εἶδεν αὐτὸν ὁ Φίλιππος, συνεχύθη, καὶ στραφεὶς πρὸς τὸν ἀρχιερέα λέγει αὐτόν· Τοῦτο γέγονεν τῇ σῇ ἀφροσύνῃ· ἐὰν οὖν ἀναστήσω αὐτόν, πιστεύσεις λοιπόν; Ὁ δὲ λέγει· Οἶδα τὰς μαγείας ὑμῶν ὅτι ἀναστήσεις αὐτόν· ἐγὼ δὲ οὐ πιστεύσω σοι. Ὀργισθεὶς δὲ ὁ Φίλιππος εἶπεν· Κατάθεμα· ἄπελθε λοιπὸν κάτω ὅλος εἰς τὴν ἄβυσσον ἐνώπιον τούτων ἁπάντων. Καὶ ἐν αὐτῇ τῇ ὥρᾳ κατῆλθεν εἰς τὸν ᾅδην ζῶν· πλὴν τὸ ἀρχιερατικὸν ἔνδυμα ἐξεπετάσθη ἀπ' αὐτοῦ, καὶ διὰ τοῦτο ἀπὸ τῆς ἡμέρας ἐκείνης οὐδεὶς ἔγνω τί ἐγένετο τὸ ἔνδυμα τὸ ἱερατικόν. καὶ ἐπιστραφεὶς ὁ ἀπόστολος ἐπηύξατο τῷ παιδί, καὶ ἀπελάσας ἀπ' αὐτοῦ τὸν δαίμονα ἀνέστησεν αὐτὸν καὶ παρέστησεν αὐτὸν τῷ πατρὶ ζῶντα.

29 (24) Οἱ δὲ ὄχλοι ταῦτα θεασάμενοι ἔκραξαν· Εἷς θεὸς ὁ Φιλίππου ὁ ἐλέγξας τὴν ἀπιστίαν τοῦ ἀρχιερέως καὶ τὸν δαίμονα τοῦ νεανίσκου ἀπελάσας καὶ ἀναστήσας αὐτὸν ἐκ νεκρῶν. Οἱ δὲ πεντακόσιοι ἰδόντες τὸν ἀρχιερέα βυθισθέντα εἰς τὴν ἄβυσσον καὶ τὰ ἄλλα θαυμάσια ἐδεήθησαν τοῦ Φιλίππου, καὶ ἔδωκεν αὐτοῖς τὴν ἐν Χριστῷ σφραγῖδα. Ἐπέμεινεν δὲ ὁ Φίλιππος εἰς τὰς Ἀθήνας ἔτη δύο, καὶ κατασκευάσας ἐκκλησίαν κατέστησεν ἐπίσκοπον καὶ πρεσβύτερον,

[1] ἡμᾶς *P* ‖ θέλων *VX* ‖ σκανδ.] πολλοὺς *add V* ‖ [2] μοι *om V* ‖ σου] ὧδε *add V* ‖ σοι *om P* ‖ [3] τοῦ χριστοῦ *VX* ‖ τοῦ *om X* ‖ [4] τῇ] ἐν τῇ *V* ‖ [5] βλέπ. *del Tischendorf* ‖ [6] ὅστις] ὥστε *P* ‖ παρέξεται *VX* ‖ [7] βαστάσαι *X* ‖ εἴκοσι καὶ τριῶν *V* ‖ [8] συνεχ.] τοῖς δάκρυσι *add V* ‖ πρὸς] εἰς *V* ‖ [9] αὐτῷ (*X*) *Tischendorf: recte? an* ⟨πρὸς⟩ αὐτὸν? *cf 8, 2; 22, 1 al* ‖ τῇ σῇ ἀ.] τις ἀφορμή *P: cf praef* ‖ [10] αὐτόν] ἐν ὀνόματι ἰησοῦ χριστοῦ *add V* ‖ πιστεύσῃς *P* πιστεύεις *VX fort recte: cf 11* ‖ [11] πιστεύω *VX: cf 10* ‖ [12] εἶπεν] λέγει αὐτῷ *X* ‖ κατ.] σοι *add VX* ‖ [13] ὅλως *V* ‖ πάντων *VX* ‖ [14] ζῶντα *P* ‖ [15] διεπετάσθη *X* ‖ αὐτοῦ] *fort intercid aliquid: cf H* ‖ διὰ τοῦτο *om V* ‖ [16] τὸ ἀρχιερατικὸν ἔνδ. (*om alt* τὸ) *X* ‖ ἀρχιερατικὸν *V: cf 11, 19* ‖ [17] τὸ παιδίον *P: cf 7* ‖ [18] παρέδωκεν *VX* ‖ [19] αὐτὸν *om VX* ‖ [20] θεασ. τ. *X* ‖ [21] ὁ *prius om VX* ‖ [23] πεντ.] ἄνδρες *add V* ‖ [24] Φ.] ἀποστόλου *VX* ‖ [25] αὐτ.] καὶ αὐτ. *V* ‖ ἐπέμενεν *P* [26] δύο] β΄ *V* ‖ [26–27] κατασκ. ἐκκλ. καὶ *X* ‖ [27] ἐπισκοπεῖον καὶ πρεσβυτέριον *V*

καὶ οὕτως ἀπῆλθεν κατὰ τὴν Παρθίαν εὐαγγελιζόμενος τον Χριστόν. |

209 B Πρᾶξις τρίτη πραχθεῖσα κατὰ τὴν Παρθίαν ὑπο Φιλίππου τοῦ ἀποστόλου.

30 (1) Ἡνίκα δὲ Φίλιππος ὁ τοῦ Χριστοῦ ἀπόστολος κατῆλθεν εἰς τὴν ἀρχὴν τῆς Παρθίας, καὶ ἰδοὺ εὗρεν ἔν τινι πόλει τὸν τοῦ Χριστοῦ ἀπόστολον Πέτρον μετὰ καὶ ἑτέρων τῶν σὺν αὐτῷ μαθητῶν καὶ γυναικῶν τινων αἵτινες ἐμιμήσαντο τὴν πίστιν τὴν ἀρρενικήν. καὶ εἶπεν Φίλιππος τῷ Πέτρῳ καὶ τοῖς σὺν αὐτῷ· Δέομαι ὑμῶν τῶν εἰληφότων τὸν στέφανον τοῦ Χριστοῦ ἐν τῇ ἀποστολικῇ τάξει, ἐνδυναμώσατε κἀμέ, ἵνα ἀπελθὼν εὐαγγελίσωμαι καὶ συναριθμηθῶ ἐν τῇ δόξῃ ὑμῶν ἐν τοῖς οὐρανοῖς. ὑμεῖς ἐφανερώσατε τὴν ἑαυτῶν σπουδὴν κατὰ τὴν δύναμιν ὑμῶν· εὔξασθε οὖν καὶ νῦν ὑπὲρ ἐμοῦ, ἵνα ἀπελθὼν εὐαγγελίσωμαι, ὅπως συναριθμηθῶ ἐν τοῖς τετελεκόσι τὴν ἑαυτῶν δύναμιν.

31 (2) Ταῦτα δὲ τοῦ Φιλίππου εἰπόντος ἔκλιναν τὰ γόνατα ὑπὲρ αὐτοῦ πρὸς τὸν κύριον, ὥστε χαρῆναι πάντας ἐπ' αὐτῷ, ὅτι οὕτως ἐζήτησεν ὁ Φίλιππος τελειῶσαι τὴν ἀποστολὴν αὐτοῦ καὶ τὴν διακονίαν.

32 (3) Ἦν δὲ ἐκεῖ καὶ ὁ μακάριος Ἰωάννης, καὶ λέγει τῷ
Φιλίππῳ· Ἀδελφέ μου καὶ συναπόστολε, εἰ καὶ μακρὰν ἔχεις
210 B τὴν ἀποδημίαν, | γνώριζε ὅτι καὶ ὁ ἀδελφὸς Ἀνδρέας ἐπορεύθη εἰς τὴν Ἀχαίαν καὶ ὅλην τὴν Θράκην, καὶ ὁ Θωμᾶς εἰς τὴν Ἰνδικὴν καὶ εἰς τοὺς σαρκοφάγους παλαμναίους, καὶ ὁ Ματθαῖος εἰς τοὺς τρωγλοδύτας καὶ ἀνηλεεῖς· ἡ γὰρ φύσις αὐτῶν ἐστιν ἠγριωμένη· καὶ ὁ κύριός ἐστι μετ' αὐτῶν. καὶ σὺ οὖν Φίλιππε μὴ ῥαθυμήσῃς· Ἰησοῦς γὰρ μετὰ σοῦ ἐστιν. Καὶ ἐπευξάμενοι αὐτὸν καὶ ἀσπασάμενοι ἀπέλυσαν εἰς τὸ κήρυγμα.

33 (4) Ἦλθεν οὖν τότε ὁ Φίλιππος κατὰ θάλασσαν ὅροις τῶν Κανδάκων, καὶ εὗρεν ἐκεῖ πλοῖον μέλλον ἀπαίρειν εἰς Ἄζωτον, καὶ εἶπε τοῖς ναύταις· Δέξασθέ με ὦ ναυτικοὶ καὶ ἀπαγάγετε εἰς Ἄζωτον. Καὶ συνέθετο δοῦναι αὐτοῖς τέσσαρας

[1] κατήλθεν V ‖ [2] Χρ] κύριον ἡμῶν ἰησοῦν χριστόν V ᾧ (αὐτῷ X) ἡ δόξα εἰς τοὺς αἰῶνας (τῶν αἰώνων add X) ἀμήν add et desinunt PX V [17] γόνατα] εὐχόμενοι add Batiffol ‖ [31] ὅρ.] ἐν ὅρ. Batiffol ἐν ὁρίοις Lipsius suspicatur Jahrb f prot Theol XVII (1891) p 470: cf II

στατῆρας τὸ ναῦλον, καὶ ἀνέβη μετ' αὐτῶν. ἐμείναμεν δὲ πλέοντες ἄχρι σταδίων τετρακοσίων, καὶ ἐπεισῆλθεν ἄνεμος ἰσχυρός, ὥστε καὶ τὸ πλοῖον κινδυνεύειν· οἱ δὲ ναῦται εἰς πολλὴν ἀδημονίαν ἦλθον μὴ εἰδότες τί πράξουσι, καὶ ἤρξαντο ἐκβολὴν τῶν σκευῶν ποιεῖν, καὶ ἀλλήλοις ασπαζόμενοι ἀπεδύροντο.

34 (5) Ἰδὼν οὖν ὁ ἀπόστολος τοῦ Χριστοῦ τὴν θλῖψιν αὐτῶν, ἀναστὰς ἀπὸ τοῦ τόπου οὗ ἦν ἡσυχάζων, εἶπεν· Μὴ φοβεῖσθε ὦ ἄνδρες· ἀπυβολὴ γὰρ ἐξ ἡμῶν οὐδεμία ἔσται, ἀλλ' οὐδὲ τοῦ πλοίου· Καὶ ἀπελθὼν ἔστη ἐπὶ τὰ πρῷρα, καὶ ἐβόησεν εἰς ἐπήκοον πάντων· Θάλασσα, θάλασσα, κελεύει σοι Ἰησοῦς ὁ Χριστὸς δι' ἐμοῦ τοῦ δούλου αὐτοῦ, ὁ ἐπὶ τῶν | σῶν 211 B
ὑδάτων περιπατήσας, καταστεῖλαί σου τὸν θυμὸν τῆς ἀτάκτου φορᾶς. Καὶ εὐθέως σὺν τῷ λόγῳ Φιλίππου ἐν πολλῇ γαλήνῃ ἐγένοντο αὐτῆς τὰ κύματα. ἰδόντες δὲ οἱ ναῦται τὸ γεγονὸς ἔπεσον εἰς τοὺς πόδας αὐτοῦ λέγοντες· Εὐχαριστοῦμέν σοι δοῦλε θεοῦ· διὰ σοῦ γὰρ ἡμῖν ἡ ζωὴ κεχάρισται· εἰπὲ οὖν ἡμῖν τί ἡμᾶς ποιῆσαι δεῖ ἵνα γενώμεθα δοῦλοι τοῦ Ἰησοῦ τοῦ ὑπὸ σοῦ κηρυττομένου.

35 (6) Ὁ δὲ ἀπόστολος ἤρξατο αὐτοὺς ἀπὸ τῶν γραφῶν διδάσκειν τὰ περὶ τοῦ υἱοῦ τοῦ θεοῦ καὶ λέγειν· Ἐὰν δέξησθε τὸν δυνάμενον σῴζειν τὸ ἀσθενές, σωθήσεσθε, καὶ ἐὰν δέξησθε τὸν ἐν οὐρανοῖς πλούσιον, πλουτίσει ἡμᾶς· καταλείψατε οὖν τὸ ἀηδὲς τοῦ κόσμου τούτου, καὶ τὴν μέριμναν τῆς ζωῆς ἐπιρρίψατε εἰς τὸν ἐν οὐρανοῖς εὐεργέτην, ἵνα αἰωνίας τρυφῆς ἀπολαύσητε.

36 (7) Οἱ δὲ πάλιν ἀπεκρίνοντο ὁμοθυμαδὸν λέγοντες· Πάντα ὅσα ἂν εἴπῃς ἡμῖν ποιοῦμεν, καὶ πιστεύομεν εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν. Τότε λαβόμενος ὁ Φίλιππος ἅπαντας καὶ ἐξελθὼν ἐπὶ τῆς ξηρᾶς ἐβάπτισεν αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος· καὶ ἐμεγαλύνοντο τῇ πίστει. |

---

[1] ἔμειναν *Batiffol: cf 26, 6* ‖ [5] ἀλλήλους (*cf H*) *et* ἀπωδύροντο *Batiffol fort recte* ‖ [10] τῇ πρώρᾳ *Batiffol fort recte* (*uel* τῆς πρῴρας?) ‖ [12] Ἰησοῦς *om Batiffol: cf H* | [23] πλουτίσῃ *V* ‖ ὑμᾶς *Batiffol recte* ‖ [26] ἀπολαύσησθε *Batiffol* ‖ [27] *scr* ἀπεκρίναντο?? ‖ [29] ἡμῶν *seclusit Batiffol* ‖ *scr* προσλαβόμενος? *cf H*

212 B *Πρᾶξις δ′ περὶ τῆς θυγατρὸς Νικοκλείδους ἧς ἰάσατο ἐν Ἀζώτῳ.*

37 (1) Ὡς δὲ πολλὴ φήμη περιέδραμεν περὶ τοῦ ἀποστόλου Φιλίππου εἰς τὴν Ἄζωτον ἐπὶ τοῖς δι' αὐτοῦ γινομένοις θαύμασι, πολλοὶ συνέτρεχον πρὸς αὐτόν, καὶ ἦσαν θεραπευόμενοι ἀπὸ τῶν νοσημάτων αὐτῶν. πολλὰ δὲ καὶ δαιμόνια φυγαδευόμενα ἀπὸ τῶν ἀνθρώπων ἐβόων ὥσπερ μαστιζόμενα καὶ ἔλεγον ὅτι Καὶ ὧδε πάρει Φίλιππε, ἐντεῦθεν φυγαδεῦσαι ἡμᾶς; ἴδε, ὁμολογοῦμεν ἡττᾶσθαι διὰ τὸ ὄνομα τοῦ Ἰησοῦ. Ὡς οὖν ἦσαν οἱ ὄχλοι ἀτενίζοντες εἰς αὐτόν, οἳ μὲν ἔλεγον· Ἀληθῶς θεοῦ ἄνθρωπος· Ἄλλοι δὲ ἔλεγον· Τάχα μάγος ἐστί. Τινὲς δὲ καὶ ἐξεμυκτήριζον τοὺς λόγους αὐτοῦ. αἱ δὲ γυναῖκες τῶν πρώτων ἔλεγον· Ἀληθῶς πνεῦμα ἅγιον ἐν αὐτῷ καὶ τὰ λαλούμενα παρ' αὐτοῦ καλά. Ἄλλαι δὲ ἔλεγον ὅτι Μάγος καὶ σκολιὸς ἄνθρωπος οὗτος, ὅτι διαχωρίζει τὰς συμβιώσεις· διδάσκει γὰρ ὅτι ἡ ἁγνεία ὁρᾷ τὸν θεόν, καὶ τὴν τεκνογονίαν ὀδύνην εἶναι λέγει.

38 (2) Ὡς οὖν ταῦτα ἔλεγον, κατέλαβεν ἡ ἑσπέρα, καὶ
213 B πάντες ἐπορεύοντο | εἰς τοὺς οἴκους αὐτῶν. ὁ οὖν Φίλιππος ἐζήτησεν οἶκον καταπαύσεως, καὶ μικρὸν ἀποστὰς τοῦ τόπου οὗ ἦν ἑστηκὼς ἦλθεν εἰς οἰκητήριον ἐν ᾧ ὑπῆρχον ἀποθῆκαι ὑπομνηματογράφου τινὸς Νικοκλείδους ὀνόματι, φίλου τοῦ βασιλέως, ἐν αἷς καὶ κατέλυον ξένοι πλείονες.

39 (3) Ὁ δὲ Φίλιππος εἰσελθὼν ἔστη ἐν μιᾷ γωνίᾳ τοῦ οἴκου εἰς προσευχήν, λέγων μετὰ μικρᾶς φωνῆς· Κύριέ μου Ἰησοῦ Χριστέ, γενηθήτω σου τὸ θέλημα καὶ ἐν τῷ τόπῳ τούτῳ, καὶ δώρησαι πᾶσι τοῖς πιστεύουσι τῷ σῷ ὀνόματι ῥῶσιν ψυχῆς καὶ ἴασιν σώματος· σὺ γὰρ γινώσκεις τὴν ἀσθένειαν τῆς ἀνθρωπίνης φύσεως ὡς ποιήσας αὐτήν.

40 (4) Ταῦτα δὲ λέγοντος τοῦ ἀποστόλου καὶ τούτων πλείονα Χαριτίνη ἡ θυγάτηρ τοῦ Νικοκλείδους, ἔχουσαν πληγὴν μεγάλην ἐν τῷ ὀφθαλμῷ αὐτῆς τῷ δεξιῷ, ἀκούουσα τοῦ ἀποστόλου, δι' ὅλης τῆς νυκτὸς ἔκλαιεν· πρωΐας δὲ γενομένης εἰσῆλθε πρὸς τὸν πατέρα αὐτῆς, καί φησι· Κύριέ μου καὶ γλυκύτατε πάτερ ἀτένισόν μοι καὶ πρόσσχες τῇ πληγῇ τοῦ ὀφθαλμοῦ μου πῶς ἐγὼ μυκτηρίζομαι, ὅτι αἱ συνήλικαί μου

[1] *νικοκλίδους V constanter* ‖ *ἣν Batiffol* ‖ [3] *scr διέδραμεν? cf H et Th c 56 m* ‖ [4] *γενομένοις Batiffol: cf H* ‖ [23] *οἷς Batiffol* ‖ [31] *ἔχουσα Batiffol recte: cf H*

ἐπιγελῶσί μου, καὶ αἰσχύνομαι· καὶ οὐ φέρω τας ἀλγηδόνας. Καὶ λέγει αὐτῇ ὁ πατὴρ αὐτῆς· Ὦ ἀγαπητὴ ψυχή μου, ποῖον λοιπὸν ἰατρῶν εἰσαγάγω σοι; μὴ οὐκ εἰσήγαγον Λεύκιον τὸν τοῦ βασιλέως, καὶ ὅλου τοῦ παλατίου τοὺς ἰατρούς, ἀλλὰ καὶ Ἠλείδην τὸν τῆς βασιλίσσης εὐνοῦχον, καὶ τὴν | Σολγίαν τὴν 214 B πρὸς χεῖρα τῆς βασιλίσσης, ἔχουσαν φάρμακα καὶ πᾶσαν θεραπείαν, καὶ οὐδεὶς ἠδυνήθη ἰάσασθαί σε; Ἡ δὲ εἶπεν· Οἶδα πάτερ, οἶδα ὅτι κέκμηκας σὺν ἐμοί· ὅπερ δὲ νῦν ἀξιῶ ποίησόν μοι. ἰδοὺ ἤκουσα ἐν τῇ νυκτὶ ταύτῃ ἰατροῦ τινος ξένου φωνὴν καὶ κηρύττοντος ξένα φάρμακα ἐν ταῖς ἀποθήκαις ταῖς σαῖς· ἐκεῖνος μόνος δύναταί με ἰάσασθαι. καὶ γὰρ ὡς ἤμην ἀκροωμένη αὐτοῦ ἄνεσιν πολλὴν τῶν πόνων ἐλάμβανον. διὸ παρακαλῶ πάτερ καὶ δέομαι, κάλεσόν μοι ἐκεῖνον· καὶ οἶδα ὅτι ἰαθήσομαι.

41 (5) Ὁ δὲ ταχέως ἐπορεύθη εἰς τὰς ἀποθήκας, καὶ ἐζήτει τὸν ξένον, καὶ εὑρὼν τὸν Φίλιππον καθήμενον εἶπεν· Σὺ εἶ ὁ ξένος ὁ ἐπιδημήσας τῇ πόλει ταύτῃ ἰατρός; Ἀποκριθεὶς δὲ ὁ Φίλιππος εἶπεν· Ἰησοῦς ἐστιν ὁ ἐμὸς ἰατρός, ὁ τῶν κρυπτῶν καὶ φανερῶν θεραπευτής· ἀπέρχομαι οὖν μετὰ σοῦ. Καὶ ἀναστὰς ὁ Φίλιππος εἰσῆλθεν εἰς τὴν οἰκιαν αὐτοῦ, καὶ εὗρεν τὴν θυγατέρα αὐτοῦ κλαίουσαν πικρῶς.

42 (6) Καί φησιν ὁ πατὴρ αὐτῆς· Τί κλαίεις τέκνον; ἰδοὺ ἤγαγον τὸν ἰατρόν. Ἡ δὲ εἶπεν· Καλῶς ὦ πάτερ ὅτι σήμερον ἀνέπαυσας τὴν ψυχήν μου. Ὁ δὲ ἀπόστολος εἶπεν αὐτῇ· Μὴ φοβοῦ κόρη· τὰ φάρμακα τοῦ ἐμοῦ ἰατροῦ ἄρτι ἴασίν σοι παρέξουσιν. Καὶ ὡς ἤκουσεν ἡ κόρη, ἔπεσεν ἐπὶ πρόσωπον, καὶ προσεκύνησεν αὐτῷ λέγουσα· Προσκυνῶ τὸν ἐν σοὶ ἰατρόν. ἰδοὺ ῥαίνω μου τὴν οἰκίαν ὕδατι καθαρῷ εἰς ἐπίβασιν | τοῦ σοῦ ἰατροῦ, καὶ ἐκδυσαμένη μου τὰ βύσσινα ὑπο- 215 B στρώσω αὐτὰ ὑπὸ τοὺς πόδας αὐτοῦ. ἄνθρωπε τοῦ ἀληθινοῦ θεοῦ βοήθησόν μοι· οἶδα γὰρ ὅτι δύνασαι. Καὶ λέγει τῷ πατρὶ αὐτῆς· Εἰσαγάγωμεν αὐτὸν ἐνδοτέρω, ἵνα ἴδῃ ὁ τοῦ θεοῦ ἄνθρωπος τὴν πληγὴν τὴν οὖσαν ἐν ὅλῳ τῷ προσώπῳ μου.

43 (7) Ὁ δὲ Φίλιππος ἰδὼν παρεμυθεῖτο αὐτήν τε καὶ τὸν πατέρα αὐτῆς, διδάσκων αὐτοὺς καὶ παραδιδοὺς τὰ περὶ τοῦ Ἰησοῦ, ὅτι Αὐτός ἐστι μόνος μονογενὴς ὁ τοῦ ἐπουρανίου

---

3 ἰατρὸν Batiffol fort recte ‖ 5 ἠλίδην V ‖ 10 καὶ del? ‖ 37 del μόνος??

θεοῦ υἱός, ὅνπερ ἐὰν πιστεύσητε, ὅλους τοὺς αἰῶνας ζήσεσθε. Καὶ λέγει Χαριτίνη τῷ ἀποστόλῳ· Παρακαλῶ οὖν σε δοῦλε τοῦ θεοῦ, θεράπευσόν μου τὴν ὀδύνην, καὶ τελεία ἔσομαί σοι δούλη. Λέγει αὐτῇ ὁ Φίλιππος· Ἀνάστα καὶ ἔνεγκαι τὴν δεξιάν σου χεῖρα διὰ τοῦ προσώπου σου λέγουσα· Ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ ἰαθήτω ἡ πληγὴ τοῦ ὀφθαλμοῦ μου. Ἐποίησεν δὲ καθὼς εἶπεν αὐτῇ, καὶ παραχρῆμα ἰάθη ἐν αὐτῇ τῇ ὥρᾳ.

44 (8) *Ἐπίστευσεν δὲ καὶ ὁ πατὴρ αὐτῆς καὶ ἡ θυγάτηρ αὐτοῦ, καὶ κατηξιώθησαν τῆς ἐν Χριστῷ σφραγῖδος. ἐγένετο δὲ χαρὰ μεγάλη ἐν τῷ οἴκῳ αὐτῶν· καὶ πολλοὶ δοῦλοι πολλαί τε παιδίσκαι καὶ παῖδες καὶ νήπια ἐπίστευσαν εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν. ἡ δὲ Χαριτίνη σχῆμα καὶ ἔνδυμα ποιήσασα ἀρρενικὸν ἠκολούθει τῷ Φιλίππῳ ἐν πίστει Χριστοῦ δοξάζουσα τὸν θεόν.* |

216 B *Πρᾶξις ε' γεναμένη ἐν πόλει Νικάτηρα καὶ περὶ τοῦ Ἱερέως.*

45 (1) *Φίλιππος δὲ ὁ τοῦ Χριστοῦ ἀπόστολος πρὸ ὀφθαλμῶν θέμενος ἀνελθεῖν καὶ εἰς Νικάτηρα πόλιν οὕτω λεγομένην τῆς Ἑλλάδος, ἠκολούθησαν αὐτῷ πολλοὶ μαθηταί, καὶ ἦσαν ἀγαλλιώμενοι. βαδίζοντες οὖν σὺν αὐτῷ ἐθεώρουν τὴν χάριν τῆς ἀποκαλύψεως τοῦ Χριστοῦ· ἐν οἷς ἦν ὁ Φίλιππος ἡμέρας καὶ νυκτὸς μὴ διαλιμπάνων ὁμιλῶν μετ' αὐτῶν καὶ διδάσκων αὐτοὺς τὰ μεγαλεῖα τοῦ Χριστοῦ καὶ τὴν σωτηρίαν καὶ τὴν πραότητα καὶ τὴν ἐλπίδα τῆς αἰωνίου ζωῆς.*

46 (2) *Καὶ ἐν τῷ τὸν Φίλιππον ἀνιέναι ἐν τῇ πόλει σὺν τοῖς μετ' αὐτοῦ, ἐκινήθη ἡ πόλις ὅλη, ὅτι ἦλθεν Φίλιππος ὁ μαθητὴς τοῦ Ἰησοῦ, καὶ ἐταράχθησαν λέγοντες· Τί ποιοῦμεν περὶ αὐτοῦ; ὅτι ἐὰν συγχωρήσωμεν αὐτῷ πᾶσα ἡ πόλις αὐτῷ ἀκολουθήσει· καὶ οὐ μικρὸν πρᾶγμα ἐὰν οὗτος ὧδε οἰκήσῃ, ὅτι ἠκούσαμεν αὐτὸν πολλὰ πεποιηκέναι σημεῖα εἰς τὰς ἄλλας πόλεις, καὶ οὐδεὶς ἠδυνήθη κακῶσαι αὐτόν. ἡ δὲ διδασκαλία αὐτοῦ ἐστι διαχωρίζουσα ἄνδρας καὶ γυναῖκας, λέγων ὅτι Ἡ*

[4] *ἔνεγκε Batiffol fort recte* ‖ [7] *ἐν] cf II et 9, 20* ‖ [9] *αὐτῆς seclusit Batiffol fort recte: an del κ. ἡ θ. α.?* ‖ [16] *νικατήρα V (cf 18) Νικατῆρας Batiffol: cf Lipsius Jahrb f prot Theol XVII (1891) p 459* ‖ *ἱερέος V Ἱερέου Batiffol (cf Lipsius l s): scr Ἰρέου (cf 21, 7; 23, 30; 26, 16 al et 22, 1) nisi forte Ἴραιος nomen fuit aut Ἥραιος* ‖ [18] *Νικατῆρας Batiffol: cf 16* ‖ [32] *λέγων seclusit Batiffol*

ἁγνεία φησὶν ὁμιλεῖ τῷ θεῷ. Καὶ διδάσκει πιστεύειν εἰς ὄνομά τινος Ἰησοῦ. | νῦν οὖν, ἐπειδὴ οὔπω εὗρεν ἐν τῇ πόλει 217 B ἡμῶν οἴκησιν, ἐκβάλλωμεν αὐτὸν πρὶν κηρύξει, καὶ τὰς γυναῖκας ἡμῶν ὑπ' αὐτοῦ ἀπατηθῆναι.

47 (3) Ἦσαν δὲ καὶ Ἰουδαῖοι λέγοντες σκληρὰ ῥήματα κατὰ Φιλίππου, ὅτι ἦν παραλύων τὰς παραδόσεις αὐτῶν. ἀποκριθεὶς δὲ εἷς ἐξ αὐτῶν ἄρχων ὀνόματι Ἴρεος ἔφη· Ἀκούσατέ μού φησιν ὦ ἄνδρες φίλοι καὶ συμπολῖται· μὴ ἐπαναστῶμεν ἀνδρὶ ξένῳ ἐπ' ἀδικίᾳ καὶ βίᾳ· ἀλλὰ ἀκούσωμεν καὶ δοκιμάσωμεν τὴν διδασκαλίαν αὐτοῦ, καὶ τότε τελέσωμεν τὰ λαλούμενα.

48 (4) Ἦν δὲ ὁ Ἴρεος πλούσιος ἐν αὐτοῖς· ἠρέμα δὲ βουλόμενος διασκορπίσαι τὴν βουλὴν αὐτῶν ταῦτα ἔλεγεν· ἦν γὰρ συνετὸς καὶ ἀγαθὸς καὶ μισῶν ἄδικα· διὸ οὐδεὶς ἐτόλμησεν ἀντειπεῖν αὐτῷ. ἀναχωρήσας δὲ ὁ Ἴρεος ἀπὸ τῆς συστροφῆς αὐτῶν ἀπῆλθεν πρὸς τὸν Φίλιππον, καὶ δέδωκεν αὐτὸν τὸ χαῖρε πρῶτος. καὶ ὁ Φίλιππος εἶπεν αὐτῷ· Κεχαριτωμένος σὺ ἐν εἰρήνῃ Χριστοῦ, ὅτι οὐκ ἔστι δόλος ἐν τῇ ψυχῇ σου. Καὶ εἶπεν ὁ Ἴρεος· Ἀκολουθήσω σοι, καὶ τί ἄρα ἔσται μοι; Καὶ ὁ Φίλιππος· Ὅτι ὅλως ἔθου ἐν τῇ καρδίᾳ σου ζητῆσαι τὴν ὄντως ζωήν, λέγω σοι· σωθήσῃ σὺ καὶ ἡ οἰκία σου καὶ πάντες οἱ σὺν σοί· καὶ καθὼς ἠγωνίσω σὺ ὑπὲρ ἐμοῦ ἐν τῷ ὄχλῳ, ὁ κύριος Ἰησοῦς δώσει σοι ἀνάπαυσιν ἐν τῇ ἐσχάτῃ σου πνοῇ. |

49 (5) Λέγει ὁ Ἴρεος· Πῶς οἶδας ὅτι ὑπὲρ σοῦ ἠγωνι- 218 B σάμην; Καὶ λέγει ὁ Φίλιππος· Οἶδα τέκνον, οἶδα τὰ παρ' ἑκάστου εἰρημένα. Λέγει ὁ Ἴρεος· Γίνωσκε ἄνθρωπε τοῦ θεοῦ ὅτι ἦλθον εἰς συνάντησίν σου οὐκ ἔχων δόλον· μὴ οὖν ἀμελήσῃς μου, ὅτι ἡτοίμακα τὴν ψυχήν μου εἰς σωτηρίαν. Καὶ ο Φίλιππός φησι· Ὁ κύριος τελειώσει τὴν ἐπιθυμίαν σου· μόνον μὴ διστάσῃς πρὸς τὸν καταρτισμὸν οὗ ἕνεκεν πρὸς ἡμᾶς παρεγένου. Λέγει ὁ Ἴρεος· Ἐγὼ οὐκ ἐπιστρέφομαι πρὸς τὰ ὀπίσω ἐν ᾧ τὴν ἐλπίδα ἔχω. Λέγει ὁ Φίλιππος· Θέλημά ἐστι τοῦ θεοῦ δι' ὃν καὶ ἦλθον ἵνα μὴ ἐκπέσωσιν οἱ πιστεύσαντες, ἀλλὰ ζήσωσιν ἐν τῷ Χριστῷ, καὶ λάβωσι τὰς ἐπαγγελίας τὰς ὑπ' αὐτοῦ τεταγμένας εἰς σωτηρίαν.

---

³ *scr* ἐκβάλωμεν? ‖ κηρύξῃ *Batiffol: scr* κηρύξαι?? *cf 4* ‖ ⁷ ἴρεως *V* ‖ ¹⁰ *scr* τελέσομεν?? ‖ ¹² ἴρεος *V* ‖ ¹⁷ αὐτὸν] αὐτῷ *Batiffol* ‖ καὶ χαριτωμένος *V* καὶ χαριτούμενος *Batiffol* ‖ ²⁹ ἡτοίμασα *Batiffol* ‖ ³² *post* ὀπίσω *lacunam significat Batiffol recte ut uidetur*

50 (6) *Λέγει οὖν ὁ Ἱρεὺς πρὸς τὸν Φίλιππον· Δοῦλε τοῦ θεοῦ, εἰ εὗρον χάριν ἐνώπιόν σου, εἴσελθε εἰς τὴν οἰκίαν μου, εἰ ἄξιός εἰμι, κἀγὼ ποιήσω αὐτὴν συναγωγὴν χριστιανῶν. Εἶπεν δὲ ὁ Φίλιππος αὐτῷ· Ἄπελθε πρῶτον εἰς τὴν οἰκίαν σου, καὶ καθάρισον αὐτήν. Ὁ δὲ Καὶ πῶς φησι κύριε καθαρίσω αὐτήν; Λέγει ὁ Φίλιππος· Μηδεμίαν ἀδικίαν ἐάσῃς, καὶ τῇ γυναικί σου ἀπόταξαι. Ἀκούσας δὲ ὁ Ἴρεος ἔδραμεν, καὶ ἦν θαυμάζων ὁ Φίλιππος. καὶ ὁ Ἴρεος ἔλεγεν πρὸς ἑαυτὸν ἐν τῇ καρδίᾳ αὐτοῦ· Γένοιτό μοι Ἰησοῦ κύριε καὶ ἕως θανάτου ὑπὲρ τοῦ σοῦ ἀποστόλου ἀγωνίσασθαι.* |

219 B 51 (7) *Ὡς δὲ εἰσῆλθεν εἰς τὴν ἑαυτοῦ οἰκίαν, λέγει αὐτῷ ἡ γυνὴ αὐτοῦ· Ἤκουσα ἄνερ καλὲ ὅτι ἐσκόρπισας τὴν βουλὴν τῶν ἱερέων καὶ Ἰουδαίων περί τινος ξένου μάγου ὀνόματι Φιλίππου. Ὁ δὲ εἶπεν αὐτῇ· Εἴθε γύναι ἄξιοι ὑπήρχομεν τοῦ ποιῆσαι τὴν οἰκίαν ἡμῶν τοῦ θεοῦ αὐτοῦ κατοικητήριον. Λέγει αὐτῷ· Οὐ θέλω αὐτὸν εἰσελθεῖν εἰς τὴν οἰκίαν μου, ὅτι ὡς ἔμαθον χωρίζει ἄνδρας καὶ γυναῖκας· ἀπελεύσομαι δὲ εἰς τὴν οἰκίαν τῶν γονέων μου, καὶ οὐκ ἀφήσω τὴν προῖκά μου εἰς τὴν οἰκίαν σου. ἀποσπάσω δὲ καὶ τοὺς δούλους μου οὓς προήγαγόν σοι, καὶ τὰς ἅβρας μου, σὺν πᾶσι τοῖς τέκνοις αὐτῶν. ἰδοὺ χρόνους εἴκοσι τέσσαρας συνέζησά σοι καὶ οὐκ ἀντεῖπόν σοι μικρὸν ἢ μέγα ῥῆμα. τί δὲ καὶ τὰ τέκνα σου ποιήσεις ἐὰν εἰσάγῃς τὸν μάγον ἐκεῖνον ὧδε; πάντως γὰρ καὶ θόρυβος πολὺς ἔσται τῆς πόλεως ἐν τῇ οἰκίᾳ σου.*

52 (8) *Λέγει αὐτῇ ὁ Ἴρεος ἐν πραότητι· Τί λυπῆσαι; μακροθύμησον μᾶλλον. πιστεύω γὰρ ὅτι καὶ σὺ αὐτὴ πιστεύσεις τῷ διὰ τοῦ ξένου κηρυττομένῳ θεῷ, ὅτι αὐτὸς κρείττων ἡμῖν ἐστιν ὑπὲρ τὸν μάταιον ἡμῖν πλοῦτον. Λέγει αὐτῷ ἡ γυνὴ αὐτοῦ· Ἀνάστηθι, φάγε καὶ πίε, καὶ γενοῦ εὐφραινόμενος· ἐμὲ γὰρ οὐ δύνασαι ἀπατῆσαι. Λέγει αὐτῇ· Καὶ ποῖον δίκαιον φαγεῖν με ἢ πιεῖν τοῦ ἀνθρώπου τοῦ θεοῦ πεινῶντος ἐν τῇ ἡμετέρᾳ πόλει; ὅνπερ ἐὰν ἴδῃς, πιστεύεις ὅτι ἅγιός ἐστι. κατάστειλον οὖν σεαυτὴν ἐκ τῆς ματαίας ἀπο-*
220 B *νοίας καὶ ἀπιστίας σου, ἵνα κἀγὼ | ἀπαγγείλω σοι μέρος τι τῆς ἐν αὐτῷ ἐπιστήμης. γνῶθι οὖν ὦ γύναι ὅτι ἄνθρωπος*

[1] *scr* Ἴρεος? *cf* 20, 16 ‖ [12] *scr* διεσκόρπισας? ‖ [13] ἱερέων *corrupt uid: scr* Νικατηρaίων?? *cf* 20, 26; 21, 5 ‖ [20] *scr* προσήγαγόν? ‖ αὔρας *V: corr Batiffol* ‖ [23] εἰσάγεις *V: scr* εἰσαγάγῃς? ‖ [25] *scr* λυπεῖσαι? λυπῇ *Batiffol* ‖ [28] *scr* ἡμῶν πλ..?

θεοῦ ἐστι, καὶ ὅτι χάρις πολλὴ ἐν προσώπῳ αὐτοῦ, πραότης δὲ καὶ ἁπλότης ἐν αὐτῷ.

53 (9) *Λέγει αὐτῷ ἡ γυνή· Ἄρα ὁ θεὸς αὐτοῦ ὡς οἱ θεοὶ τῆς πόλεως ἡμῶν εἰσι, χρυσοῖ καὶ ἠσφαλισμένοι ἐν τῷ ναῷ; Ὁ δέ φησι· Οὐχ οὕτως· ὁ γὰρ θεὸς αὐτοῦ θεός ἐστι ζῶν ἐν οὐρανοῖς, δυνατός, ὑπερηφάνοις θραύων· οἱ δὲ θεοὶ τῆς πόλεως ἡμῶν τέχνη ἀσεβῶν μελετήματα. Λέγει αὐτῷ ἡ γυνὴ αὐτοῦ· Καὶ ἄγαγε αὐτόν, ἵνα ἴδω κἀγὼ τὸν ἐν αὐτῷ θεόν.*

54 (10) *Καὶ ἐξῆλθεν ὁ Ἴρεος τῆς οἰκίας συναντῆσαι τῷ Φιλίππῳ, καὶ λέγει αὐτῷ· Δέομαι, ἀνάστα καὶ εἴσελθε εἰς τὴν οἰκίαν μου, καὶ ἀνάπαυσον σεαυτὸν ἐν εἰρήνῃ. Προφθάσας δὲ ὁ Φίλιππος ἀνήγγειλεν αὐτῷ πάντα ὅσα ἐστασίασεν αὐτῷ ἡ γυνὴ αὐτοῦ· ὁ δὲ Ἴρεος ἐξεπλάγη πῶς πάντα ἔγνω. καὶ λέγει ὁ Φίλιππος· Γίνωσκε τέκνον ὅτι, εἰ καὶ ἐλάχιστός εἰμι καὶ ταπεινός, ἀγῶνα ἔχω ὅπως τελειώσω τὴν ἐμπιστευθεῖσάν μοι οἰκονομίαν. εἰ δὲ θέλεις, ἀναγγέλλω σοι καὶ τὰ λαληθέντα ῥήματα πάντα ἐν τῇ οἰκίᾳ σου. Ὁ δὲ Ἴρεος παρεκάλεσεν αὐτὸν σιωπῆσαι τὸν ἔλεγχον τῆς γυναικὸς αὐτοῦ.*

55 (11) *Οἱ δὲ συνόντες τῷ Φιλίππῳ λέγουσιν αὐτῷ· Ἀπόστολε Χριστοῦ, ἕως πότε ἐσόμεθα ὡς αἰχμάλωτοι ἐνταῦθα; ἐπεὶ οὖν ἡτοίμασεν ἡμῖν | Ἰησοῦς Χριστὸς τὸν ἄνδρα* 221 B
τοῦτον, ἀπέλθωμεν μετ' αὐτοῦ ἐν εἰρήνῃ. Ὁ δὲ Ἴρεος ἠγαλλιάσατο ὅτε ἤκουσεν ταῦτα παρὰ τῶν μαθητῶν αὐτοῦ, καὶ πεσὼν ἐπὶ πρόσωπον παρεκάλει τῷ Φιλίππῳ καταλῦσαι ἐν τῇ οἰκίᾳ αὐτοῦ. καὶ ἀναστὰς ἠκολούθησεν αὐτόν, ὁ δὲ Ἴρεος ἐβάδιζεν ἔμπροσθεν χαίρων.

56 (12) *Ἰδόντες δὲ τοῦτο οἱ ἄρχοντες καὶ τὸ πλῆθος ἐταράχθησαν ἅπαντες, καὶ ἔλεγον· Ἴδε πῶς ὁ μάγος ἀκολουθεῖ τῷ Ἰρέῳ· ἀλλὰ μὴ συγχωρήσωμεν. Καὶ ὡς ἔφθασεν ὁ Ἴρεος πρὸς τὸν πυλῶνα τῆς οἰκίας ἐβόησεν· Ἀνοίξατε τῷ ἀνθρώπῳ τοῦ θεοῦ. Καὶ ὁ θυρωρὸς ταχέως ἤνοιξεν, καὶ εἰσελθὼν ὁ Φίλιππος σὺν τοῖς μαθηταῖς αὐτοῦ εἶπεν· Εἰρήνη τῷ οἴκῳ τούτῳ. Ἔδραμεν δὲ ὁ Ἴρεος ὅπου ἡ γυνὴ αὐτοῦ ἦν ἐν τῷ κοιτῶνι αὐτῆς, καὶ εἶπεν αὐτῇ· Ἀνάστα, ἴδε τὴν χαρὰν ἡμῶν τὴν εἰσελθοῦσαν ἐν τῇ οἰκίᾳ ἡμῶν σήμερον· ἔκδυσαι δὲ ταῦτα τὰ ἱμάτια τὰ διάχρυσα, καὶ βάλε τὰ κοσμοῦντά σε*

[4] *εἰσι seclusit Batiffol* ‖ [6] *ὑπερηφάνους Batiffol recte* ‖ [7] *scr τέχνης?* ‖ *μελετημάτων Batiffol* ‖ [17] *ἀναγγελῶ Batiffol: cf 37, 8* ‖ [26] *αὐτόν] scr αὐτῷ?* ‖ [37] *scr λάβε? cf An 59, 16 et Classical Review VIII (1894) p 339*

εἰς ἀφθαρσίαν. Ἡ δὲ μετὰ θυμοῦ εἶπεν αὐτῷ· Ἀπόστα ἀπ' ἐμοῦ· οὐδὲ γάρ οἱ ἐκ τῆς οἰκίας μου εἶδόν ποτε τὸ πρόσωπόν μου ἁπλῶς· καὶ πῶς ξένῳ ἀνθρώπῳ ὀφθήσομαι;

57 (13) *Καὶ ὡς οὐκ ἐβούλετο ἐξελθεῖν, ἐκέλευσεν ὁ Ἴρεος τοῖς ἑαυτοῦ δούλοις βαστάσαι καθέδρας ποικίλας καὶ κεκοσμημένας ἐκ χρυσοῦ, καὶ θεῖναι πρὸ τοῦ πυλῶνος, ὅπως ὁ Φίλιπ-*
222 B *πος καθίσῃ καὶ οἱ σὺν αὐτῷ. ὡς δὲ | εἶδεν ὁ Φίλιππος, εἶπεν τοῖς οἰκέταις· Ἄρατε αὐτάς, οὐ γὰρ ἐπ' αὐταῖς καθίσομεν. Καὶ ὁ Ἴρεος Μή μέ φησι διδάσκαλε λύπει. Καὶ ὁ Φίλιππος Ἐγώ φησιν οὐ λυπῶ οὐδένα, ἀλλὰ πάντας ἀναπαύω· περὶ χρυσοῦ δὲ καὶ ἀργύρου ὅλως οὐκ ἔστι μοι χρεία, ὅτι ταῦτα μάταια, καὶ πυρὶ ἀναλωθήσονται. καὶ τί ὄφελος ἀνθρώπῳ ὅτι κοσμεῖ ἑαυτὸν ἱματισμῷ καὶ χρυσῷ, τῆς ψυχῆς αὐτοῦ μελλούσης ἐν πυρὶ χειμάζεσθαι; ἢ τί ὄφελος ὡραιότης; ὅτι φθείρεται κάλλος καὶ ὁ ἐν τῷ κόσμῳ πλοῦτος οὐχ ὑπάρξει.*

58 (14) *Εἶπεν δὲ ὁ Ἴρεος· Ἆρα ζήσομαι; ὅτι ἐν ὀδύνῃ καρδίας εἰμὶ ἐφ' οἷς πρότερον ἥμαρτον. Λέγει ὁ Φίλιππος· Μὴ φοβηθῇς, μηδὲ διψυχήσῃς· δύναται γὰρ ὁ Ἰησοῦς, ἐὰν καὶ σὺ μετανοήσῃς ἐκ ψυχῆς, ἀφιέναι σου τὰς ἁμαρτίας ἅσπερ ἐν ἀγνοίᾳ ἐποίησας. τί δὲ καὶ ἡ γυνή σου ἡ φοροῦσα νῦν τὰ διάχρυσα καὶ ὑπὸ κοιτῶνος οὖσα; οὐχὶ εἶπέν σοι ὅτι Ἀπόστα ἀπ' ἐμοῦ, ὅτι οὐκ ἐξελεύσομαι εἰς πρόσωπον ἀνθρώπου ξένου; Ὡς δὲ ἤκουσεν ταῦτα ὁ Ἴρεος, ἀνέστη μετὰ σπουδῆς, καὶ ἦλθε πρὸς τὴν ἑαυτοῦ γυναῖκα λέγων· Ἕως πότε ἡ τοσαύτη περὶ σέ ἐστι λήθη; ἀνάστα καὶ θέασαι ἀληθῶς θεοῦ ἄνθρωπον, ὅτι τοὺς λόγους οὓς εἰς ἑαυτοὺς ἐλαλήσαμεν καὶ πάντα τὰ ἐν κρυπτῷ ἀνήγγειλέν μοι. Λέγει αὐτῷ ἡ γυνὴ αὐτοῦ· Καὶ μέγα ὅτι ἀνήγγειλέν σοι τὰ ῥήματά μου; ὕπαγε,*
223 B *μή | με ἀπάτα· τὰ δὲ περὶ σεαυτοῦ ποίει ὡς θέλεις. Καὶ πάλιν φησὶ πρὸς αὐτόν· Τί οὖν ποιήσομεν τοὺς υἱοὺς ἡμῶν ἢ τὰς θυγατέρας ἡμῶν ἢ τοὺς δούλους, καὶ περὶ τῶν ὑπαρχόντων ἡμῶν, εἰ ὅλως εἴπῃ ἡμῖν ὁ ξένος ὅτι Ἐὰν μὴ καταλείψητε τὸν πλοῦτον, οὐ δύνασθε σωθῆναι; Τί ποιήσομεν καὶ ὅτι τοὺς δύο υἱοὺς ἡμῶν ἐμνηστευσάμεθα κατὰ τὴν ἡμετέραν ὁμοιότητα; καὶ ἐὰν μαθητεύσωμεν τῷ ξένῳ, τί ἔσται;*

59 (15) *Καὶ ὡς ταῦτα ἔλεγον, Ἀρτεμήλα ἡ θυγάτηρ αὐτῶν ἀκούσασα ταῦτα εἶπεν· Ὦ μῆτερ, τί ταῦτα λέγεις; εἰ*

14 *scr ὡραιότητος?* ‖ 22 *scr ἐπὶ??* ‖ 26 *scr ἔσται??* ‖ 31 *et* 34 *ποιήσωμεν V* ‖ 37 *scr Ἀρτεμίλλα? cf II*

γάρ τίς ἐστι ζωὴ εἰς ἣν εἰσελεύσῃ σὺ καὶ ὁ πατήρ μου, δῆλον ὅτι κἀγὼ αὐτῆς βούλομαι μετασχεῖν. Ἦν δὲ ἡ Ἀρτεμήλα σφόδρα ὡραία. καὶ λέγει αὐτῇ ἡ μήτηρ αὐτῆς Νερκέλα· Ἀνάστα ὦ θύγατερ καὶ ἔκδυσαι τοῦτο τὸ πολύχρυσον ἔνδυμα ὃ φορεῖς. Ἡ δὲ εἶπεν· Τὸ θέλημα τοῦ θεοῦ τοῦ ξένου ἔσται ἐν παντί. Λέγει πάλιν ὁ Ἴρεος τῇ γυναικὶ αὐτοῦ Νερκέλᾳ· Ἐξέλθωμεν πρὸς αὐτόν· ἐὰν γὰρ ἴδῃς αὐτόν, πᾶσα ἡ οἰκία ἡμῶν πιστεύει εἰς αὐτόν.

60 (16) Καὶ εὐθὺς ἀνέστη, καὶ ἐξεδύσατο τὰ ἱμάτια τὰ διάχρυσα, καὶ ἐνεδύσατο ἔνδυμα ταπεινὸν αὐτή τε καὶ ἡ θυγάτηρ αὐτῆς, καὶ ἐξῆλθον ἐκ τοῦ κοιτῶνος. ὁ δὲ Ἴρεος προεπορεύετο ἀγαλλιῶν· ἦν δὲ ἡ καταστολὴ αὐτῶν εὐπρεπὴς καὶ οὐδὲν ἦν ἀκατακάλυπτον τοῦ σώματος αὐτῶν, εἰ μὴ τάχα μόνον οἱ ὀφθαλμοί. καὶ λέγει ὁ Ἴρεος· Δεῦτε, μὴ διστάσητε. Ὡς οὖν ἦλθον πρὸς τὸν ἀπόστολον τοῦ Χριστοῦ Φίλιππον, 224 B
καὶ εἶδον αὐτὸν ὡς μέγα τι φῶς, καὶ τοὺς μαθητὰς κύκλῳ αὐτοῦ, οὐκ ἴσχυσαν ἐγγίσαι αὐτῷ· καὶ ὁ Ἴρεος δὲ ἐφοβήθη τὸν Φίλιππον, πῶς οὕτως μετεμόρφωσεν ἑαυτόν. καὶ πεσόντες ἐπὶ πρόσωπον ἔκλαιον λέγοντες· Ἵλεως ἡμῖν γενοῦ. Καὶ ἐσαλεύθη πᾶσα ἡ οἰκία διὰ τὸν φόβον τὸν ἐπελθόντα ἐπ' αὐτούς.

61 (17) Ὅτε δὲ ἔγνω ὁ Φίλιππος ὅτι οὐ δύνανται ὑποφέρειν τὸ βάρος τοῦ φωτός, ἐμνήσθη τοῦ Ἰησοῦ, καὶ ἐγένετο πάλιν ἐν τῇ εἰκόνι τῇ πρώτῃ καὶ εἶπεν ὁ Φίλιππος· Ἀνάστητε καὶ μὴ φοβεῖσθε. Καὶ ὡς ἀνέστησαν, εἶπεν ἡ Νερκέλα τῷ Φιλίππῳ· Μακαρία εἰμὶ εἰ ἔσομαι ἀξία ἵνα οἰκήσῃς ἐν τῇ οἰκίᾳ μου· οὐαὶ γάρ, οὐαὶ τῇ ἀπιστίᾳ μου. μὴ οὖν λογίσῃ τὰ ἐλθόντα ἐν τῇ καρδίᾳ μου καὶ τοὺς κρυφίους μου περὶ σοῦ λόγους· ὅτι οὐκ ἐγίνωσκον τίς εἶ. Ὁ δὲ Ἴρεος ἦν εὐφραινόμενος ἐπὶ τοῖς ῥήμασιν αὐτῆς, καὶ ὅτι ἡ θυγάτηρ αὐτοῦ, ὡς εἶδεν τὴν μητέρα αὐτῆς κλαίουσαν, καὶ αὐτῆς τὰ δάκρυα ἔρευσαν ἐπὶ τὰς παρειὰς αὐτῆς. ὁμοίως δὲ καὶ οἱ δοῦλοι καὶ αἱ δουλίδες ἐθροήθησαν ἐπὶ τῇ τοσαύτῃ ὀπτασίᾳ.

62 (18) Ὁ δὲ Φίλιππος τῇ Νερκέλᾳ ἔφη· Εἰ θέλεις ζῆσαι γύναι τὴν αἰώνιον καὶ μακαρίαν ζωήν, καταφρονήσασα τοῦ παντὸς βίου καὶ τοῦ κάλλους σου; Ἡ δὲ ἀποκριθεῖσα εἶπεν· Ὅσα ἐὰν κελεύῃς ποιήσω ἵνα | γένηταί μοι σωτηρία. Ὡσαύτως 225 B
καὶ ἡ θυγάτηρ εἶπεν· Δέομαί σου ἄνθρωπε τοῦ θεοῦ, κἀγὼ

---

5 *non nulla praetermissa esse uidentur* ‖ 37 κελεύεις *V: scr* κελεύσῃς?

θέλω σωθῆναι. Εἶπεν δὲ ὁ Φίλιππος· Ἐφ' ὅσον καὶ σὺ καταλιμπάνεις τὸ κάλλος τοῦ σώματός σου, σωθήσῃ.

63 (19) Ἤρξατο οὖν διδάσκειν αὐτοὺς τὰ περὶ πίστεως καὶ τὰ περὶ τοῦ υἱοῦ τοῦ θεοῦ, καὶ κατηχήσας αὐτοὺς καὶ πάντας τοὺς τοῦ οἴκου ἐβάπτισεν εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. ἐμείναμεν δὲ ἐν τῷ οἴκῳ αὐτῶν μῆνα ἡμερῶν, διδασκόμενοι καὶ ὁδηγούμενοι ὑπὸ Φιλίππου εἰς τὴν ἀληθινὴν γνῶσιν· καὶ συνέτρεχον πλήθη πολλὰ καθ' ἑκάστην ὑπ' αὐτοῦ διδασκόμενοι, καὶ ἐπίστευον μεγαλυνόμενοι ἐν τῇ δόξῃ τοῦ Ἰησοῦ, θεραπευόμενοι οἱ τὰς νόσους ἔχοντες· καὶ τὰ ἀκάθαρτα πνεύματα ἔφυγον· καὶ πάντες ἔλεγον· Εὐλογητὸς ὁ Φιλίππου θεός, ὅτι τῇ ἰδίᾳ αὐτοῦ εὐσπλαγχνίᾳ ἠθέλησεν ἡμᾶς σῶσαι· αὐτῷ αἰνοῦμεν καὶ δοξάζομεν εἰς αἰῶνας αἰώνων. ἀμήν.

Πρᾶξις ϛʹ ἐν Νικάτηρα πόλει τῆς Ἑλλάδος.

64 (1) Ὄντος δὲ τοῦ Φιλίππου ἐν τῇ οἰκίᾳ τοῦ Ἰρέου, καὶ τῶν ἀδελφῶν πάντων συνηγμένων, ἐκινήθησαν πάντες οἱ
226 B ὄντες Ἰουδαῖοι καὶ παρασεβό|μενοι ἐν τῇ πόλει πάντες κατὰ τοῦ Ἰρέου, ὅτι ἦν ὁ Φίλιππος ἐν τῇ οἰκίᾳ αὐτοῦ, λέγοντες ὅτι Οὐ μικρὰ φροντὶς ἡμῖν ἐστι καὶ ὀδύνη ὅτι ὁ μάγος ὁ λεγόμενος Φίλιππος ἐν τῇ οἰκίᾳ ἐστὶ τοῦ Ἰρέου, καὶ ὅτι δι' αὐτοῦ πολλοὺς ἀπατᾷ. Καὶ ἦν ἡ στάσις πολλὴ ὅτι ὁ Ἴρεος ἐπίστευσεν τῷ Χριστῷ πανοικί, καὶ ἔλεγον· Εἰ τάχιον ἔγνωμεν, ἐδιώξαμεν ἂν τὸν μάγον, ἢ καὶ ἐκλείσαμεν τὰς πύλας τῆς πόλεως, καὶ οὐκ ἂν εἰσῆλθεν ὁ φαρμακός· ἀλλὰ πέμψωμεν πρὸς τὸν Ἴρεον ἄνδρας τινὰς κατὰ τὴν ἀξίαν αὐτοῦ, καὶ ἢ ἀποστήσει ἑαυτὸν τῆς τοῦ ξένου ἀπάτης, ἢ προσαγάγῃ αὐτὸν ἐν τῷ δημοσίῳ.

65 (2) Καὶ προσκαλεσάμενοι τῶν πρωτίστων ἄνδρας ἑπτὰ παρεκάλεσαν ἀπελθεῖν, εἰπόντες· Εἴπατε τῷ Ἰρέῳ· Ἡ πᾶσα πόλις προσδέχεταί σε. Καὶ ἀπελθόντες ἔστησαν πρὸ τοῦ πυλῶνος, καὶ οὐδεὶς αὐτῶν ἐτόλμησεν καλέσαι διὰ τὸ πλῆθος τῶν μαθητῶν. καὶ ἐξελθοῦσά τις παιδίσκη καὶ ἰδοῦσα αὐτοὺς εἶπεν· Τίνα ζητεῖτε ὦ ἄνδρες, καὶ τίνος ἕνεκεν

[4] *del τὰ?* ‖ [6] *ἔμειναν Batiffol: cf 17, 1* ‖ [10] *praetermissus uidetur locus de seruo debili: cf 11* ‖ [11] *ἔφευγον Batiffol probabiliter* ‖ [13] *scr αὐτὸν?* ‖ [17] *del πάντες?* ‖ [22] *del ἢ?* ‖ [25] *πέμψομεν V* ‖ [27] *προσαγάγει V: scr προαγάγῃ?*

στήκετε πρὸ τῶν ἡμετέρων πυλῶν; Οἱ δὲ οὐκ ἔδωκαν αὐτῇ ἀπόκρισιν. καὶ εἰσδραμοῦσα μετὰ σπουδῆς, κλείσασά τε τοὺς πυλῶνας, προσελθοῦσα τῷ Ἰρέῳ λέγει· Ὦ δέσποτα, ἑπτὰ ἄνδρες ἵστανται πρὸ τοῦ πυλῶνος, καὶ τὰ πρόσωπα αὐτῶν γέμει πονηρίας καὶ ἀδικίας. Καὶ ἀναστὰς ἐξῆλθεν, καὶ θεασάμενος αὐτοὺς ἐμειδίασεν. εἶπαν δὲ πρὸς αὐτόν· | Χαίροις (227 B) ὁ μέγας καὶ πρῶτος τῆς πόλεως. Καὶ εἶπεν ὁ Ἴρεος· Τίνος ἕνεκεν ἤλθετε; ἢ νομίζετέ με μεταστῆσαι ἀπὸ τοῦ ἁγίου ἀνδρός; τί οὕτως στήκετε ἐν πονηρίᾳ; Καὶ εἶπαν αὐτῷ· Ἡ πᾶσα σχεδὸν πόλις ἀπέσταλκεν ἡμᾶς, καὶ εἰ θέλεις ἐλθέ. Καὶ ἠκολούθησεν αὐτοῖς ὁ Ἴρεος.

66 (3) Ὡς δὲ εἶδον αὐτὸν οἱ καθεζόμενοι ἄρχοντες, ἀνέστησαν καὶ ἐξεπλάγησαν ὅτι οὐκ ἦν ἠμφιεσμένος ὡς πρώην, καὶ ὅτι οὔτε μετὰ ὀψικίου καὶ ὄχλου, ἀλλὰ δύο δοῦλοι μόνον ἠκολούθουν αὐτῷ. εἷς δέ τις ἐξ αὐτῶν Ὀνήσιμος πρῶτος εἶπεν μετὰ τὸ καθεσθῆναι αὐτούς· Οἶδα ὅτι οὐκ ἰσχύω λαλῆσαί σοι, ἀλλά, παρακαλῶ, φθέγξαι ἡμῖν διὰ τί οὕτως ἀπηούχασας πανοικὶ μετὰ τοῦ ξένου καὶ μάγου τοῦ καλουμένου Φιλίππου; μή τι καινότερον ἀκούσας ἠπατήθης ὑπὸ τοῦ ξένου; νῦν οὖν παράδος ἡμῖν αὐτόν, ἵνα καὶ σὺ σωθῇς καὶ ἡ οἰκία σου, ὅτι πᾶσα ἡ πόλις κατὰ σοῦ στασιάζει. μὴ οὖν ἡμᾶς ἀπαξιώσῃ, ἀλλὰ ἀποκρίθητι ἡμῖν κἂν ἓν ῥῆμα, ὅτι καὶ οἱ ἄρχοντες καὶ πᾶσα ἡ πόλις σοῦ ἕνεκεν συνῆλθον.

67 (4) Καὶ ὁ Ἴρεος ἀπεκρίθη· Ἵνα τί ἐγὼ σήμερον ὑφ' ἡμῶν ἀνακρίνομαι ἕνεκεν τοῦ δικαίου ἀνδρός; ἀπόστητε ἀπ' αὐτοῦ, καὶ τὴν ταραχὴν ὑμῶν παύσασθε, μή ποτε ἀγανακτήσας ὁ τοῦ θεοῦ ἄνθρωπος ἐπικαλέσηται τὸν ἴδιον θεόν, καὶ πάντας ὑμᾶς πυρὶ κατακαύσει.

68 (5) Οἱ δὲ ἄρχοντες καὶ τὰ πλήθη ἔκραξαν· Οὐ πείθεις ἡμᾶς τὸν | ξένον εἶναι ἐν τῇ πόλει ἡμῶν. οὔτε γὰρ ἀνεχόμεθα (228 B) τῆς διδαχῆς αὐτοῦ· ἔχομεν γὰρ ἡμετέρους θεοὺς ἰσχυροὺς ὑπὲρ τοῦ θεοῦ αὐτοῦ. Οἱ δὲ Ἰουδαῖοι μεῖζον ἔκραζον· Ἄρατε τὴν ἄδικον ταύτην καὶ ξένην διδαχὴν τῆς πόλεως ἡμῶν. Ἰδὼν οὖν ὁ Ἴρεος ὅτι οὐ δύναται ἀνατρέψαι τὰ πλήθη, ἀνεχώρησεν εἰς τὴν οἰκίαν αὐτοῦ. καὶ ἐμβλέψας ὁ Φίλιππος τῷ Ἰρέῳ λέγει· Μή τι ἐφοβήθης περὶ τῶν στασιαζόντων; Καί

[1] *scr τοῦ ἡμετέρου πυλῶνος? cf 4; 26, 31; 28, 10* ‖ [2] *scr τὸν πυλῶνα?? cf 1* ‖ [8] *ἢ ν.] ἐνομίζετε Batiffol* ‖ [9] *εἶπον Batiffol* ‖ [14] *scr οὐδὲ?* ‖ [16] *καθισθῆναι Batiffol* ‖ [17] *scr ἀφησύχασας??* ‖ [25] *scr ὑμῶν* ‖ [28] *κατακαύσῃ Batiffol fort rec'e (ει ex η V)* ‖ [32] *scr τὸν θεὸν?* ‖ [33] *<ἐκ> τῆς?*

φησιν ὁ Ἴρεος· Οὐκ ἐπιστραφήσομαι εἰς τὰ ὀπίσω, εἰ καὶ δέοι ἀποθανεῖν με.

69 (6) *Καὶ ὡς ἦν ἐν τῇ οἰκίᾳ τοῦ Ἰρέου ὁ Φίλιππος, λαβόντες ξύλα οἱ ὄχλοι καὶ οἱ ἄρχοντες τῆς πόλεως παρεγένοντο μετὰ θυμοῦ καὶ ἔκραξαν λέγοντες· Δὸς ἡμῖν τὸν πλάνον, ἐξάγαγε τὸν μάγον, μὴ καὶ σὺ καὶ ὁ οἶκός σου καὶ τὰ τέκνα καὶ οἱ παῖδες καὶ ὁ μάγος μετὰ τῶν αὐτοῦ μαθητῶν πυρίκαυστοι γενήσεσθε· πᾶσα ἡ πόλις βοᾷ.*

70 (7) *Ὡς δὲ ἔγνω ὁ Φίλιππος ὅτι ταράσσειν μέλλουσι τὴν οἰκίαν ἕνεκεν αὐτοῦ, ἀνοίξας τὸν πυλῶνα ἐξῆλθεν ἅμα τοῖς σὺν αὐτῷ· συνεξῆλθεν δὲ καὶ ὁ Ἴρεος. καὶ πᾶς ὁ ὄχλος ἰδόντες τὸν Φίλιππον ἔκραξεν· Ἰδού, οὗτός ἐστιν ὁ μάγος, ἀποκτείνωμεν αὐτόν. Προσέταξεν δὲ ὁ Ἴρεος ἱκανοὺς δούλους ἀκολουθεῖν τῷ Φιλίππῳ, ἵνα μὴ ἀδικήσωσιν αὐτὸν ἐν τῇ μωρίᾳ αὐτῶν. ἁρπάσαντες οὖν οἱ ὄχλοι τὸν Φίλιππον ἤγαγον*
229 B *εἰς τὸ | βουλευτήριον, ἵνα μαστίξωσιν αὐτόν· οἱ δὲ ὄχλοι ἔκραζον· Δήσατε τοῦ πλάνου τὰς χεῖρας καὶ τοὺς πόδας ἰσχυρῶς, καὶ οὕτως μαστίξατε.*

71 (8) *Θεασάμενος δὲ ὁ Ἴρεος τὴν ὀργὴν αὐτῶν ἀνέδραμεν ἐπὶ τοὺς ἀναβαθμοὺς τοῦ βουλευτηρίου, καὶ ἐβόησεν φωνῇ μεγάλῃ· Οὐ πλήξετε τὸν ἄνδρα ἄνευ αἰτίας· ταῦτα γὰρ ὁ Καῖσαρ ἀκούσει. Ὡς δὲ εἶδον οἱ ὄχλοι τὸν Ἴρεον οὕτως ἑστῶτα, ἠγανάκτησαν λέγοντες· Μὴ ἀκούσωμεν τοῦ Ἰρέου, ἀλλ᾽ ὅπερ τολμῶμεν ποιήσωμεν. Καὶ προσῆλθον τῷ Φιλίππῳ τοῦ μαστίζειν, ὁ δὲ Ἴρεος κατελθὼν ἀπέσπασεν ἀπ᾽ αὐτῶν τὸν Φίλιππον, καὶ κρατῶν αὐτὸν τῆς χειρὸς εἶπεν· Ἰδοὺ πάντες λέγετε ὅτι μάγος ἐστὶν οὗτος· ἐλέγξατε τὰς μαγείας αὐτοῦ. Εἶτα ἀνέκραξαν ὅτι Καινὸν καὶ ξένον ἄκουσμα ἤγαγεν ἡμῖν, Ἁγνοὶ λέγων μείνατε, καὶ ζήσεσθε, καὶ ἔσεσθε ὡς φωστῆρες ἐν οὐρανῷ· Καὶ τὸν ἐσταυρωμένον λέγει θεόν.*

72 (9) *Ἀκούσας δὲ ταῦτα ὁ Φίλιππος εἶπεν· Οἶδα ὅτι ἐὰν θελήσω οὐ μαστίζετέ με· τῇ γὰρ δυνάμει τοῦ ἐσταυρωμένου πατάξω ὑμᾶς πάντας τυφλώσει. Εἷς οὖν ἐξ αὐτῶν ὀνόματι Ἀρίσταρχος, υἱὸς Πληγενοῦς, μέγας ὢν ἐν τοῖς Ἰουδαίοις, ἐνώπιον πάντων λέγει τῷ Φιλίππῳ· Μὴ σπεῦδε ἡμᾶς ὦ Φίλιππε τυφλῶσαι· οἶδα γὰρ ὅτι δύνασαι. ἀλλὰ συζητήσωμεν διὰ λόγων περὶ τοῦ Ἰησοῦ· πεῖθον ἡμῖν ὁ λόγος· καὶ*

---

1 *δεει V δεῖ Batiffol* ‖ 13 *ἀποκτείνομεν V* ‖ 22 *scr ἀκούσεται? an ἀκούσῃ? cf 26, 27; 29, 2 al* (*ει ex η V*) ‖ 29 *λέγον V* ‖ 30 *τὸν*] *scr τινὰ?? cf 21, 2 et 29, 14* ‖ 32 *μαστίξετε Batiffol* ‖ 37 *scr πεῖσον ἡμᾶς λόγοις???* | *πείθων Batiffol fort recte*

μὴ τῇ μαγείᾳ σου θέλε ἡμᾶς ἐκτυφλοῖν. καὶ γὰρ ἐγὼ μέγας εἰμὶ ἐν τοῖς Ἰουδαίοις, καὶ ἐὰν ἐπιτρέψω, ἄρτι λιθάσωσί σε καὶ τοὺς μετὰ σέ. | [230 B]

73 (10) *Καὶ ἥψατο τοῦ πώγωνος Φιλίππου ἕλκων αὐτόν· ὁ δὲ Φίλιππος οὐκ ἀλγήσας, ἀλλὰ διὰ τοὺς παρόντας πράως ὀργισθείς, εἶπεν πρὸς αὐτόν· Ἰδοὺ λέγω σοι ὅτι ἡ χεὶρ αὕτη ξηρὰ καὶ τὰ ὦτά σου κωφὰ ἐν ἀλγήσει καὶ ὁ δεξιός σου ὀφθαλμὸς πηρός, ὅτι ἠπείλησας λιθοβολῆσαί με, καὶ ἐνύβρισας τὸν ἐσταυρωμένον, τὸν οὐρανοῦ καὶ γῆς ποιητήν.*

74 (11) *Καὶ ἦν ἰδεῖν ἐξαίφνης παράδοξον θαῦμα εἰς αὐτόν· εὐθέως γὰρ ὁ μὲν ὀφθαλμὸς αὐτοῦ ἐκοιλάνθη ὡς οὐκ ὤν, τὰ δὲ ὦτα αὐτοῦ ἤλγουν οὐ μικρῶς, καὶ ἡ δεξιὰ αὐτοῦ χεὶρ ἐκρέματο ξηρὰ ὧδε κἀκεῖσε περιφερομένη· καὶ ἐβόα λέγων· Ἐλέησόν με δοῦλε τοῦ ἐσταυρωμένου θεοῦ Φίλιππε· διὰ τοῦτο γὰρ καὶ προεῖπον ὅτι εἴ τι θέλεις δύνασαι ποιῆσαι. Παρεκάλει δὲ καὶ τοὺς σὺν αὐτῷ Ἰουδαίους ὅπως ἀξιώσωσι τὸν Φίλιππον ἵνα σπλαγχνισθεὶς ἰάσηται αὐτόν.*

75 (12) *Ἐπῆραν δὲ φωνὴν πάντες λέγοντες· Θεὸν ἔχεις ξένε ἰσχυρόν· θεράπευσον τὸν πρῶτον τοῦ ἔθνους ἡμῶν, ὅτι ἀληθῶς ἄνθρωποι ὄντες θεῷ μάχεσθαι οὐ δυνάμεθα.*

76 (13) *Σπλαγχνισθεὶς οὖν ὁ Φίλιππος προέτρεψεν τῷ Ἰρέῳ λέγων· Πρόσελθε καὶ ἐπίθες τὴν δεξιάν σου χεῖρα ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, καὶ σήμανον αὐτῷ τὸν σταυρὸν τοῦ Χριστοῦ, καὶ ἰαθήσεται. Ὁ δὲ Ἴρεος προσελθὼν αὐτῷ εἶπεν· Ἐν τῷ ὀνόματι τοῦ σταυρωθέντος Ἰησοῦ | Χριστοῦ γενοῦ* [231 B] *ὑγιής. Καὶ εὐθέως ἰαθεὶς ἔκθαμβος ἐγένετο, καὶ δραμὼν ἔπεσεν εἰς τοὺς πόδας αὐτοῦ λέγων· Οἶδα Φίλιππε ὅτι ὅσα θέλεις δύνασαι· τοῦτο γὰρ καὶ προεῖπόν σοι· πλὴν οὖν διὰ τὴν ἀπιστίαν ἐμοῦ καὶ τοῦ συμπαρόντος πλήθους ἀνάσχου μοι τὸν λόγον, ὅτι ἀκριβῶς θέλω συζητῆσαι ἐκ τῶν γραφῶν τὰ περὶ τοῦ Ἰησοῦ, διὰ τί αὐτὸν ὑμεῖς θεὸν καλεῖτε. ἀλλ᾽ ὁρκίζω σε μὴ πάλιν ἐμβριμησάμενος ἐπιθήσῃς μοι ὀδύνας. Καὶ ὄχλοι εἶπον· Ἀξιοῦμέν σε Φίλιππε. μὴ ὀργισθῇς ἐλεγχόμενος, μηδὲ πάλιν δειλιάσῃς περὶ τὴν διδασκαλίαν σου· ἀκούσαντες*

---

[1] *ἐκτυφλοῦν Batiffol* ‖ [2] *λιθάσουσί Batiffol: cf 28, 22* ‖ [3] *σοῦ Batiffol recte ut uid* ‖ [7] *ἐν ἀ.] ἐναλγήσει Batiffol* ‖ [12] *μικρόν Batiffol: cf 5, 29* | [15] *καὶ et ποιῆσαι del Batiffol* ‖ *scr ποιῆσαι δύνασαι?* ‖ *del ποιῆσαι? cf 28* [20] *ἀληθῶς quid sibi uelit non uideo: cf 9, 24; 11, 19* ‖ [21–22] *scr τὸν Ἴρεον?* ‖ [23] *scr τὴν κεφαλὴν?* ‖ [29] *ἀνέχου Batiffol* ‖ [30] *scr μου?* ‖ [32] *scr ἐπιθήσεις? cf 38, 18* ‖ [33] *<οἱ> ὄχλοι?* ‖ *ὀργισθεὶς V*

γὰρ ἡμεῖς τὰ παρ' ἀμφοτέρων κριταὶ ἀληθείας ἐσόμεθα, καὶ ἐὰν νικήσῃς, πάντες πιστεύσομεν τῷ διὰ σοῦ κηρυττομένῳ Χριστῷ.

77 (14) *Ὁ δὲ Φίλιππος μειδιάσας εἶπεν πρὸς τὸν Ἀρίσταρχον· Εἰ θέλεις, εἰπὲ πρῶτος. Τότε ὁ Ἀρίσταρχος λέγει τῷ Φιλίππῳ· Λαμβάνεις τὰς προφητικὰς γραφὰς ἢ οὔ; Καὶ ὁ Φίλιππος· Διὰ τὴν ἀπιστίαν ὑμῶν χρεία προφητῶν. Καί φησιν ὁ Ἰουδαῖος· Ἀγνοεῖς Φίλιππε ὅτι γέγραπται· Τίς ἐξηγήσεται τὰς ἀρετάς σου ὁ θεός; Καὶ ὅτι Οὐδείς ποτε δύναται γνῶναι τὴν δόξαν σου; Καὶ ὅτι Ἡ δόξα σου ἐπλήρωσε τὴν γῆν; Καὶ ὅτι Κύριος κριτὴς ζώντων καὶ νεκρῶν; Καὶ ὅτι Ὁ θεός φησι πῦρ καταναλίσκον καὶ φλογιεῖ κύκλῳ τοὺς ἐχθροὺς αὐτοῦ; Καὶ ὅτι Εἷς θεὸς ἐποίησε ταῦτα πάντα;*
232 B *Πῶς οὖν λέγεις Φίλιππε ὅτι ἀφθάρτως | ἐγέννησεν ἡ Μαρία τὸν Ἰησοῦν, καὶ ἔστι θεός; καὶ πῶς ἐσταυρώθη, καὶ πῶς ἀγωνίζῃ σὺ περὶ αὐτοῦ, εἰ θεός; ἀλλὰ πάντως ἐλέγξεις με ὅτι οὗτός ἐστι δύναμις θεοῦ καὶ θεοῦ σοφία, ὃς συμπαρῆν τῷ θεῷ ὅτε καὶ τὸν κόσμον ἐποίησε. τοῦτο γὰρ οὐκ ἀρνοῦμαι, ὡς εἶπεν ἡ πρώτη γραφή· Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν· ἐὰν γὰρ αὐτὰ σιωπήσω, ἐλέγξεις με.*

78 (15) *Ὁ δὲ Φίλιππος μειδιάσας ἐν ἀγαλλιάσει εἶπεν εἰς ὅλον τὸν ὄχλον· Ἀκούσατέ μου, καὶ γίνεσθε κριταὶ τῆς ἀληθείας· ὁ γὰρ προφήτης Ἡσαίας περὶ τοῦ Χριστοῦ λέγει· Ἰδοὺ ὁ παῖς μου ὃν ἡρετισάμην, εἰς ὃν ηὐδόκησα· θήσω τὸ πνεῦμα ἐπ' αὐτόν. Καὶ περὶ τοῦ σταυροῦ αὐτοῦ εἴρηται· Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἄφωνος ἐναντίον τοῦ κείροντος αὐτόν. τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται; Καὶ πάλιν· Τὸν νῶτόν μου ἡτοίμασα εἰς μάστιγας, τὰς δὲ σιαγόνας μου εἰς ῥαπίσματα, τὸ δὲ πρόσωπόν μου οὐκ ἀπέστρεψα ἀπὸ αἰσχύνης ἐμπτυσμάτων. Καὶ ἄλλος· Ἐξεπέτασα τὰς χεῖράς μου πρὸς λαὸν ἀπειθοῦντα, καὶ ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ἐπιζητοῦσι, καὶ εὑρέθην τοῖς ἐμὲ μὴ ἐπερωτῶσι.*

[8] Sirach 18, 4; 5? ‖ [10] num 14, 21; Ies 6, 3 ‖ [11] Tim 2, 4, 1? ‖ [12] psalm 96 (97), 3 ‖ [13] psalm 145 (146), 6? ‖ [19] gen 1, 26 ‖ [25] Ies 42, 1, cf Matth 12, 18 ‖ [26] Ies 53, 7; 8 ‖ [29] Ies 50, 6 ‖ [31] Ies 65, 2; 1

---

[2] *πιστεύσωμεν V* ‖ [6] *τῷ||| V* ‖ [12] *φλογίζει Batiffol: cf H* ‖ [16] *et* [20] *ἐλέγξῃς V* ‖ [20] *ταῦτα Batiffol* ‖ [25] *ἡρετ. εἰς ὃν om Batiffol* ‖ [26] *πνεῦμά ⟨μου⟩? cf H* ‖ [30] *σιγόνας Batiffol* ‖ [31] *ἄλλος?? idem est*

Ὁ δὲ Δαυὶδ περὶ αὐτοῦ φησιν· Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε· αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου. Καὶ περὶ τῆς ἀναστάσεως αὐτοῦ καὶ περὶ τοῦ Ἰούδα λέγει· Κύριε τί ἐπληθύνθησαν οἱ θλίβοντές με; πολλοὶ ἐπανίστανται ἐπ' ἐμέ, πολλοὶ | λέγουσι τῇ ψυχῇ μου· 233 B Οὐκ ἔστι σωτηρία αὐτοῦ ἐν τῷ θεῷ αὐτοῦ. Καὶ πάλιν ὁ Δαυίδ· Προωρώμην τὸν κύριον ἐνώπιόν μου διὰ παντός, ὅτι ἐκ δεξιῶν μού ἐστιν, ἵνα μὴ σαλευθῶ· διὰ τοῦτο εὐφράνθη ἡ καρδία μου καὶ οἱ νεφροί μου ἠλλοιώθησαν, ὅτι οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδην, οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν. Ὁ δὲ Δαυὶδ ἐτελεύτησε, καὶ τὸ μνῆμα αὐτοῦ οἴδαμεν· ταῦτα δὲ πάντα εἴρηται περὶ τοῦ Χριστοῦ καὶ τῆς ἐκ νεκρῶν αὐτοῦ ἀναστάσεως. λάβε καὶ ἐκ τῶν δώδεκα προφητῶν· Εἴπατε τῇ θυγατρὶ Σιών· Ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι ἐπιβεβηκὼς ἐπὶ πῶλον νέον. Καὶ ἕτερος· Ἐξ Αἰγύπτου ἐκάλεσα τὸν υἱόν μου. Καὶ ὁ πᾶς χορὸς τῶν προφητῶν καὶ πάντες οἱ πατριάρχαι περὶ τῆς ἐλεύσεως τοῦ Χριστοῦ ἐκήρυξαν.

79 (16) Καὶ ὁ Ἀρίσταρχος πάλιν εἶπεν· Οὗτος Ἰησοῦς Χριστὸς λέγεται. οἶδα γὰρ ὅτι Ἡσαίας χριστὸν εἴρηκεν· Τάδε λέγει κύριος τῷ χριστῷ μου κυρίῳ, καὶ οὐκ ἐκράτησα τῆς δεξιᾶς ἐπακοῦσαι· ἐπὶ σὲ ἔθνη ἐλπιοῦσιν. Οἱ δὲ Ἰουδαῖοι ἐμάχοντο τῷ Ἀριστάρχῳ Ὅτι φησὶν σὺ μᾶλλον ὑπέμνησας τὰ περὶ τοῦ Χριστοῦ γεγραμμένα. Καὶ πᾶς ὁ ὄχλος ἔλεγεν· Τί πρὸς ταῦτα ἀντιφιλονεικῶμεν τῷ Φιλίππῳ; Καὶ οἱ τῆς πόλεως ἄρχοντες ἔλεγον· Πάντως ὁ θεὸς ἤγαγεν τὸν Φίλιππον εἰς τὴν πόλιν ἡμῶν, ἵνα δι' αὐτοῦ μάθωμεν ὅτι οἱ θεοὶ ἡμῶν εἴδωλα κωφὰ καὶ τυφλὰ καὶ ἀναίσθητά εἰσιν. ἀλλὰ καὶ ὁ Ἰουδαῖος ὁ συζητήσας αὐτῷ μᾶλλον | ἐφανέρωσεν τὴν ἀποκεκρυμμένην 234 B δόξαν ἐν τοῖς προφήταις περὶ τοῦ Χριστοῦ· διὸ δοκιμάσαντες τοὺς ἀμφοτέρων λόγους, καὶ ἰδόντες ὅτι διὰ πάντων ἀσφαλῶς ἐφανερώθη ὁ Χριστός, παρακαλέσωμεν τὸν

1 psalm 2, 7 ‖ 4 psalm 3, 1 ‖ 7 psalm 15 (16), 8 - 10; cf act 2, 25 10 cf act 2, 27 ‖ 14 Zach 9, 9; cf Matth 21, 5 ‖ 15 Hos 11, 1; cf Matth 2, 15 ‖ 20 Ies 45, 1 ‖ 22 Ies 42, 4

1 *φησιν compend V* ‖ *υἱός] ὁ υἱός Batiffol* ‖ 3 *περὶ - αὐτ. del?? post πάλιν* (6) *ponend??* ‖ *καὶ del?* ‖ 10 *μου Batiffol* ‖ 21 *Κύρῳ Iesaias* ‖ *καὶ οὐκ] οὐ Iesaias et Batiffol* ‖ 22 *ἐπακοῦσαι <ἔμπροσθεν αὐτοῦ ἔθνη. Καὶ πάλιν· Ἔδωκα τὸ πνεῦμά μου ἐπ' αὐτὸν….>?* ‖ *ἐλπίζουσιν Batiffol* 23 *φασὶν Batiffol recte ut uidetur: φησιν (φησι?) compendio V* ‖ 25 *ἀντιφιλονεικοῦμεν Batiffol* ‖ 27–28 *οἱ θεοὶ - ἀλλὰ καὶ om Batiffol*

Φίλιππον ἵνα ἐν τῇ πόλει ἡμῶν τὸν πάντα χρόνον οἰκήσῃ εἰς ἡμετέραν σωτηρίαν.

80 (17) Ὁ δὲ Ἴρεος ἦν ἐν ἀγαλλιάσει καρδίας ἐπὶ τοῖς ῥήμασι τοῦ Φιλίππου, ὁ δὲ Φίλιππος οὐ διελίμπανεν δοξάζων τὸν θεόν. ὡς δὲ οἱ ἄρχοντες τῆς πόλεως διέκρινον τὰ ῥήματα τοῦ τε ἀποστόλου καὶ τοῦ Ἰουδαίου, ἰδοὺ εἰσήχθη κλίνη ἐφ' ᾗ ἐπέκειτό τις νεκρός, μονογενὴς υἱὸς τῷ πατρὶ καὶ τῇ μητρὶ ὑπάρχων, πλούσιος σφόδρα· ἦσαν δὲ καὶ τῇ κλίνῃ προσέγγιστα δοῦλοι δέκα, οἳ καὶ ἔμελλον συγκατακαίεσθαι τῷ νεκρῷ. οἱ δὲ ἄρχοντες τῆς πόλεως καὶ πᾶς ὁ ὄχλος καταμαθόντες ὅτι ἀληθῶς ἐστι νεκρὸς ἔκραξαν· Νῦν ὄντως μέγας ἐστὶν ἀγὼν τῶν χριστιανῶν· εἰ γάρ τίς ἐστιν ἐν αὐτῷ θεός, ἀναστήσει αὐτόν, καὶ πάντες πιστεύσομεν εἰς αὐτόν· ἀλλὰ καὶ αὐτοὺς τοὺς ναοὺς μετὰ τῶν εἰδώλων κατακαύσομεν.

81 (18) Ὡς οὖν ταῦτα οὕτως διελογίζοντο, οἱ γονεῖς ἔκλαιον. σπλαγχνισθεὶς δὲ ὁ Φίλιππος εἶπεν τῷ πατρὶ τοῦ παιδὸς καὶ τῇ μητρί· Τί ποιήσητε ἐὰν τὸν υἱὸν ὑμῶν ἀναστήσω; Λέγουσιν αὐτῷ· Ὅπερ ἐὰν θέλῃς ποιήσομεν. Οἱ δὲ
435 B μέλλοντες κατακαίεσθαι δοῦλοι διένευον τῷ ἀποστόλῳ | μνησθῆναι αὐτῶν· νόμος γάρ τις ἄνομος ἦν ἐν αὐτοῖς, ὅταν γάρ τις ἐκ τῶν πλουσίων ἐτελεύτα, σὺν αὐτῷ καὶ δούλους καὶ δουλίδας κατακαίεσθαι· καὶ ἄλλα τινὰ χείρονα ἔπραττον, οἱ πολλοὶ δὲ αὐτῶν καὶ τὰς ἰδίας γυναῖκας συνανήρουν.

82 (19) Εἶπεν οὖν ὁ Φίλιππος· Τοὺς δούλους τούτους δότε μοι. Οἱ δὲ γονεῖς εἶπον· Ἄλλους πλείους μετ' αὐτῶν καὶ ἀργύριον καὶ χρυσίον καὶ ἱματισμὸν δώσομέν σοι, καὶ πρὸς τούτοις πιστεύσομεν καὶ τῷ θεῷ σου, ὅτι θεὸς μόνος, δυνατὸς ὢν καὶ νεκροὺς ἀνιστᾶν. Προσέταξεν δὲ ὁ Φίλιππος τῷ ὄχλῳ ἀποστῆναι τῆς κλίνης, συνέθλιβον γὰρ ἀλλήλους· εἶπεν δὲ ὁ Φίλιππος πρὸς τὸν Ἀρίσταρχον· Ἄγε δὴ ὦ Ἰουδαῖε, ἰδοὺ ὅτι νεκρὸς κεῖται· εἰ οὖν τι δύνασαι, ἔγειρον αὐτόν. Καὶ ὑπὸ πάντων ἀναγκασθεὶς ὁ Ἀρίσταρχος μόλις προσῆλθεν τῷ νεκρῷ, καὶ ἥπτετο εἰς τὸ πρόσωπον αὐτοῦ, καὶ πολλὰ ἐνέπτυσεν αὐτόν, καὶ ἔσυρεν αὐτὸν ἀπὸ τῆς χειρός· καὶ οὐκ ἦν φωνὴ οὐδὲ ἀκρόασις τῷ νεκρῷ. καὶ ὡς οὐδὲν ἴσχυσεν, ἔκραξαν οἱ ὄχλοι· Ἄρατε τὸν Ἰουδαῖον ἐκ τοῦ μέσου. Καὶ ἀπέστη

[1] οὐκ ἐλίμπανεν Batiffol: cf 20, 22 ‖ [12] ⟨τοῦ ἀποστόλου⟩ τῶν?? ‖ [17] ποιήσετε Batiffol probabiliter ‖ [18] θέλεις V ‖ [20] ὅτ. γ.] scr ὅτ' ἀνήρ? ‖ γὰρ seclusit Batiffol ‖ [33] ἥπτ.] scr ἐκύπτετο??? cf Io 163, 24 ‖ scr αὐτοῦ εἰς τὸ πρ.??? ‖ [34] αὐτόν prius] scr αὐτῷ?

αἰσχυνόμενος. ὁ Ἴρεος θαρσοποιηθεὶς εἶπεν· Ὦ ἄνδρες Ἰουδαῖοι οἱ ἐναντιούμενοι τῷ θεῷ διὰ παντός, ἐτολμήσατε βλασφημῆσαι λέγοντες ὅτι Μάγος ἐστὶν ὁ Φίλιππος· Εἰ μὴ ἦν φιλάνθρωπος καὶ ἀγαθὸς ὁ ἐν αὐτῷ θεός, ἄρα ἂν ἐθανατώθητε σὺν αὐτῷ.

83 (20) Νηρεὺς δὲ ὁ τοῦ τεθνηκότος πατὴρ εἶπεν· Ἀναστήτω μόνον | 236 B ὁ υἱός μου, κἀγὼ κατὰ Ἰουδαίων ἀγωνίζομαι. Λέγει ὁ Φίλιππος· Ἐὰν μὴ ὁμολογήσῃς τοῦ μὴ ἀδικῆσαι Ἰουδαίους, οὐκ ἀναστήσεται ὁ υἱός σου. Ὁ δὲ πατὴρ τοῦ παιδὸς εἶπεν· Ποιῶ τὸ θέλημά σου. Ἐθαύμαζον δὲ πάντες οἱ ὄχλοι καὶ οἱ ἄρχοντες λογιζόμενοι τί ἄρα ποιήσει ὁ Φίλιππος, εἰ ἄρα δυνήσηται ἀναστῆσαι τὸν νεκρόν.

84 (21) Μὴ μελλήσας δὲ ὁ Φίλιππος, ἀναβλέψας εἰς τὸν οὐρανὸν καὶ προσελθὼν τῇ κλίνῃ ἔθηκεν τὰς χεῖρας ἐπὶ τὸν παῖδα, καὶ ηὔξατο λέγων· Ὁ θεὸς καὶ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ ἀεὶ ἐπακούων μου τῆς δεήσεως, ἐλθέτω καὶ νῦν ἡ δέησίς μου ἐνώπιόν σου, καὶ χάρισαι ζωὴν τῷ σῷ δούλῳ Θεοφίλῳ διὰ τὸν παρεστῶτα ὄχλον. Καὶ εὐθέως εἰσῆλθεν ἡ πνοὴ εἰς τὸν παῖδα, καὶ ἀνέῳξε τοὺς ὀφθαλμοὺς αὐτοῦ καὶ προσέσχεν τῷ Φιλίππῳ. οἱ δὲ ὄχλοι θεασάμενοι τὸ γεγονὸς ἔθλιβον ἀλλήλους ἐγγίζειν τὴν κλίνην θέλοντες ἰδεῖν τὸ θαῦμα. προσέθετο δὲ ὁ Φίλιππος ἐκ δευτέρου λέγων· Νεανία, ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ σταυρωθέντος ἐπὶ Ποντίου Πιλάτου, ἔγειρε. Καὶ εὐθέως ὁ Θεόφιλος ἀνεπήδησε τῆς κλίνης καὶ ἔκραξεν· Εἷς θεὸς ὁ Φιλίππου, Ἰησοῦς Χριστός, ὃς ἔδωκέν μοι τὸ ζῆν. Ὡς δὲ οἱ ὄχλοι ἐθεάσαντο τὸν παῖδα ἑστῶτα, ὡς ἐν μιᾷ φωνῇ ἔκραξαν· Εἷς θεὸς ὁ Φιλίππου ὁ τοὺς νεκροὺς ἀνιστῶν. Διεκρίνοντο δὲ εἰς ἀλλήλους καὶ ἔλεγον· Ποῖον λοιπὸν θαῦμα μεῖζον ἔχομεν ἰδεῖν; |

85 (22) Ἀπὸ δὲ τοῦ θαύματος τούτου ἐκέλευσεν ὁ Φίλιππος τῷ πατρὶ τοῦ παιδὸς ἐνέγκαι τοὺς δούλους, οὓς εἶπεν ἐλευθεροῦν. 237 B ἐλθόντες δὲ ἐν τῷ τόπῳ ὅπου ἦν ὁ παῖς ἐγηγερμένος, ἀπιδὼν ὁ ἀπόστολος τοῦ Χριστοῦ εἰς αὐτοὺς εἶπεν· Οἱ δοῦλοι μέχρι σήμερον, νῦν δὲ ἐλεύθεροι διὰ Χριστόν, μὴ ἀμελήσητε τῆς ἑαυτῶν σωτηρίας. Ὁ δὲ πατὴρ τοῦ παιδὸς

[1] ὁ] ὁ δὲ *Batiffol*: ⟨ταῦτα δὲ θεασάμενος⟩ ὁ? ‖ [4] ⟨οὐκ⟩ ἄρα … αὐτῷ;?? (σὺν αὐτῷ *utique de adulescente mortuo*) ‖ [11–12] *del* εἰ - νεκρόν?? [12] δυνήσεται *Batiffol probabiliter* ‖ [16] ἐλθάτω *Batiffol* ‖ [21] *scr* τῇ κλίνῃ?? ‖ ⟨καὶ⟩ *uel* ⟨τοῦ⟩ ἰδεῖν???

καὶ ἡ μήτηρ ἠγαλλιάσαντο ἐπ' αὐτοῖς, καὶ ὅτι τελείως εἶδον τὸν υἱὸν αὐτῶν ἐγηγερμένον.

Ἐπεὶ δὲ τούτῳ τῷ τρόπῳ ἐπίστευσαν ἅπαντες εἰς τὸν
86 *κύριον ἡμῶν Ἰησοῦν Χριστόν,* 86 (23) *καὶ τῇ ἕωθεν ἤρξατο*
ὁ Φίλιππος κατηχεῖν καὶ βαπτίζειν εἰς τὸ ὄνομα τῆς ἁγίας καὶ ὁμοουσίου τριάδος, καὶ λαβὼν τὸν Ἴρεον καὶ τοὺς πρώτους τῆς πόλεως περιήει καταλύων τὰ ἱερὰ τῶν εἰδώλων καὶ ἀνοικοδομῶν ἐκκλησίας ἱεράς, χειροτονῶν πρεσβυτέρους καὶ κληρικούς, καὶ κανόνας ἐκθέμενος αὐτοὺς καὶ τύπους εἰς δόξαν Χριστοῦ, ἐμεγαλύνοντο καὶ ἐκρατύνοντο τῇ πίστει.

Πρᾶξις ζʹ περὶ Νερκέλλας Ἰρέου εἰς Νικάτηραν.

87 (1) *Νερκέλλα δὲ ἡ τοῦ Ἰρέου γυνὴ καὶ ἡ θυγάτηρ*
238 B *αὐτῆς Ἀρτεμήλα | ἐχάρησαν ἐπὶ τῷ Φιλίππῳ, καὶ παρεκάλουν*
αὐτὸν εὐλογῆσαι αὐτάς. καὶ λέγει ὁ Φίλιππος· Ἰδοὺ τὸ αἴτημα ὑμῶν δίδωσιν ὑμῖν Ἰησοῦς Χριστός, καὶ εὐλογία ἐν ταῖς ψυχαῖς ὑμῶν.

88 (2) *Ὁ δὲ Ἴρεος εἶπεν τῷ Φιλίππῳ· Ποῦ θέλεις οἰκοδομήσωμεν συναγωγὴν καὶ ἐπισκοπεῖον ἐπὶ τῷ ὀνόματι τοῦ Χριστοῦ; Ὁ δὲ ἀπόστολός φησι· Ἐν ᾧ αὐτὸς οἶδας τέκνον· μόνον ἐκ τῶν σῶν ὑπαρχόντων καὶ μὴ ἐξ ἀδικίας. Λέγει ὁ Νηρεὺς ὁ τοῦ ἐγηγερμένου πατήρ· Καταξιώσατε ἐμὲ μᾶλλον οἰκοδομῆσαι. Καὶ ἦν χαρὰ μεγάλη, καὶ οὐκ ἠδύνατο χωρεῖν ἡ οἰκία τοὺς εἰσερχομένους ὄχλους. καὶ ἐξελθὼν ὁ Ἴρεος καὶ Νηρεὺς ἐκ τῆς οἰκίας συνεβουλεύσαντο μετ' ἀλλήλων περὶ τῆς οἰκοδομῆς, καὶ λέγουσι· Βάλωμεν κλήρους περὶ τοῦ τόπου ἐν ᾧ οἰκοδομήσωμεν, εἴτε ἐν τῷ σῷ τόπῳ, εἴτε ἐν τῷ ἐμῷ. Ὁ δὲ Ἴρεος ἔφη· Ἀγαθώτατε Νηρεῦ, εἰ θέλεις ἐν τῷ σῷ τόπῳ γενέσθαι τὴν οἰκοδομήν, οὐ λυπῶ σε· μόνον τὸ θέλημα τοῦ θεοῦ γινέσθω. Καὶ χρηματισθέντες καθ' ὃν ἔδει τρόπον οἰκοδομῆσαι, ἀνάλωσαν πολὺ χρυσίον οἱ δύο, καὶ τὸ πλῆθος τῶν ἀδελφῶν ἔχαιρεν ἐν τῇ σπουδῇ τῆς οἰκοδομῆς.*

89 (3) *Μόνοι δὲ οἱ Ἰουδαῖοι ἦσαν ζηλοῦντες, ἔλεγον δὲ εἰς ἑαυτοὺς ὅτι Οὐδεμίαν πρόφασιν ἔχομεν τοῦ κωλῦσαι αὐτούς·*

---

[1] *ἐπ' α.] scr ἐπὶ τούτοις?* ‖ [2] *αὐτῶν] αὐτὸν V corr Batiffol* ‖ [4–10] *καὶ τῇ - Χριστοῦ subditiua debebant ante 3 ἐπεὶ δὲ poni* ‖ [9] *αὐτοῖς Batiffol recte ut uid* ‖ [11] *Νερκέλας Batiffol* ‖ *Νικάτηρα Batiffol* ‖ [12] *Νερκέλα Batiffol* ‖ [26] *οἰκοδομήσομεν Batiffol* ‖ [29] *scr γενέσθω?* ‖ *scr τόπον? cf 25* ‖ [30] *πολλοὶ V: corr Batiffol*

διὰ τὰ θαυμάσια τοῦ Φιλίππου· ἀλλ' ἀποστῶμεν, μή τι κακὸν πάθωμεν ὑπ' αὐτοῦ, ὡς καὶ ὁ Ἀρίσταρχος ἐπλήγη, καὶ δεηθέντων ἡμῶν ἰάσατο | αὐτόν. ἀναχωρήσωμεν οὖν ἀπ' αὐτῶν· 239 B
δόξα γὰρ θεοῦ ἐστιν ἀληθῶς ἐπ' αὐτούς.

90 (4) *Μετὰ δὲ ταῦτα εἰσῆλθεν ὁ Φίλιππος εἰς τὴν οἰκοδομὴν καὶ ἠγαλλιάσατο· ἅπαντες δὲ οἱ πιστεύσαντες ἀπήρχοντο πρὸς αὐτὸν εἰς τὴν συναγωγήν, καὶ ἐδιδάσκοντο ὑπ' αὐτοῦ. ἔλεγεν δὲ αὐτοῖς· Ἀδελφοί μου, θέλω ἵνα ἡ εὐωδία ὑμῶν τῆς πίστεως γένηται ἐν παντὶ τόπῳ κατάδηλος· ἐξάρατε οὖν ἀφ' ὑμῶν πᾶσαν κακίαν καὶ πᾶσαν πονηρίαν καὶ ἀδικίαν καὶ ζῆλον καὶ ἔριν καὶ φθόνον καὶ φιλονεικίαν, ἵνα εὑρεθῆτε πραεῖς ἐν τῇ πίστει, καὶ ἐν τοῖς ἀγαθοῖς ἔργοις δόκιμοι. γινώσκω γὰρ ὅτι οὐ μὴ ἐκπέσητε τῆς ἐλπίδος τοῦ Χριστοῦ, καὶ οὐκ ἐγκαταλείψει ὑμᾶς εἰς τοὺς αἰῶνας· αὐτὸς γὰρ κατευθυνεῖ τὰς ὁδοὺς ὑμῶν ἐνώπιον αὐτοῦ.*

91 (5) *Ταῦτα δὲ εἰπὼν ὁ Φίλιππος ἐκράτησεν τὸν Ἴρεον, καὶ κατέστησεν αὐτὸν ἐπίσκοπον, καὶ ἐστήριξεν αὐτὸν ἐφ' οἷς ἤκουσεν καὶ ἐφ' ἅπασιν οἷς ἐθεάσατο. καὶ εἶπεν αὐτῷ ὁ Φίλιππος· Εἰρήνη ἐπὶ σὲ ἡ δοθεῖσα ἡμῖν παρὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἔλεος. Καὶ ἐπεφώνησαν ἅπαντες οἱ ἀδελφοί· Ἄξιος, ἄξιος, ἄξιος. Καὶ ἐπηύξατο ὁ Φίλιππος τῷ Ἰρέῳ, ἵνα γένηται πραότης ἐν αὐτῷ, καὶ ἵνα δυνηθῇ ποιμᾶναι τοὺς ἀδελφοὺς ἐν πίστει, καὶ πᾶν αἴτημα ἀγαθὸν ὃ ἐὰν αἰτήσηται παρὰ τοῦ θεοῦ δοθήσεται. καὶ στραφεὶς εἶπεν τοῖς ἀδελφοῖς· Ὑμεῖς οὖν τέκνα | δουλεύσατε αὐτῷ ἐν ὑποταγῇ, φανεροῦντες* 240 B
ἐνώπιον αὐτοῦ ὡς πατρὶ τοὺς λογισμούς. καὶ ἡ εἰρήνη τοῦ θεοῦ ἔστω μεθ' ὑμῶν πάντοτε· ἐγὼ γὰρ πορεύομαι.

92 (6) *Ὡς δὲ ταῦτα ἤκουσαν οἱ ἀδελφοὶ ἐστέναξαν καὶ ἔκλαυσαν σφόδρα, ὅτι εἶπεν αὐτοῖς Πορεύομαι· Οὐ γὰρ ἤθελον αὐτὸν ἀπ' αὐτῶν ἀπελθεῖν. λέγει αὐτοῖς ὁ Φίλιππος· Μὴ ὀδυνᾶσθε τῇ καρδίᾳ· ὥσπερ γὰρ ὁ κύριος ἡμῶν ᾠκονόμησεν ἐλθεῖν με πρὸς ὑμᾶς, οὕτως καὶ εἰς ἄλλας πόλεις ἀπέρχομαι, ἵνα πληρώσω τὸ θέλημα τοῦ Χριστοῦ· ὁ δὲ κύριος ἔσται μεθ' ὑμῶν.*

93 (7) *Καὶ ταῦτα εἰπὼν ηὔξατο μετ' αὐτῶν, καὶ ἠσπάσατο πάντας, καὶ ἐξῆλθεν ἀπ' αὐτῶν, καὶ οἱ μαθηταὶ αὐτοῦ μετ' αὐτοῦ, καὶ πολὺ πλῆθος, ὡς γεμίσαι καμήλους ἄρτους καὶ*

23 cf Matth 21, 22 Luc 11, 9

---

1 *κακῶν V* ‖ 13 *ἐκπεσεῖσθε Batiffol* ‖ 32 *οὔτω Batiffol* ‖ 37 *γεμίσαι ⟨ί⟩? cf 36, 4; 39, 31*

διάφορα βρώματα· καὶ ἐπὶ σταδίοις εἴκοσι ἦσαν ἀκολουθοῦντες. καὶ λέγει αὐτοῖς· Ἵνα τί σκύλλεσθε; Οἱ δὲ εἶπον· Ἕως οὗ ἴδωμεν τὸ πλοῖον ἐν ᾧ ἐπιβῆναι μέλλεις ἀκολουθήσομέν σοι. Καὶ λέγει αὐτοῖς· Μακρόθεν ἐστίν. Ἔλαβεν δὲ μόνον ἄρτους ε´, ἐπονομάσας τὸν Ἰησοῦν, καὶ προσέταξεν αὐτοὺς ἐπανακάμψαι εἰς τὴν πόλιν αὐτῶν μετὰ τῶν καμήλων καὶ τῆς πολλῆς αὐτῶν ἑτοιμασίας. καί φησι· Πορεύεσθε ἐν εἰρήνῃ, καὶ προσεύχεσθε περὶ ἐμοῦ πρὸς τὸν Χριστόν, ἵνα κατευθύνῃ τὴν ὁδόν μου ἐνώπιον αὐτοῦ ἐν εἰρήνῃ· καὶ ἡ δόξα τοῦ πατρὸς καὶ τοῦ
241 B υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος | ἔσται μεθ᾽ ὑμῶν εἰς αἰῶνας. Καὶ πεσόντες πάντες ἐπὶ πρόσωπον προσεκύνησαν τρίτον τῷ ἀποστόλῳ· ὁρμήσαντος δὲ τοῦ ἀποστόλου τὴν ἑαυτοῦ ὁδὸν ἔπεσον πάλιν ἅπαντες ἐπὶ πρόσωπον αὐτῶν ἐπὶ τὴν γῆν, ἕως οὗ ἀπέδυ ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν· κείμενοι δὲ ἐπὶ τοῦ ἐδάφους ἐβόων· Εὐλόγησον ἡμᾶς διδάσκαλε καὶ ὁδηγὲ τῶν ψυχῶν ἡμῶν. Καὶ ὅτε ἀπεδήμησεν ὥστε μὴ ὁρᾶσθαι αὐτὸν ὑπὸ τῶν ὀφθαλμῶν αὐτῶν, ἀναστάντες ἐπορεύοντο εἰς τὰ οἰκεῖα κλαίοντες καὶ ὑπομιμνησκόμενοι τῆς καλλίστης καὶ γλυκείας διδαχῆς τοῦ ἀποστόλου Χριστοῦ Φιλίππου, καὶ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν δοξάζοντες.

Πρᾶξις η´, ὅπου ὁ ἔριφος καὶ ὁ λεόπαρδος ἐν τῇ ἐρήμῳ ἐπίστευσαν.

94 (1) Ἐγένετο δὲ ὅτε ὁ σωτὴρ ἐμέρισεν τους ἀποστόλους κατὰ πόλιν καὶ χώραν, καὶ ἐπορεύθη εἷς ἕκαστος κατὰ τὴν πρόσταξιν ἣν διετάξατο αὐτῷ ὁ κύριος, καθὼς καὶ τὸν κλῆρον διένειμεν αὐτοῖς, ἔλαχεν ἀπελθεῖν καὶ τὸν Φίλιππον εἰς τὴν γῆν τῶν Ἑλλήνων. ἀκούσας δὲ ὁ Φίλιππος τὸ ὄνομα τῆς χώρας καὶ τῆς πόλεως τῆς κεκληρωμένης αὐτῷ, σκληρὸν
242 B αὐτῷ | ἐφάνη, καὶ ἔκλαιεν. ἡ δὲ Μαριάμνη ἡ τούτου ἀδελφή — αὕτη γάρ ἐστιν ἡ ἑτοιμάζουσα τὸν ἄρτον καὶ τὸ ἅλας ἐν τῇ κλάσει τοῦ ἄρτου, ἡ δὲ Μάρθα ἐστὶν ἡ διακονοῦσα τοῖς πλήθεσι καὶ κοπιῶσα σφόδρα — ἰδοῦσα τὸν ἴδιον ἀδελφὸν βαρέως φέροντα τὸν λαχόντα αὐτῷ κλῆρον, καὶ ὅτι σφοδρῶς ἔκλαιε περὶ τούτου, προσῆλθεν τῷ Ἰησοῦ λέγουσα· Κύριέ μου Ἰησοῦ

[29] et [31] cf Luc 10, 38 ss

[16] *αὐτῶν V* || [19] *⟨τοῦ⟩ Χρ.?? cf 4, 5* || [27] *Ἑλλ.] Ὀφιανῶν uolt Batiffol (cf 37, 26) sed cf Stoelten et Lipsius Jahrb f prot Theol XVII (1891) p 157 et p 468*

Χριστέ, οὐχ ὁρᾷς τὸν ἀδελφόν μου Φίλιππον ὅσον λελύπηται διὰ τὴν χώραν τῶν Ἑλλήνων;

95 (2) *Λέγει αὐτῇ ὁ σωτήρ· Οἶδα ἐκλελεγμένη γυναικῶν, οἶδα· ἀλλὰ πορεύου μετὰ τοῦ ἀδελφοῦ σου εἰς πάντα τόπον ὅπου ὑπάγει καὶ γενοῦ παραθαρρύνουσα αὐτῷ· οἶδα γὰρ ὅτι ἄνθρωπος τολμηρός ἐστι καὶ ὀργίλος, καὶ ἐὰν ἀφῶμεν αὐτὸν μόνον, πολλὰς ἀνταποδόσεις ποιήσει τοῖς ἀνθρώποις. ἀλλ' ἰδοὺ καὶ τὸν Βαρθολομαῖον καὶ Ἰωάννην ἀποστελῶ ἐν τῇ πόλει ἐκείνῃ συγκακοπαθῆσαι αὐτὸν διὰ τὴν πολλὴν πονηρίαν τῶν οἰκούντων ἐκεῖσε· οἱ γὰρ ἄνθρωποι ἐκεῖνοι λατρεύουσι τῇ ἐχίδνῃ μητρὶ τῶν ὄφεων. καὶ σὺ Μαριάμνη ἄλλαξόν σου τὴν ἰδέαν καὶ ὅλον τὸ εἶδος τὸ γυναικεῖον, καὶ βάδιζε ὁμοίως μετὰ Φιλίππου. Εἶτα λέγει ὁ Ἰησοῦς τῷ Φιλίππῳ· Εἰς τί ἐδίστασας ὦ Φίλιππε; οὐκ ἤκουσας τῆς διδαχῆς μου· Ἰδοὺ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων; Μὴ οὖν φοβηθῇς αὐτῶν τὴν ἀγριότητα. συνέσομαί σοι ἀεὶ βοηθῶν καὶ ἀντιλαμβανόμενος. ἰδοὺ ἀποστέλλω ὑμᾶς ὡς ἐμοὺς μαθητάς· ἀποστέλλω ὑμᾶς ὡς ἀκτῖνας ἐγὼ ὁ | τῆς δικαιοσύνης ἥλιος.* 243 B
μεθ' ὑμῶν εἰμι ἐν παντὶ τόπῳ· ἐν ποταμοῖς καὶ ἐν θαλάσσαις ἔσομαι ὑμῶν καλὸς κυβερνήτης. νῦν οὖν Φίλιππε μὴ ἐκκακήσῃς ἀγαθοποιεῖν ἐν τῷ ποιοῦντί σε κακόν, καὶ ἡ χάρις τοῦ πνεύματός μου κατευθυνεῖ σου τὰς τρίβους ἐν παντὶ τόπῳ καὶ πόλει καὶ χώρᾳ.

96 (3) *Ταῦτα ἀκούσας ὁ Φίλιππος καὶ Βαρθολομαῖος καὶ Μαριάμνη, ἀσπασάμενοι τὴν δεξιὰν τοῦ σωτῆρος, ἐπορεύοντο εἰς τὴν χώραν τῶν Ὀφιανῶν. ὡς δὲ ἀνέβησαν εἰς τὴν ἔρημον τῶν δρακαινῶν, ὡς ἦσαν ἐκεῖ βαδίζοντες, ἰδοὺ μέγας λεόπαρδος ἐξῆλθεν ἀπὸ τῶν δρυμῶν τῶν ἐν τῷ ὄρει· καὶ ἰδὼν τοὺς ἀποστόλους κυρίου δραμὼν ἔρριψεν ἑαυτὸν ἐπὶ τοὺς πόδας αὐτῶν, καὶ φωνῇ ἀνθρωπίνῃ ἐλάλησε πρὸς αὐτούς· Προσκυνῶ ὑμᾶς ὦ δοῦλοι τοῦ θείου μεγέθους καὶ ἀπόστολοι τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ, προστάξατέ μοι τελείως λαλεῖν.*

97 (4) *Καὶ ὁ Φίλιππος· Ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ, λάλει. Καὶ ὁ λεόπαρδος ἀναλαβὼν τελείαν ἀνθρωπίνην φωνὴν ἤρξατο λέγειν· Ἄκουέ μου Φίλιππε νυμφαγωγὲ τοῦ θείου*

14 Matth 10, 16

---

5 *παραθαρσύνουσα Batiffol* ‖ 8 *ἀποστέλω Batiffol: scr ἀποστέλλω? cf 17; 18; 23, 17* ‖ 9 *αὐτῷ Batiffol recte ut uid* ‖ 27 *δρακενῶν V Δρακενῶν Batiffol; item Lipsius l s p 466: cf 38, 2* ‖ 29 *<τοῦ> κυρίου? cf 4, 5*

λόγου· ἐγένετο ἐν τῇ πρώτῃ νυκτί, παρῆλθον διὰ τῆς αγέλης τῶν αἰγῶν τῶν ἐξ ἐναντίας τοῦ ὄρους τῆς δρακαίνης μητρὸς τῶν ὄφεων, καὶ ἥρπασα ἔριφον· ὡς δὲ εἰσῆλθον εἰς τὸν δρυμὸν φαγεῖν αὐτόν, μετὰ τὸ πλῆξαί με αὐτόν, ἔλαβεν φωνὴν ἀνθρωπίνην καὶ ἔκλαυσεν ὡς παιδίον μικρόν, λέγων μοι· Ὦ
244 B λεόπαρδε | ἆρον ἀπὸ σοῦ τὴν ἀγρίαν καρδίαν καὶ τὸ θηριῶδες τῆς γνώμης, καὶ περιποίησον αὐτῷ ἡμερότητα· ὅτι οἱ ἀπόστολοι τοῦ θείου μεγέθους παρέρχεσθαι μέλλουσι διὰ τῆς ἐρήμου ταύτης, τελέσαι τελείως τὴν ἐπαγγελίαν τῆς δόξης τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ. Ἐν τούτοις οὖν τοῖς λόγοις τοῦ ἐρίφου νουθετοῦντός με ἠπόρουν ἐν ἑαυτῷ, καὶ κατὰ μικρὸν ἠλλάγη μου ἡ καρδία, καὶ ἡ ἀγριότης μου ἐστράφη εἰς ἡμερότητα, καὶ ἐφεισάμην τοῦ φαγεῖν αὐτόν. καὶ ὡς ἤμην ἀκροώμενος τῶν λόγων αὐτοῦ, ἐπάρας τοὺς ὀφθαλμούς μου εἶδον ὑμᾶς παρερχομένους, καὶ ἐπέγνων ὅτι δοῦλοί ἐστε τοῦ ἀγαθοῦ θεοῦ. ἰδὼν οὖν ἐγγίζοντας, ἐάσας τὸν ἔριφον, ἦλθον προσκυνῆσαι ὑμᾶς. νῦν οὖν παρακαλῶ σε ἀπόστολε Χριστοῦ Φίλιππε ἵνα δώσῃς μοι ἐξουσίαν κτήσασθαι παρρησίαν, καὶ συμπορευθῶ μετὰ σοῦ εἰς πάντα τόπον ὅπου ἐὰν ἀπέρχῃ, καὶ ἵνα ἀποθῶμαι τὴν θηριώδη φύσιν.

98 (5) Ὁ δὲ ἀπόστολος εἶπεν πρὸς τὸν λεόπαρδον· Ποῦ ἐστιν ὁ ἔριφος; Καί φησιν· Ἰδοὺ ἔρριπται ὑπὸ τὴν δρῦν κατέναντι. Λέγει ὁ Φίλιππος τῷ Βαρθολομαίῳ· Ἀπέλθωμεν ὅπως ἴδωμεν τὸν πεπληγμένον ἰαθέντα καὶ θεραπεύοντα τὸν πλήξαντα. Ἐπιτρέψαντος δὲ τοῦ Φιλίππου ὁ λεόπαρδος ὁδήγει τὸν Φίλιππον καὶ τοὺς μετ' αὐτοῦ, καὶ ἤγαγεν αὐτοὺς ὅπου ἦν ὁ ἔριφος κείμενος.

99 (6) Λέγει οὖν ὁ Φίλιππος καὶ ὁ Βαρθολομαῖος· Ἰδοὺ
245 B ἐγνώκαμεν | ἀληθῶς ὅτι οὐκ ἔστιν ὑπερβαίνων τις τὴν σὴν εὐσπλαγχνίαν φιλάνθρωπε Ἰησοῦ· προλαμβάνεις γὰρ ἡμᾶς καὶ διελέγχεις διὰ τούτων τῶν ζῴων ἵνα μᾶλλον πιστεύσωμεν καὶ πληρώσωμεν σπουδῇ τὸ παρατεθὲν ἡμῖν. νῦν οὖν κύριε Ἰησοῦ Χριστὲ ἐλθὲ καὶ παράσχου ζωὴν καὶ πνοὴν καὶ σύστασιν βεβαίαν εἰς τὰ ζῷα ταῦτα, ἵνα καταλείψωσι μὲν τὴν θηριώδη φύσιν καὶ τὴν κτηνώδη, ἔλθωσι δὲ εἰς ἡμερότητα, καὶ μηκέτι φάγωσι σάρκας, μηδὲ ὁ ἔριφος τροφὴν κτηνῶν·

---

1 scr πρώην?? ‖ 2 δρακένης V Δρακένης Batiffol et Lipsius sed cf idem p 468: cf etiam 37, 27 ‖ 4 πλέξαι Batiffol: cf 24 et Lipsius l s p 459 ‖ 6 ἆρον Batiffol ‖ 7 scr περιποίησαι ἑαυτῷ? cf 48, 25 ‖ 18 δῷς Batiffol: fort scr δώσεις sed cf 29, 32 ‖ 25 ἐπιστρέψαντος Batiffol

καρδία δὲ ἀνθρωπίνη γενέσθω ἐν αὐτοῖς, καὶ ἀκολουθήσουσιν ἡμῖν ὅπου ἂν πορευώμεθα, ἐσθίοντα ἅπερ ἡμεῖς ἐν τῇ δόξῃ σου, καὶ ἵνα λαλῶσιν ὁμοιότητα ἀνθρώπων, δοξάζοντα τὸ ὄνομά σου.

100 (7) Ἐν αὐτῇ δὲ τῇ ὥρᾳ ἀναστάντα τὰ ζῷα, ὅ τε λεόπαρδος καὶ ὁ ἔριφος, ἐπῆραν τοὺς ἐμπροσθίους πόδας, καὶ ἐδόξασαν τὸν θεόν, καὶ εἶπον ἀνθρωπίνῃ φωνῇ· Δοξάζομέν καὶ εὐλογοῦμέν σε, ὁ ἐπισκεψάμενος ἡμᾶς καὶ μνησθεὶς ἡμῶν ἐν τῇ ἐρήμῳ ταύτῃ καὶ τὴν φύσιν ἡμῶν τὴν θηριώδη καὶ ἀγρίαν μετενέγκας εἰς ἡμερότητα, καὶ ἐχαρίσω ἡμῖν τὸν θεῖον λόγον, καὶ ἔθηκας ἐν ἡμῖν γλῶσσαν καὶ νόημα τοῦ εἰπεῖν καὶ ὁμολογῆσαι τὸ ὄνομά σου, ὅτι μεγάλη ἐστὶν ἡ δόξα σου.

101 (8) Μετὰ δὲ τοὺς λόγους τούτους πεσόντες εἰς τὴν γῆν ἐπὶ πρόσωπον ὅ τε λεόπαρδος καὶ ὁ ἔριφος προσεκύνησαν τῷ Φιλίππῳ καὶ τῷ Βαρθολομαίῳ καὶ τῇ Μαριάμνῃ· καὶ 246 B ἐν αὐτῇ τῇ ὥρᾳ ἐδόξασαν τὸν θεὸν οἱ ἀπόστολοι καὶ προσέταξαν ἵνα ὁ ἔριφος καὶ ὁ λεόπαρδος συμπορευθῶσι μετ' αὐτῶν καὶ φθάσωσιν εἰς τὴν πόλιν ὅπου ἀπέρχονται καθὼς ἀπεκάλυψεν αὐτοῖς ὁ σωτήρ· καὶ ἐπορεύθησαν ἅμα αἰνοῦντες καὶ δοξάζοντες τὸν θεόν. ἀμήν.

Πρᾶξις θ' περὶ τοῦ ἀναιρεθέντος δράκοντος.

102 (1) Ἐγένετο δὲ τῶν ἀποστόλων συμπορευομένων μετ' ἀλλήλων, τοῦ τε Φιλίππου καὶ τοῦ Βαρθολομαίου καὶ τῆς Μαριάμνης καὶ τοῦ λεοπάρδου καὶ τοῦ ἐρίφου, ἐπορεύθησαν ὁδὸν ἡμερῶν πέντε, καὶ μετὰ τὰς ἐν μεσονυκτίῳ προσευχὰς πρωΐας κατὰ τὴν ὁδὸν γενομένης ἰδοὺ ἐξαίφνης ἔπνευσεν ἄνεμος μέγας καὶ γνοφώδης, καὶ ἀπ' αὐτοῦ τοῦ γνόφου ἐπέδραμεν ἐπὶ τοὺς δούλους τοῦ θεοῦ γνοφώδης δράκων μέγιστος, τὸν νῶτον ἔχων μεμελανωμένον, ἡ δὲ κοιλία αὐτοῦ ἄνθρακες χαλκοῦ ὄντες ἐν σπινθηρισμοῖς πυρός, τὸ σῶμα αὐτοῦ ἐκτεταμένον ὑπὲρ πήχοις ρ'· καὶ ἠκολούθει αὐτῷ πλῆθος ὄφεων καὶ πλῆθος ἐκγόνων τῶν ὄφεων· καὶ ἐκ πολλοῦ διαστήματος ὅλος ὁ τῆς ἐρημίας τόπος ἐσαλεύετο. |

---

1 ἀκολουθήσωσιν Batiffol ‖ *2 πορευόμεθα Batiffol* ‖ *3 ⟨καθ'⟩ ὁμοιότητα?? cf 24, 35; 70, 15; 72, 16* ‖ *28 del γνοφώδης? cf 27* ‖ *29 post αὐτοῦ lacunam significat Batiffol* ‖ *30 χ. ὄ.] scr χαλκεύοντος?* ‖ *31 πήχεις Batiffol probabiliter* ‖ *33 ὅλως V Batiffol*

247 B 103 (2) *Ἰδὼν οὖν ὁ Φίλιππος λέγει τῷ Βαρθολομαίῳ καὶ τῇ Μαριάμνῃ· Ἄρτι χρεία ἡμῖν βοηθείας τῆς παρὰ τοῦ σωτῆρος· μνημονεύσωμεν τοῦ ῥήματος τοῦ Χριστοῦ ὃς ἐξαπέστειλεν ἡμᾶς καὶ εἶπεν· Μηδὲν φοβηθῆτε, μήτε διωγμόν, μήτε τοὺς ὄφεις τῆς χώρας ἐκείνης, μήτε τὸν ζοφερὸν δράκοντα. Στῶμεν οὖν ὥσπερ στῦλοι ἐστηριγμένοι ἐνώπιον τοῦ θεοῦ, καὶ καταργηθήσεται πᾶσα ἡ τοῦ ἐχθροῦ δύναμις, καὶ πεσεῖται ἡ ἀπειλὴ αὐτοῦ. εὐξώμεθα οὖν καὶ ῥαντίσωμεν ἐν τῷ ποτηρίῳ τὸν ἀέρα, καὶ ἠρεμήσει οὗτος ὁ ζοφερός, καὶ ὁ καπνὸς κατασταθήσεται.*

104 (3) *Λαβόντες οὖν τὸ ἑαυτῶν ποτήριον ἐπηύξαντο οὕτως Σὺ εἶ ὁ δροσίζων πᾶσαν πυρὰν καὶ χαλινῶν σκότος καὶ βάλλων χαλινὸν εἰς τὸ στόμα τοῦ δράκοντος, ὁ καταργήσας αὐτοῦ τὴν ὀργήν, ὁ ἀποστρέψας εἰς τὰ ὀπίσω τὴν πονηρίαν τοῦ ἀλλοτρίου καὶ καταποντίσας αὐτὸν ἐν τῷ ἰδίῳ πυρί, ὁ κλείσας τὸν φωλεὸν αὐτοῦ καὶ ἀσφαλισάμενος τὰς ἐκβάσεις αὐτοῦ καὶ κολαφίζων τὴν ὑπερηφανίαν αὐτοῦ· ἐλθὲ μεθ' ἡμῶν ἐν τῇ ἐρημίᾳ ταύτῃ· τρέχομεν γὰρ διὰ τὸ θέλημά σου καὶ διὰ τὸ σὸν πρόσταγμα.*

105 (4) *Καὶ στραφεὶς ὁ Φίλιππος λέγει τῷ Βαρθολομαίῳ καὶ τῇ Μαριάμνῃ· Νῦν ἀναστάντες ἐπάρατε τὰς χεῖρας μετὰ τοῦ ποτηρίου τοῦ κρατουμένου ὑφ' ὑμῶν, καὶ ῥαντίσατε ἐπὶ τὸν ἀέρα τὸ σημεῖον τοῦ σταυροῦ, καὶ ἴδητε τὴν δόξαν τοῦ δυνατοῦ.*

106 (5) *Καὶ εὐθέως ἐγένετο ὡς ἀστραπὴ πυρός, καὶ*
248 B *κατετύφλωσε τὸν | δράκοντα καὶ τοὺς ἐν αὐτῷ θῆρας. ἐξηράνθη δὲ παραχρῆμα καὶ ὁ δράκων καὶ οἱ ὄφεις, καὶ αἱ τοῦ φωτὸς ἀκτῖνες ἦλθον εἰς τὰς ὀπὰς τῶν φωλεῶν καὶ συνέτριψαν τὰ ᾠὰ τῶν ὄφεων. οἱ δὲ ἀπόστολοι συνεκάλυψαν τοὺς ὀφθαλμούς, μὴ δυνηθέντες ἀντιβλέψαι εἰς τὸ θαῦμα τὸ φανὲν τῆς ἀστραπῆς. καὶ οὕτως διῆλθον ἀβλαβεῖς τὴν ἑαυτῶν ὁδὸν πορευθέντες, αἰνοῦντες τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν. ἀμήν.*

---

9 *οὗτος] scr ὁ ἀτμός??* ‖ 12 *χαλινῶν corrupt uid (cf 13): scr χαλῶν??* ‖ 12 *οὕτω Batiffol* ‖ 13 *βάλων V* ‖ 31 *οὕτω Batiffol*

Ἐκ τῶν περιόδων Φιλίππου τοῦ ἀποστόλου 75 T
ἀπὸ πράξεως πεντεκαιδεκάτης μέχρι τέλους, ἐν αἷς τὸ μαρτύριον.

107 (1) Κατὰ τὸν καιρὸν ἐκεῖνον Τραϊανοῦ τοῦ βασιλέως παρειληφότος τὴν τῶν Ῥωμαίων ἀρχήν, μετὰ τὸ μαρτυρῆσαι ἐν ὀγδόῳ ἔτει τῆς βασιλείας αὐτοῦ Σίμωνα τὸν τοῦ Κλωπᾶ ἐπίσκοπον ὄντα Ἱεροσολύμων, δεύτερον γενόμενον ἐπίσκοπον μετὰ Ἰάκωβον τὸν χρηματίσαντα ἀδελφὸν τοῦ κυρίου τῆς ἐκεῖσε ἐκκλησίας, Φίλιππος ὁ ἀπόστολος διερχόμενος τὰς τῆς Λυδίας καὶ Ἀσίας πόλεις καὶ χώρας κατήγγελλεν πᾶσιν τὸ εὐαγγέλιον τοῦ Χριστοῦ.

108 (2) Φθάσας δὲ ἐν πόλει Ὀφιορύμῃ, ἥτις καλεῖται Ἱεράπολις τῆς Ἀσίας, ὑπεδέχθη ὑπό τινος πιστοῦ ὀνόματι Στάχυος. συνῆν δὲ αὐτῷ καὶ Βαρθολομαῖος εἷς τῶν ἑβδομήκοντα μαθητῶν τοῦ κυρίου καὶ ἡ ἀδελφὴ αὐτοῦ Μαριάμνη καὶ οἱ ἀκολουθοῦντες αὐτῷ μαθηταὶ αὐτοῦ. συναχθέντων δὲ πολλῶν ἀνδρῶν τε καὶ γυναικῶν ἐν τῇ οἰκίᾳ τοῦ Στάχυος ἦν ὁ Φίλιππος ἅμα τῷ Βαρθολομαίῳ διδάσκων αὐτοὺς τὰ περὶ τοῦ Ἰησοῦ. |

Μαρτύριον τοῦ ἁγίου ἀποστόλου Φιλίππου.

107 Κατὰ — — κατήγγειλεν πᾶσιν τὸ εὐαγγέλιον τοῦ Χριστοῦ.

108 Φθάσας δὲ — — καὶ οἱ ἀκολουθοῦντες αὐτῷ μαθηταὶ αὐτοῦ. πάντες δὲ καταλιπόντες τὰ ἔργα αὐτῶν οἱ ἄνδρες τῆς πόλεως ἔτρεχον εἰς τὸν οἶκον τοῦ Στάχυος, ἀκούοντες περὶ τῶν ἔργων ὧν ἐποίει ὁ Φίλιππος· ἐδίδασκεν γὰρ 141 T
αὐτοὺς οὕτως·

Γ = CDEMPQRSVW [1] Ἐκ - ἀπ.] τοῦ ἁγίου ἐνδόξου καὶ πανευφήμου ἀπ. φιλ. ἐκ τ. περ. S περίοδοι καὶ μαρτύριον τοῦ ἁγίου φιλ. τ. ἀπ. P πράξις καὶ μαρτύριον τοῦ ἁγίου (καὶ πανευφήμου add W) ἀπ. φιλ. DW: de R cf praef ‖ Φ. τ. ἀ.] τ. ἁγίου καὶ πανευφήμου ἀ. φ. V ‖ [2] om DP ‖ ἀπὸ om C ‖ πράξεων Q πράξις C ‖ πεντεκαιδεκάτη C ιε′ S ‖ μ. τέλ. om V ‖ ἐν om C ‖ οἷς S om C ‖ τοῦ μαρτυρίου C αὐτοῦ add CS ‖ [3–10] cf praef ‖ [3] ἀδριανοῦ C ‖ [4] προειληφότος V ‖ [6] γενάμενον QVW ‖ [7] χρημ. om P ‖ [9] κ. Ἀσ. om DV ‖ [9] κατήγγειλεν (CE): cf 20 ‖ [11] δὲ] καὶ add V ‖ [13] δώδεκα DS ‖ [14] μαριάμμη P constanter: cf 45, 23 ‖ [15] αὐτοῦ] πάντες οὖν καταλιπόντες — — ἐπ. ὁ φίλιππος (ut 23—25) add P ‖ [16] τε om CP ‖ [18] τοῦ om CQV

Θ = TUY [19] ἁγ.] καὶ πανευφήμου add TY

76 T 109 (3) Ἡ δὲ ἀδελφὴ τοῦ Φιλίππου Μαριάμνη καθεζομένη ἐν τῇ εἰσόδῳ τῆς οἰκίας τοῦ Στάχυος προσεῖχεν τοῖς προσερχομένοις, πείθουσα αὐτοὺς ἐπακροᾶσθαι τῶν ἀποστόλων λεγόντων πρὸς αὐτούς· Ἀδελφοὶ ἡμῶν, υἱοὶ τοῦ πατρὸς τοῦ ἐν τοῖς οὐρανοῖς, ὑμεῖς ἐστε τὸ πλοῦτος τὸ καλὸν καὶ ἡ ὕπαρξις τῆς ἄνω πόλεως, ἡ τερπνότης τοῦ κατοικητηρίου οὗ ἡτοίμασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν.

110 (4) καταπατήσατε τὰς παγίδας τοῦ ἐχθροῦ, τὸν εἱλισσόμενον ὄφιν. στρεβλὴ γάρ ἐστιν ἡ ὁδὸς αὐτοῦ, ἐπειδὴ τοῦ πονηροῦ υἱός ἐστιν, καὶ ἔστιν ἐν αὐτῷ ἰὸς πονηρίας· πατὴρ δὲ αὐτοῦ ἐστιν ὁ διάβολος ὁ τοῦ θανάτου πρόξενος, μήτηρ δὲ αὐτοῦ ἡ φθορά· ὀργὴ ἐν τοῖς ὀφθαλμοῖς αὐτοῦ καὶ ὄλεθρος ἐν τῷ στόματι αὐτοῦ, καὶ ἡ ὁδὸς αὐτοῦ ᾅδης. διὸ φεύγετε ἀπ' αὐτοῦ, τοῦ μὴ ἔχοντος ὑπόστασιν, τοῦ ἀμόρ-

109 Ἀδελφοί μου, υἱοὶ τοῦ πατρός μου, ὑμεῖς ἐστε τοῦ γένους μου κατὰ Χριστόν, ὕπαρξις τῆς ἐμῆς πόλεως τῆς ἄνω Ἱερουσαλήμ, ἡ τερπνότης τοῦ κατοικητηρίου μου·

110 διὰ τί αἰχμαλωτεύθητε ὑπὸ τοῦ ἐχθροῦ ὑμῶν τοῦ ὄφεως τοῦ εἱλισσομένου καὶ δολόξου καὶ διεστραμμένου ὄντος; ᾧ οὐ δέδωκεν ὁ θεὸς χεῖρας καὶ πόδας, στρεβλὴ δὲ ἡ πορεία αὐτοῦ, ἐπειδὴ υἱός ἐστιν τοῦ πονηροῦ, ὅτι πατὴρ αὐτοῦ ἐστιν ὁ θάνατος, ἡ δὲ μήτηρ αὐτοῦ ἐστιν ἡ φθορά, καὶ ὄλεθρος ἐν τῷ σώματι αὐτοῦ. μὴ ἀπέλθητε οὖν ἐν τῇ ἀπωλείᾳ αὐτοῦ. ὑμεῖς γὰρ ἦτε δεδεμένοι ἐν τῇ ἀπιστίᾳ καὶ ἐν τῇ πλάνῃ τοῦ

[6] cf Cor 1, 2, 9

[1] Μαρ.] ἦν add (C)P ‖ [2] Στ.] καὶ add CP ‖ τοὺς προσερχομένους (C)DEPQV(W) ‖ [3] πενθοῦσα P ‖ [3–4] τῶν ἀ. λ. πρ.] δὲ καὶ τὸν ἀπόστολον ἐδίδασκεν γὰρ P ‖ [4] ἀδ. ἡμ.] om P καὶ add MP(W) ‖ υἱ. τ. π. om C ‖ πατρός] μου add P ‖ [5] καὶ om Q: del? cf 16 ‖ ἡ om CP: cf 16 ‖ [7] ἀγ. α.] ἀγαπήσασιν α. καὶ ἀγαπῶσιν DS καὶ ἀγαπήσασιν (ex καταπατ. natum) add QR(V)W καὶ add R δια τί ἠχμαλωτεύθητε ὑ. τ. ἐ. (cf 16) add P ‖ [8] τ. π. τ. ἐ.] αὐτὸν P ‖ ἐχθ.] καὶ add CVW: cf 44, 11; 14; 45, 15; 46, 6; 9; 47, 1; 14; 20; 48, 6 al ‖ [9] εἱλ.] τὸν add P ‖ ὄφιν] ὃν οὐκέδωκεν ὁ. θ. χ. κ. π. (cf 20) add P ‖ ὁδ.] πορία P: cf 20 ‖ [10–11] υἱ. - πρόξ.] ἐστὶν ὁ θάνατος P: cf 22 ‖ πονηρίας - ἐστιν abscisa ab exemplo Cowleyi D ‖ [10] ἰ. (υἱὸς R) πονηρὸς CEQR πονηρὸς ἰ. V ‖ [12] μ. δὲ α.] ἡ δὲ μ. α. P ‖ ἡ] ἐστιν ἡ CP ‖ ὀφθ.] ἀδελφοῖς P ‖ [14] διὸ φ. ἀ. α.] μὴ οὖν ἀπατιθῆται τῇ ἀπωλεία α. ὑ. γ. ἐστὲ δεδ. — — ἀτάκτου (ut 23 - 43, 16) P ‖ φεύγ.] φθέγγεται V

[16] ⟨ἡ⟩ ὕπ.? cf 5 ‖ [21] υἱ.] ἰὸς U ‖ ὅτι ⟨ὁ⟩?? cf 11; 22 ‖ [23]–43,[25] μὴ - δόλον om V

φου, τοῦ μὴ ἔχοντος μορφὴν ἐν πάσῃ τῇ κτίσει, εἴτε ἐν τῷ οὐρανῷ εἴτε ἐν τῇ γῇ, εἴτε ἐν τοῖς πετεινοῖς εἴτε ἐν τοῖς κτήνεσιν. πάντα γὰρ ἀποστρέφονται τῆς μορφῆς αὐτοῦ· καὶ γὰρ ἐν τοῖς κτήνεσιν καὶ πετεινοῖς τοῦ οὐρανοῦ ἔστιν ἡ γνῶσις αὐτοῦ ὅτι σύρει ὁ ὄφις τὴν κοιλίαν αὐτοῦ καὶ τὸ στῆθος· ἔστιν δὲ τὸ κατοικητήριον αὐτοῦ ὁ τάρταρος, καὶ ἐν τῷ σκότει βαδίζει, ἐπειδὴ οὐκ ἔχει παρρησίαν ἐν οὐδενί. φεύγετε οὖν ἀπ᾽ αὐτοῦ, ἵνα μὴ ὁ ἰὸς αὐτοῦ ἐκχυθῇ ἐπὶ τὸ στόμα ὑμῶν.

111 (5) *γίνεσθε δὲ μᾶλλον πιστοί, σεμνοί, ἀγαθοεργεῖς, μὴ | ἔχοντες δόλον. ἐξάρατε τὸ πονηρὸν σύστημα ἀφ᾽ ἑαυτῶν,* 77b T *τοῦτ᾽ ἔστιν τὰς κακίας ἐπιθυμίας, δι᾽ ὧν ἐγέννησεν ὁ ὄφις ὁ πονηρὸς δράκων ὁ ἀρχέκακος νομὴν ἀπωλείας καὶ θανάτου τῇ ψυχῇ, ἐπειδὴ ἡ τῶν κακῶν ἐπιθυμία πᾶσα ἐξ αὐτοῦ προελήλυθεν, καὶ αὕτη ἐστὶν ἡ ῥίζα τῆς ἀνομίας, τὸ σύστημα*

υἱοῦ αὐτοῦ τοῦ ἀτάκτου καὶ μὴ ἔχοντος ὑπόστασιν, τοῦ ἀμ. καὶ μὴ ἔχ. μ. ἐν π. τῇ κτίσει τῇ οὔσῃ εἴτε — — γῇ εἴτε ἐν | τοῖς ἰχθύσιν τοῖς οὖσιν ἐν τοῖς ὕδασιν. ἀλλὰ ἐὰν ἴδητε αὐτόν, 142 T *φεύγετε ἀπ᾽ αὐτοῦ, ἐπειδὴ οὐκ ἔχει τὸ ὁμοίωμα αὐτοῦ τοῖς ἀνθρώποις· τὸ κατοικητήριον αὐτοῦ ἐστιν ἡ ἄβυσσος, καὶ βαδίζει ἐν τῷ σκότει. φεύγετε — — ἐκχυθῇ ἐφ᾽ ὑμᾶς. ἐὰν ἐκχυθῇ ἐπὶ τὸ σῶμα ὑμῶν ὁ ἰὸς αὐτοῦ, πορεύεσθε ἐν τῇ κατοικίᾳ αὐτοῦ.*

111 *γίνεσθε δὲ μᾶλλον ἐν τῇ ἀληθινῇ θεοσεβείᾳ, ὄντες πιστοί, σεμνοί τε καὶ ἀγαθοί, μὴ ἔχοντες δόλον. φεύγετε ἀπὸ τοῦ δράκοντος τοῦ Σατανᾶ καὶ ἐξάρατε ἀφ᾽ ὑμῶν τὸ πονηρὸν αὐτοῦ σπέρμα, τοῦτ᾽ ἔστιν, τὴν ἐπιθυμίαν, ἐν ᾗ γεννᾷ νόσον*

---

1 τοῦ] *καὶ P (om C)* ‖ *μορφὴν] ὁμοίωμα expectes (cf 19) μήτε ὑπόστασιν add P: cf 16* ‖ 1–2 *εἴτε quater] οὔτε P* ‖ 2 *γῇ] οὔτε ἐν τοῖς ἰχθ. — — ὕδασι (ut 17-18) add P: cf 59, 10* ‖ *πετ.] τοῦ οὐρανοῦ add QW: cf 4* ‖ 3 *πάντα - αὐτοῦ om P* ‖ *τὴν μορφὴν QRSW: suspectum est, cf 1* ‖ 3–5 *κ. γὰρ - γν. αὐτοῦ om QW* ‖ 4 *τ. οὐρ. om EP: cf 2* ‖ 5 *γν.] γύμνωσις DMSV* ‖ *αὐτοῦ prius om CDESV: del?* ‖ 6 *ὁ om P* ‖ *θάνατος V* ‖ 8 *οὖν] νῦν P* ‖ 8–9 *τοῦ στόματος CV* ‖ 10 *σεμνοί om QRVW* ‖ *ἀγαθοεργοὶ MP* ‖ 11 *σύστεμμα EQ: scr αὐτοῦ σπέρμα?? cf 27 et 15* ‖ 12 *τὰς] τὰ S τοῦ C τῆς add CDEQRSVW* ‖ *κακῇ S κακὰς M recte ut uid: cf 44, 8* ‖ *ἐγένετο P* 13 *δρ. post ἀρχ. W om CQ* ‖ *νομὴ P* ‖ *θάνατον CQW θάνατος P* ‖ 15 *καὶ om P* ‖ *ἀν.] ἀπωλείας καὶ C* ‖ *σύστ.] cf 11*

17 *τῇ prius om T* ‖ 18 *ἐπὰν εἴδετε T* ‖ 19 *<ἐν> τοῖς? cf 60, 1* ‖ 21 *ἐὰν <γὰρ>??* ‖ 23 *κακία T* ‖ 27–44,23 *τοῦτ᾽ - σκότει om V*

τῶν κακῶν, ὁ θάνατος τῶν ψυχῶν· ἡ γὰρ ἐπιθυμία τοῦ ἐχθροῦ ὁπλίζεται κατὰ τῶν πιστῶν, ἐξέρχεται δὲ ἀπὸ τοῦ σκότους καὶ πορεύεται ἐν τῷ σκότει, πολεμεῖν ἐπιχειροῦσα τοὺς ἐν τῷ φωτί. αὕτη γάρ ἐστιν ἡ τῆς πλεονεξίας ἀρχή.

112 (6) *διὸ ὑμεῖς οἱ θέλοντες πρὸς ἡμᾶς, μᾶλλον δὲ ὅτι ὁ θεὸς παρεγένετο δι' ἡμῶν πρὸς ὑμᾶς ὡς πατὴρ πρὸς ἴδια τέκνα, θέλων ὑμᾶς ἐλεῆσαι καὶ ῥύσασθαι ὑμᾶς ἀπὸ τῆς πονηρᾶς παγίδος τοῦ ἐχθροῦ, φύγετε τὰς τοῦ ἐχθροῦ κακὰς ἐπιθυμίας καὶ τελείως ἐκβάλετε αὐτὰς ἐκ τοῦ νοὸς ὑμῶν, μισήσαντες φανερῶς τὸν πατέρα τῶν κακῶν, ἀγαπήσαντες δὲ Ἰησοῦν, ὅς ἐστιν φῶς καὶ ζωὴ καὶ ἀλήθεια καὶ σωτὴρ πάντων τῶν αὐτὸν ποθούντων. πρὸς αὐτὸν οὖν προσδραμόντες κρατήσατε αὐτὸν ἐν τῇ ἀγάπῃ, ἵνα ἀναγάγῃ ὑμᾶς ἐκ τοῦ λάκκου τῶν κακῶν, καὶ καθαρίσας στήσῃ ὑμᾶς ἀμώμους ζῶντας ἐν ἀληθείᾳ ἔμπροσθεν τοῦ πατρὸς αὐτοῦ.*

113 (7) *Ταῦτα δὲ πάντα ἔλεγεν ὁ Φίλιππος πρὸς τὰ συνελθόντα πλήθη διὰ τὸ ἐκ παλαιῶν τῶν χρόνων σέβειν αὐτοὺς τοὺς ὄφεις καὶ τὴν ἔχιδναν, ὧν καὶ εἰκόνας στήσαντες προσεκύνουν· διὸ καὶ Ὀφιορύμην ἐκάλουν τὴν Ἱεράπολιν. τού-*

τῇ ψυχῇ· αὐτή ἐστιν ἰὸς τοῦ ὄφεως. ἡ γὰρ ἐπιθυμία ἐκ τοῦ ὄφεώς ἐστιν ἐξ ἀρχῆς, καὶ αὐτή ἐστιν ἡ ὁπλίζουσα ἑαυτὴν κατὰ τῶν πιστῶν· ἐξῆλθεν γὰρ ἀπὸ τοῦ σκότους καὶ πάλιν πορεύεται ἐν τῷ σκότει.

112 *ὀφείλετε οὖν ὑμεῖς οἱ ἐλθόντες πρὸς ἡμᾶς, μᾶλλον δὲ δι' ἡμῶν πρὸς τὸν θεόν, ἐκβαλεῖν τὸν ἰὸν τοῦ διαβόλου ἀπὸ τῶν σωμάτων ὑμῶν.*

113 *Ταῦτα δὲ λέγοντος τοῦ ἀποστόλου ἰδοὺ*

[11] cf Io 8, 12; 14, 6 || [14] cf Col 1, 22

[1] *ὁ θ.] ἡ ἀπώλεια καὶ ὁ θ. D* || [2–3] *τοῦ σκ.] τὸ σκότος P* || [5] *διὸ] δι' οὗ CP* || *θέλ.] ἐλθόντες QW (recte: cf 24 et 6) ἐλθεῖν add EM* || *ἡμᾶς] ἔρχεσθαι add V* || [6] *ὑμ.] ἡμᾶς V* || [6–7] *ὡς - θέλων om V* || [7] *ἐλ. ἡμᾶς V* || *ὑμᾶς alt om VW* || [8] *φύγ. τ. τ. ἐ. om (C)P* || *φεύγετε DVW: recte? cf 9; 43, 8* || *κακ.] καὶ τῆς P* || [9] *ἐκβάλλετε PVW: recte? cf 8* || *ταύτας P* || [10] *μισήσατε CW* || *ἀγαπήσατε CPQW* || *δὲ] τὸν CP om E νοερῶς add D* || [11] *καὶ postr om CEMQ (R? euan) S: del? cf 14; 42, 8* || [13] *ἀγάγῃ DV ἀνάγει E* || *τοῦ om P* || [14] *ἀμ.] καὶ add VW: cf 11* || [16] *πάντα om V* || [17] *τὸ] τὸν P* || *ἐκ π.] ἔκπαλαι RS* || *τ. χρ. om R* || [17–18] *σβέννειν αὐτῶν P* || [18] *εἰκόνα (C)MS* || [19] *πρ.] προσεφώνουν προσκυνοῦντες αὐτούς P* || *ἱερὰν πόλιν P*

[20] *αὐτή] ἥτις T: scr αὕτη??* || [21] *αὕτη Tischendorf* || [25] *θεόν] χριστόν U: cf 6* || *ἐκβάλειν T ἐκβάλλειν Tischendorf*

*των δὲ λεγομένων ὑπὸ τοῦ Φιλίππου, συμπαρόντων αὐτῷ
Βαρθολομαίου καὶ Μαριάμνης καὶ τῶν μαθητῶν αὐτοῦ καὶ
τοῦ Στάχυος, ἐπηκροᾶτο πᾶς ὁ λαός, καὶ πολὺ πλῆθος ἐξ
αὐτῶν ἀποφυγόντες ἀπὸ τοῦ | ἐχθροῦ ἐπέστρεψαν ἐπὶ τὸν* 78 T
*κύριον καὶ προσετέθησαν τῷ Φιλίππῳ καὶ τοῖς περὶ αὐτόν.
οἱ δὲ πιστοὶ πλεῖον ἐστηρίχθησαν ἐν τῇ ἀγάπῃ τοῦ Χριστοῦ.*

114 (8) *Νικανόρα δὲ ἡ γυνὴ τοῦ ἀνθυπάτου κλινήρης κατακειμένη ὑπὸ διαφόρων νοσημάτων, μάλιστα τῶν ὀφθαλμῶν, ἀκούσασα τὰ περὶ τοῦ ἀποστόλου Φιλίππου καὶ τοῦ κηρύγματος αὐτοῦ, ἐπίστευσεν ἐπὶ τὸν κύριον. ἦν γὰρ καὶ πάλαι ἀκούσασα περὶ αὐτοῦ, καὶ ἐπικαλεσαμένη τὸ ὄνομα αὐτοῦ ἀπηλλάγη τῶν συνεχόντων αὐτῇ πόνων. καὶ ἀναστᾶσα ἐξῆλθεν τῆς οἰκίας αὐτῆς διὰ τῆς πλαγίας θύρας, βασταζομένη ὑπὸ ἰδίων αὐτῆς δούλων ἐν φορείῳ ἀργυρέῳ, καὶ ἦλθεν εἰς τὴν οἰκίαν τοῦ Στάχυος, ὅπου ἦσαν οἱ ἀπόστολοι.*

115 (9) *Καὶ ὅτε ἦλθεν ἔμπροσθεν τοῦ πυλῶνος τῆς οἰκίας, ἰδοῦσα αὐτὴν Μαριάμνη ἡ ἀδελφὴ Φιλίππου τοῦ ἀποστόλου, ἐλάλησεν φωνῇ ἑβραϊστὶ πρὸς αὐτὴν ἔμπροσθεν Φιλίππου καὶ Βαρθολομαίου καὶ παντὸς τοῦ πλήθους τῶν*

---

114 *Νικανόρα ἐξελθοῦσα ἀπὸ τῆς οἰκίας αὐτῆς ἦλθεν μετὰ τῶν δούλων αὐτῆς εἰς τὴν οἰκίαν Στάχυος.*

115 *Ἐν δὲ τῷ ἐγγίζειν αὐτὴν τῇ θύρᾳ τῆς οἰκίας ἰδοὺ Μαριάμνη ἐλάλησεν αὐτῇ συριακῇ διαλέκτῳ· Ἑλικομαεῖ, κασμᾶ, ἠταά, μαριαχά, χαμαστραΐ, καλιχαμά. Ἐφανέρωσεν*

---

[1] *συμπαρόντος CV* ‖ *αὐτοῦ V* ‖ [4] *ἀπὸ] ἐκ CD* ‖ *ἐπεστρέφοντο P* ‖ [5] *κύρ.] ἰησοῦν M ἡμῶν ἰησοῦν χριστὸν add W: cf 10* ‖ [6] *πλέον (D)P* ‖ [7] *νικάνορα CD νικάνωρα QW constanter* ‖ [8] *μάλ.] καὶ μάλ. V: cf 48, 1* ‖ [9] *τὰ om CMV: cf 11* ‖ *τοῦ prius om V* ‖ [10] *κύρ.] ἰησοῦν QVW ἡμῶν ἰησοῦν χριστὸν add R: cf 5; 65, 8* ‖ [11] *πρόπαλαι P (om C)* ‖ *ἀκ.] τὰ add W: cf 9* ‖ *καὶ om P* ‖ [12] *αὐτῇ] αὐτὴν Tischendorf fort recte* ‖ [14] *ἰδ.] τῶν CR* ‖ *δούλ. αὐτ. R* ‖ *αὐτῆς om MP: cf 26, 12* ‖ [14–16] *ἦλθεν - ὅτε om C* ‖ [14] *εἰσῆλθεν P* ‖ [15] *οἱ] καὶ οἱ DS* ‖ *ἀπ.] τοῦτο δὲ ἤδην (l ἤδη?) δεύτερον add P* ‖ [17–18] *τ. ἀπ. φιλ. P* ‖ [17–19] *τ. ἀπ. - Φ. om C* ‖ [18] *φ. ἑβ. π. α.] αὐτῇ ἑβ. R* ‖ *φ. ἑβ.] ἐν φ. ἑβ. DM ἐν φ. τῇ ἑβ. E φ. ἑβραΐδη Q φ. εβραικη W (sed φ. ἑβραιστῇ Vatic 808) τῇ ἑβραΐδι διαλέκτω P: cf 47, 2* ‖ *φ.] scr ⟨μετὰ⟩ φωνῆς?? φ. ⟨μεγάλῃ⟩?? ⟨μεγάλῃ τῇ⟩ φωνῇ?? (cf 51, 7; 28, 21; Am 56, 11) an del?* ‖ *ἔμπ.] τοῦ add P* ‖ [19–46,1] *Φ. - λέγ.] τῶν ἀποστόλων R*

[20] *νικάνορα TUY (constanter) ἡ Νικ. Tischendorf* ‖ [23] *μαριάμμη U et sic passim: cf 41, 14* ‖ *αὐτῇ] ἐν τῇ U* ‖ [24] *κοσμᾶ T* ‖ *χαμ. καλ. om T καλιχαμαά U*

πεπιστευκότων λέγουσα· Ἀλικαμάν, ἰκασαμέ, μαρμαρί, ἰαχαμάν, μαστρανάν, ἀχαμάν· Ὅ ἐστιν Ὦ θυγάτηρ τοῦ πατρός, σὺ εἶ κυρία μου, σὺ ἐδόθης ἐνεχυρίασμα τῷ ὄφει· ἀλλ' ἦλθεν Ἰησοῦς ὁ λυτρωτὴς ἡμῶν ῥύσασθαί σε δι' ἡμῶν, διαρρῆξαι τοὺς δεσμούς σου καὶ τεμεῖν αὐτοὺς καὶ ἐκτῖλαι ἐκ σοῦ ἀπὸ τῆς ῥίζης αὐτῶν, ὅτι σὺ ἀδελφή μου εἶ· μία μήτηρ ἐγέννησεν ἡμᾶς διδύμους. ἐπελάθου τοῦ πατρός σου, ἐπελάθου τῆς τρίβου τῆς ἀγούσης σε εἰς κατοικητήριον τῆς μητρός σου, γεναμένη ἐν πλάνῃ· ἐγκατέλιπες τὸν ναὸν ἐκείνης τῆς ἀπάτης τῆς προσκαίρου δόξης, καὶ ἦλθες πρὸς ἡμᾶς φυγοῦσα τὸν
79 T ἐχθρόν, ὅτι αὐτός ἐστιν τὸ κατοικητήριον τοῦ θανάτου. ἰδοὺ δὴ ἦλθεν ὁ λυτρωτής σου ἵνα σε λυτρώσηται· ἀνέτειλέν σοι ὁ ἥλιος τῆς δικαιοσύνης Χριστὸς ἵνα σε φωτίσῃ.

116 (10) Ὡς δὲ ταῦτα ἤκουσεν ἡ Νικανόρα ἑστῶσα πρὸ τῶν θυρῶν, ἐπαρρησιάσατο ἐνώπιον πάντων κράζουσα καὶ

δὲ τοὺς λόγους αὐτῆς λέγουσα· Ὦ ἡ θυγάτηρ τοῦ πνεύματος, σὺ εἶ ἡ κυρία μου ἡ δοθεῖσα ἐπ' ἐνεχύρῳ τῷ ὄφει· ἦλθον δὲ ἐγὼ ῥύσασθαί σε· διαρρήξω τοὺς δεσμούς σου καὶ τεμῶ αὐτοὺς ἀπὸ τῆς ῥίζης αὐτῶν. ἰδοὺ ἦλθεν ὁ λυτρωτὴς ὁ ῥυόμενός σε· ἰδοὺ ἀνέτειλεν ὁ ἥλιος τῆς δικαιοσύνης ἵνα σε φωτίσῃ.

116 *Ταῦτα δὲ αὐτῆς λεγούσης ἦλθεν ὁ τυραννογνόφος τρέχων καὶ ἀσθμαίνων.* ἡ δὲ Νικανόρα οὖσα πρὸ τῶν θυρῶν ἤκουσεν ταῦτα καὶ ἐπαρρησιάσατο — — λέγουσα· Ἐγὼ

[12] cf Mal 4, 2

---

[1] λέγ.] οὕτως add RW ‖ [1–2] ἀλικ. - ἐστιν] om VW ‖ [1] ἀληκαμάν M ἀλημακάν P ‖ ηκασαμε P ἰκασαμαί D ἡκάσαμεν C ἰσακαμέ E ‖ μαρμαρή P ‖ ἡ ἀχαμμάν S ἰχαμάν E ἡχαμανῆ C ἰαχι .... (reliquis ab exemplo Cowleyi abscisis) D ναχαμὰν P ‖ [2] μαστρ. - ἐστιν om S ‖ ματρανάν Q om C(D?) ‖ ἀχαμμάν EQR om C partim abscis D ‖ ὅ] ὥς Q τουτ P ‖ ὦ om P ‖ θύγατερ MRSW ‖ [3] εἶ] ἡ P εἶ ἡ QRS: cf 17 ‖ σὺ alt] καὶ W om P ‖ ἐνέχυρον PR ἐνσχυρίασμα E ἰσχυρίασμα Q ἐνχυρίασμα D ‖ [4] Ἰ.] χριστὸς add W ‖ ῥύσ. - ἡμ. om V ‖ διαρρήξας P ‖ [5] σου] τῶν παθῶν add W ‖ [5–6] ἐκτ. - ὅτι] ἰδοὺ (?) R ‖ [5] ἐκ om PQW ‖ σοῦ] σε QW μέσου C ‖ [6] αὐτοὺς P ‖ μία] καὶ μία RW ‖ [8] εἰσαγούσης S ‖ σε om EMV ‖ γενομένη CM om R ‖ [9] ⟨ἀλλ'⟩ ἐγκατέλιπες?? cf Lipsius II 2 p 18 ‖ ἐκεῖνον QRVW ‖ ἀπατηλῆς QW καὶ add EMQW ‖ [10] τῆς om QW ‖ [12] δὴ] δὲ EPV om (C)QRW ‖ λυτρώσεται P ‖ σοι om P ‖ [13] Χρ. om C: del? cf 20

[16] ἡ om TY ‖ [17] εἶ ἡ] εἶ TY: cf 3 ‖ [22–23] ταῦτα - ἀσθ. del: cf 14 et 47, 26 - 27

λέγουσα ὅτι Ἐγὼ Ἑβραία εἰμί, θυγάτηρ Ἑβραίων· λάλησον μετ' ἐμοῦ ἐν τῇ διαλέκτῳ τῶν πατέρων μου. ἀκούσασα γὰρ τοῦ κηρύγματος τῶν πατέρων μου ἰάθην εὐθέως ἀπὸ τῆς νόσου καὶ τῶν περιεχουσῶν με ὀδυνῶν. προσκυνῶ οὖν τὴν ἀγαθότητα τοῦ θεοῦ, ὅτι ἐποίησεν ὑμᾶς σκυλῆναι ἄχρι τῆς πόλεως ταύτης διὰ τὸν ἀληθινὸν αὐτοῦ λίθον τὸν ἔντιμον, ἵνα δι' ὑμῶν δεξώμεθα τὴν γνῶσιν αὐτοῦ καὶ ζήσωμεν σὺν ὑμῖν πιστεύσαντες εἰς αὐτόν.

117 (11) *Ταῦτα εἰπούσης τῆς Νικανόρας, προσηύξατο περὶ αὐτῆς πρὸς τὸν θεὸν ὁ ἀπόστολος Φίλιππος ἅμα Βαρθολομαίῳ καὶ Μαριάμνῃ καὶ τοῖς σὺν αὐτοῖς λέγων· Ὁ ζωοποιῶν τοὺς νεκροὺς Χριστὲ Ἰησοῦ δέσποτα, ὁ ἐλευθερώσας ἡμᾶς διὰ τοῦ βαπτίσματος ἐκ τῆς δουλείας τοῦ θανάτου, ῥῦσαι αὐτὴν ἐκ τῆς πλάνης τοῦ ἐχθροῦ τελείως, ζωοποίησον αὐτὴν ἐν τῇ ζωῇ σου καὶ τελείωσον αὐτὴν ἐν τῇ τελειότητί σου, ἵνα πορευθῇ εἰς τὴν χώραν τῶν πατέρων αὐτῆς ἐν ἐλευθερίᾳ, ἔχουσα κλῆρον ἐν τῇ ἀγαθότητί σου κύριε Ἰησοῦ.*

118 (12) *Πάντων δὲ ἀναπεμψάντων τὸ ἀμὴν ἅμα τῷ ἀποστόλῳ Φιλίππῳ, ἰδοὺ ἦλθεν ὁ τύραννος, ὁ ἀνὴρ τῆς Νικανόρας, ὡς ἵππος ἀδάμαστος μεμηνώς, καὶ ἐπιλαβόμενος τῶν ἱματίων τῆς γυναικὸς αὐτοῦ ἐβόα λέγων· Ὦ Νικανόρα, μὴ οὐκ ἀφῆκά σε ἐπὶ τῆς κλίνης οὖσαν; πῶς τοσαύτην δύναμιν*

— — μου, ὅτι ἤκουσα τοῦ κηρύγματος ὑμῶν καὶ ἰάθην ἀπὸ τῆς νόσου μου | ταύτης. προσκυνῶ καὶ δοξάζω τὴν ἀγαθ. — 143 T
— ἄχρι τῆς γῆς ταύτης.

117 *Ταῦτα δὲ αὐτῆς λεγούσης*

118 *ἦλθεν ὁ τυραννογνόφος τρέχων καὶ ἀσθμαίνων· καὶ ἐπιλαβόμενος τῶν ἱματίων αὐτῆς λέγει· Ὦ — — σε κειμένην ἐπὶ τῆς κλίνης ἐπὶ τῆς νόσου σου; πόθεν οὖν εὗρες τὴν δύ-*

[6] cf Ies 28, 16 Pet 1, 2, 4 ‖ [12] cf Rom 6, 4; 8, 21?

---

[1] *ὅτι om DSW ‖ εἰμί] καὶ add DEMPQSV ‖* [2] *μου om P ‖* [3] *μου om P(CW) ‖ ἰάθη P ‖* [4] *νόσου] μου add V ‖* [5] *ἡμᾶς CPR ‖* [7] *ζησώμεθα M: scr ζησόμεθα (et δεξόμεθα)??? ‖* [10] *ὑπὲρ DQRSVW (om C): cf 36, 8; 56, 6 ‖* [11] *λέγοντες P ‖* [14] *αὐτὴν] καὶ ταύτην PW ‖* [14–15] *τελ. - καὶ om P ‖* [14] *τελ.] καὶ add W ‖* [15] *ἐν - αὐτὴν om V ‖* [16] *εὑρεθῇ P ‖ τ. πατ. om QW ‖* [17] *Ἰ.] χριστὲ add DEW ‖* [19] *ἦλθεν] καὶ add V ‖* [20] *ἀδ.] καὶ add V ‖* [21] *μὴ om CDSW ‖* [22] *πῶς] οὖν add EVW ‖* [22]*–48,*[1] *ἔ. δ. M*

[24] *ταύτης om U ‖* [27] *τύραννος TY: cf 46, 22; 49, 19; 50, 20; 51, 16; 70, 18 ‖ τρ. κ. ἀ. om TY: cf 46, 23 ‖* [29] *ἐ. τ. κλ. om U ‖ ἐπὶ alt] ἀπὸ Tischendorf: cf 48, 1 ‖ σου om U: cf 24*

ἔσχες ἐλθεῖν πρὸς τοὺς μάγους τούτους; πῶς δὲ ἀπὸ τῆς φλεγμονῆς τῶν ὀφθαλμῶν σου; νῦν οὖν ἐὰν μή μοι εἴπῃς τίς ἐστιν ὁ ἰατρός σου καὶ τί τὸ ὄνομα αὐτοῦ, τιμωρήσομαί σε διαφόροις τιμωρίαις καὶ οὐ σπλαγ|χνισθήσομαι ἐπὶ σοί. T

119 (13) Ἡ δὲ ἀποκριθεῖσα λέγει αὐτῷ· Ὦ τύραννε, ἔκβαλε ἀπὸ σοῦ τὴν τυραννίδα σου ταύτην, ἐπιλάθου τῆς πονηρίας σου ταύτης, ἐγκατάλιπε τὸν βίον τοῦτον τὸν πρόσκαιρον, ἀπόθου τὸ θηριῶδες τῆς φαύλης σου γνώμης, φύγε τὸν δράκοντα τὸν πικρὸν καὶ τὰς ἐπιθυμίας αὐτοῦ, ῥῖψον ἀπὸ σοῦ τὰ ἔργα καὶ τὸ βέλος τοῦ ἀνθρωποκτόνου ὄφεως, παραίτησαι τὰς μυσαρὰς καὶ κακὰς θυσίας τῶν εἰδώλων, αἵτινές εἰσιν γεώργια τοῦ ἐχθροῦ, ὁ σκοτεινὸς φραγμός· περιποίησαι δὲ ἑαυτῷ βίον σεμνὸν καὶ ἄρυπον, ἵνα γενόμενος ἐν ἁγιασμῷ

ναμιν ταύτην καὶ τὴν ἰσχὺν ὥστε δυνηθῆναί σε ἐλθεῖν πρὸς τοὺς μάγους τοὺς ἀνθρώπους τούτους; ἐὰν μὴ οὖν εἴπῃς τίς ἐστιν ὁ ἰατρός, τιμωρήσομαί σε πολλαῖς τιμωρίαις.

119 Ἀποκριθεῖσα δὲ ἡ Νικανόρα εἶπεν· Ὦ τυραννογνόφε, ἔκβαλε ἀπὸ σεαυτοῦ τὴν τυραννίδα ταύτην καὶ ἐπιλάθου τῶν ἔργων σου τῶν πονηρῶν καὶ ἐγκατάλιπε τὸν βίον τὸν πρόσκαιρον τοῦτον καὶ ἀπόθου τὴν δόξαν τὴν ματαίαν, ὅτι παρέρχεται ὡς σκιά· ζήτησον δὲ μᾶλλον τὰ ὄντα αἰώνια, καὶ ἔπαρον ἀπὸ σεαυτοῦ τὸ θηριῶδες καὶ ἀσελγὲς ἔργον τῆς αἰσχρᾶς ἐπιθυμίας, καὶ παραίτησαι τὴν κακὴν συνουσίαν, ἥτις ἐστὶν γεωργία τοῦ θανάτου, ὁ φραγμὸς ὁ σκοτεινός, καὶ κατάστρεψον τὸ μεσότοιχον τῆς φθορᾶς, καὶ περιποίησαι σεαυτῷ β. σ. κ. ἄρ., ἵνα γενώμεθα ἐν ἁγιασμῷ διὰ παντός.

---

[1] ἐλθ.] τοῦ ἐλθ. DSW καὶ ἦλθες R σε add DQSV ‖ πῶς δὲ] μάλιστα Q καὶ μάλιστα W (cf 45, 8) ἰάθης add EPR fort recte: certe intercid uerbum ‖ [2] σου] ἰάθης add M ἠλευθερώθης add S ἐκουφίσθης add V θεραπευθεῖσα βλέπεις add D ἦλθες ἐνταῦθα add C ‖ [3] σε] σοι RV ‖ [5] ἔκβαλλε C: cf 6 ‖ [6] σου om CP: cf 7; 49, 6 ‖ ταύτ.] καὶ add SVW: cf 18; 7; 8; 47, 14; 42, 8 ‖ [7] ἐγκατάλειπε DPQW: cf 5; 8 ‖ [8] τὸ φαῦλον τῆς θηριόδου S ‖ φαύλου QR ‖ φεῦγε CEMP: cf 7 ‖ [9] πονηρὸν EM ‖ τὰς] πικρὰς add E ‖ [10] τὸ ἔργον P τὰ ὄργανα QRW ‖ [11] κακ. θ.] ἐναγεῖς κακίας V ‖ [12] γεώργια CD (cf 24) γεωργίαι P ‖ scr ὁ φρ. ὁ σκ.? cf 24 et S ‖ ὁ] καὶ QV καὶ ὁ W (cf 42, 8) ὅς ἐστι R om C ‖ σκ.] ὁ add S ‖ [13] σεαυτῷ SW (cf 26) σεαυτὸν V αὐτῷ C αὐτοῦ DE ‖ γενάμενος PQ

[15] scr τ. ἀ. τ. τ. μάγ.? ‖ [17] τυραννοτρόφε TY: cf 47, 27 ‖ [18] σε.] σοῦ T: cf 6 et 22 ‖ [21] ὄντα om TY ‖ [23] κενὴν TY ‖ [24–25] ἥτις - φθ. om Y ‖ [24] γεώργιον U

δυνηθῇς γνῶναι τὸν ἰατρόν μου καὶ χωρῆσαι τὸ ὄνομα αὐτοῦ. ἐὰν οὖν θέλῃς παρὰ σοί με εἶναι, εὐτρέπισον σεαυτὸν μένειν ἐν ἁγνείᾳ καὶ ἐγκρατείᾳ καὶ ἐν φόβῳ τοῦ ἀληθινοῦ θεοῦ, καὶ συνοικήσω σοι τὸν ἅπαντα χρόνον· μόνον καθάρισον σεαυτὸν ἀπὸ τῶν εἰδώλων καὶ παντὸς ῥύπου αὐτῶν.

120 (14) Ὡς δὲ ἤκουσεν τῶν λόγων αὐτῆς τούτων ὁ τύραννος, ὁ ἀνὴρ αὐτῆς, ἐπελάβετο τῶν τριχῶν τῆς κεφαλῆς αὐτῆς καὶ ἔσυρεν αὐτὴν λακτίζων αὐτὴν καὶ λέγων· Καλόν σοί ἐστιν ἀναιρεθῆναι ἐν ξίφει ἢ ὁρᾶσθαί σε παρ' ἐμοῦ πορνεύουσαν μετὰ τῶν ξένων τούτων τῶν μάγων. ὁρῶ σε γὰρ ὅτι ἐγένου ἐν τῇ μανίᾳ τούτων τῶν πλάνων· σὲ οὖν πρῶτον ἀνελῶ κακῶς, καὶ τότε τούτων οὐ φεισάμενος κακῶς ἐνυβρίσας κακίστως ἀποκτενῶ. Καὶ στραφεὶς εἶπεν τοῖς περὶ αὐτόν· Ἐξαγάγετέ μοι τοὺς μάγους τοὺς ἐπιθέτας ἐκείνους. Εἰσδραμόντες δὲ οἱ δήμιοι εἰς τὴν οἰκίαν τοῦ Στάχυος καὶ κρατήσαντες τὸν ἀπόστολον Φίλιππον καὶ τὸν Βαρθολομαῖον

ἐὰν οὖν θέλῃς παρὰ σοί με μένειν ἐν ἐγκρατείᾳ, οἰκήσω σὺν σοί.

120 Ὡς δὲ ἤκουσεν τοὺς λόγους τούτους ὁ τυραννογνόφος, ἐπιλαβόμενος τ. τρ. τ. κεφ. αὐτῆς ἔσυρεν αὐτὴν λακτίζων καὶ λέγων — — ἐν τῷ ξίφει μου μᾶλλον ἢ ὁρᾶν σε μετὰ τ. ξ. τ. τ. μάγων καὶ πλάνων. σὲ οὖν τιμωρήσομαι καὶ τοὺς πλανήσαντάς σε ἀποκτενῶ. Καὶ στραφεὶς μετ' ὀργῆς πρὸς τοὺς δημίους τοὺς ἀκολουθοῦντας αὐτῷ εἶπεν· Ἐνέγκατέ μοι τοὺς ἐπιθέτας τούτους. Συνδραμόντες — — τὸν Φίλιππον κ. τ.

---

[1] κ. χ. - α. om CD ‖ [2] σοῦ CDV ‖ [4] σου V ‖ χρ.] τῆς ζωῆς μου (σου E) add ESW ‖ μόνον om Q(R)V(W) ‖ [6] ἤκου P ‖ τὸν λόγον τοῦτον ES ‖ αὐτῆς om CDEQRSVW: cf 48, 7 ‖ [7] τυραννογνόφος P: cf 47, 19; 27 ‖ ὁ ἀν. α. del?? cf 47, 19 ‖ [8] α. λ. α.] λ. α. CP α. λ. QW α. E ‖ [9] σοί] σε V ‖ ἔσται PW ‖ ἐν] σε C om SV ‖ [10] τ. ξέν. om V ‖ τῶν μ.] καὶ μ. P(W) ‖ [11] μαγεία VW ‖ [12] πρ. om C νῦν add EP τούτων add M ‖ κακ. prius del?? ‖ οὐ] ὁ P ‖ φεισόμενος V φείσομαι CRS ἀλλὰ add QSW καὶ αὐτοὺς add C ‖ [12–13] κ. ἐν.] ἐκνευρίσας P (cf 55, 12??) om R ‖ [13] ἐν. om C ‖ κακ. om CDR ‖ ἀπ. om R ‖ περὶ] περιεστῶσιν περὶ D ‖ [14] αὐτοῦ P ‖ [16] ἀπ. om V: cf 25

[19] τύραννος TY: cf 47, 27 ‖ [23] στρ.] λέγει add U ‖ [24] εἶπεν om U

καὶ τὴν Μαριάμνην ἔσυραν ἄγοντες αὐτοὺς ὅπου ην ὁ ἀνθύπατος. ἠκολούθησεν δὲ καὶ ὁ πιστότατος Στάχυς καὶ πάντες οἱ πιστοί.

121 (15) *Ἰδὼν δὲ αὐτους ὁ ἀνθύπατος ἔβρυξεν τοὺς ὀδόν-*
81 T *τας αὐτοῦ | λέγων· Βασανίσατε τοὺς μάγους τούτους τοὺς πλανήσαντας πολλὰς γυναῖκας καὶ ἄνδρας νέους τε καὶ νεάνιδας, λέγοντας ἑαυτοὺς θεοσεβεῖς εἶναι, βδέλυγμα ὄντες. Καὶ ἐκέλευσεν ἐνεχθῆναι ὠμοὺς ἱμάντας καὶ τύπτεσθαι τόν τε Φίλιππον καὶ τὸν Βαρθολομαῖον καὶ τὴν Μαριάμνην· καὶ μετὰ τὸ μαστιχθῆναι αὐτοὺς τοῖς ἱμᾶσιν ἐκέλευσεν δεθῆναι τοὺς πόδας αὐτῶν καὶ σύρεσθαι αὐτοὺς διὰ τῶν πλατειῶν τῆς πόλεως ἕως τῆς πύλης τοῦ ἱεροῦ αὐτῶν. πολλοὶ δὲ ὄχλοι συνήχθησαν, ὡς σχεδὸν μὴ μεῖναί τινα εἰς οἰκίαν, καὶ ἦσαν πάντες θαυμάζοντες αὐτοὺς ἐπὶ τῇ ὑπομονῇ αὐτῶν, βιαίως καὶ ἀπανθρώπως συρομένων αὐτῶν.*

122 (16) *Ὁ δὲ ἀνθύπατος βασανίσας τοὺς ἁγίους τοὺς ἀμφὶ τὸν ἀπόστολον Φίλιππον ἐκέλευσεν εἰσενεχθῆναι αὐτους*

Β. κ. τ. Μ. σὺν τῷ λεοπάρδῳ καὶ τῷ ἐρίφῳ τῶν αἰγῶν ἐξήνεγκαν σύροντες.

121 *Ὅτε δὲ εἶδεν αὐτοὺς ὁ τυραννογνόφος ἔβρυξεν τ. ὀδ. αὐτοῦ ἐπ᾽ αὐτοὺς λέγων· Σύρατε τ. μάγ. τούτ. καὶ πλάνους τοὺς πλανήσαντας πολλὰς ψυχὰς γυναικῶν καὶ λέγοντας ὅτι*
144 T *Θεοσεβεῖς ἐσμεν· Καὶ ἐποίησεν ἐνεχθῆναι ἱμάντας· καὶ ἔδησαν τοὺς πόδας αὐτῶν· καὶ προσέταξεν συρῆναι αὐτοὺς ἀπὸ τῆς πύλης ἕως τοῦ ἱεροῦ· πολλοὶ δὲ ὄ. συνήχθησαν εἰς τὸν τόπον ἐκεῖνον· ἐθαύμαζον δὲ σφόδρα τον λεόπαρδον καὶ τὸν ἔριφον, ἐπειδὴ ἦσαν λαλοῦντες ὡς ἄνθρωποι.*

122 *Καὶ τινὲς ἀπὸ τοῦ πλήθους ἐπίστευσαν τοῖς λόγοις τῶν ἀποστόλων.*

---

139 (33) Ὁ δὲ Φίλιππος ἔτι κρεμάμενος προσεφώνησεν αὐτοῖς καὶ εἶπεν· Ἀκούσατε καὶ μάθετε πόσαι εἰσὶν αἱ δυνάμεις τοῦ θεοῦ μου, ἀναμιμνησκόμενοι ἅπερ κάτω εἴδετε, καὶ πῶς ἡ πόλις ὑμῶν κατεστράφη, πλὴν τῆς οἰκίας τοῦ εἰσδεξαμένου με· καὶ νῦν ἡ γλυκύτης τοῦ θεοῦ μου ἀνήγαγεν ὑμᾶς

τῆς χθές, μή που γενόμενοι ἄξιοι τ. αἰ. ζωῆς, καὶ πιστεύομεν θεασάμενοι τὰ θαυμάσια τὰ δι' ἡμᾶς γινόμενα. Τινὲς δὲ αὐτῶν ἔρριψαν ἑαυτοὺς ἐπὶ πρόσωπον, καὶ προσεκύνησαν τοὺς ἀποστόλους· ἄλλοι δὲ ἐσκέπτοντο φυγεῖν λέγοντες· Μή ποτε ἔσται ἕτερος σεισμὸς καθ' ὁμοιότητα τοῦ παρελθόντος.

139 Ἐκτείνας δὲ τὰς χεῖρας αὐτοῦ ὁ ἀπόστολος Φίλιππος κρεμάμενος κατὰ κεφαλῆς εἶπεν· Ἄνδρες τῆς πόλεως ἀκούσατε τοὺς λόγους τούτους οὓς ἐγὼ μέλλω ὑμῖν λέγειν κρεμάμενος κατὰ κεφαλῆς. ἐμάθετε πόσαι ε. αἱ δ. τ. θεοῦ καὶ τὰ θαυμάσια ἅπερ ἐθεάσασθε, ὅτι ἐν τῷ γεναμένῳ σεισμῷ ἡ πόλις ὑμῶν ἀπώλετο· καὶ τοῦτο δὲ φανερὸν ἐγένετο ὑμῖν

ἦμεν ἄξιοι — — ἀνήγαγεν ἡμᾶς ἀπὸ — — παρεκάλουν μὴ ποιήσῃ ἕτερον σεισμόν· καὶ ἐδέοντο ὅπως ἄ. γέν. τῆς τ. Χριστοῦ εὐχαριστίας.

139 Ὁ δὲ — — πρ. αὐτοῖς κ. ε. Ἀκούσατέ μου κ. μ. πόσαι δυν. εἰσὶ παρὰ τοῦ θ. μου, ἀναμιμνησκόμενοι — — πόλις κατεστράφη — — θεοῦ ἀνήγαγεν ὑμᾶς ἀπὸ τ. ἀβύσσου. ἀλλὰ

2–5 *ὅτι ἀν. - σημ.* om C ‖ 3 *ἔπεσον* MRVW ‖ 4–5 *ἕτοιμοι - ἐδ.* om R ‖ 4 *φυγ.*] *ἀπὸ τῆς πλάνης* add V ‖ 4–5 *μὴ - σημ.* om V ‖ 4 *ποιεῖσαι* S: cf 24 ‖ 5 *σημ.*] scr *σεισμόν* (cf 16; 21; 24; 64, 11; 65, 26)?? *καὶ πάλιν ἀποπέμψῃ ἡμᾶς εἰς τὴν ἄβυσσον* add P ‖ *γέν.*] *καὶ* add V ‖ *τοῦ* om CS ‖ *Χρ.*] *κυρίου* P: cf 73, 6 ‖ 6 *παρ.*] *εὐχαριστείας* P (cf 25; 73, 7) *προσκυνήσεως* W ‖ 9 *μου*] *ἡμῶν* P ‖ *ἀναμνησκόμενοι* C *ἵνα μνησκόμενοι* P: cf 27 ‖ *ὅπερ* P ‖ *ἴδωμεν* P ‖ 10 *ἡ*] *καὶ ἡ* SV ‖ *ἡμῶν* P ‖ *οἰκ.*] *στάχυος* add V ‖ 11 *ἡμᾶς* P

12 scr *μή πω*?? cf 71, 11; 26 ‖ *γενάμενοι* TY ‖ 13 *γενόμενα* T ‖ 16 *ἐστιν* TY

23 *ἥμεθα* DE ‖ *ἀνήγαγες* DEF ‖ *ἡμ.*] *κύριε* add DE ‖ *ἐκ* BF ‖ 24 *ποιῆσαι* F: cf 4 ‖ *θεοῦ* B: cf 5; 73, 23 ‖ 26 *αὐτοὺς* DE ‖ 27 *ἀναμνησκόμενοι* F: cf 9

ἐκ τῆς ἀβύσσου, κἀγὼ ὀφειλέτης εἰμὶ τεσσαράκοντα ἡμέρας κύκλῳ τοῦ παραδείσου περισκοπεύων δι' ὑμᾶς, ὅτι ὠργίσθην ὑμῖν εἰς ἀνταπόδοσιν· καὶ | ταύτην μόνην τὴν ἐντολὴν οὐκ 90 T *ἐφύλαξα, ὅτι οὐκ ἔδωκα ὑμῖν ἀντάλλαγμα τοῦ κακοῦ τὸ ἀγαθόν. ἀλλὰ λέγω ὑμῖν, ἀπὸ τοῦ νῦν ἐν τῇ ἀγαθότητι τοῦ θεοῦ ἀποβάλετε τὴν κακίαν, ὅπως ἄξιοι γένησθε τῆς τοῦ κυρίου εὐχαριστίας.*

140 (34) *Τινὲς δὲ τῶν πιστῶν προσέδραμον ἵνα καθέλωσιν τὸν Φίλιππον καὶ ἀροῦσιν ἀπ' αὐτοῦ τοὺς σιδηροῦς κόρακας καὶ τοὺς ὀγκίνους ἐκ τῶν σφυρῶν. ὁ δὲ Φίλιππος εἶπεν· Μὴ τεκνία, μὴ ἐγγίσητέ μοι ἕνεκεν τούτου, ὅτι οὕτως ἔσται ἡ τελείωσίς μου. ἀκούσατέ μου οἱ φωτισθέντες ἐν*

ὅτι οὐκ ἀπώλετο ἡ οἰκία Στάχυος οὔτε κατῆλθεν εἰς τὴν ἄβυσσον αὐτός, ἐπειδὴ ἐπίστευσεν εἰς τὸν θεὸν τὸν ἀληθινὸν καὶ ὑπεδέξατο ἡμᾶς τοὺς δούλους αὐτοῦ. ἐγὼ δὲ τελειώσας ὅλον τὸ θέ|λημα τοῦ θεοῦ μου ὀφειλέτης αὐτοῦ εἰμι ἀνθ' ὧν 149 T *ἀπέδωκα τῷ ποιήσαντί μοι κακόν.*

140 *Καὶ τινὲς τῶν βαπτισθέντων ἔδραμον ἵνα λύσωσιν τὸν Φίλιππον κρεμάμενον κατὰ κεφαλῆς· ἀποκριθεὶς δὲ εἶπεν αὐτοῖς· Ἄνδρες ἀδελφοί μου οἱ φωτισθέντες ἐν Χριστῷ, ἀκούσατε τὸ ῥῆμα ὃ μέλλω λέγειν ὑμῖν ἐν τῇ σήμερον ἡμέρᾳ.*

λέγω ὑμῖν — — ἀγαθ. τοῦ Χριστοῦ — — γένησθε τῆς τ. Χριστοῦ εὐχαριστίας.

140 *Τινὲς — — τὸν Φ. καὶ ἀροῦσιν ἀπ' αὐτοῦ τοὺς — — σφυρῶν αὐτοῦ. ὁ — — Μὴ τέκνα, μὴ ἐγγίσητέ μοι — —*

---

[2] *περισκοπεύειν V (recte?) περιπολεύειν W* ‖ *ἡμᾶς P* ‖ [3] *ὑμῖν] ὑμῶν V* ‖ [3–80,1] *καὶ - Σατ. om R*

CMPQSVW [3] *καὶ om P* ‖ *scr μόνον? cf 69, 21* ‖ *ἐντ.] τοῦ κυρίου μου add V* ‖ [6] *ἀποβάλλετε (C)VW* ‖ *γενέσθαι PS γίνεσθαι Cs: cf 22* ‖ *κυρ.] θεοῦ CP: cf 72,5* ‖ [8] *ἔδραμον CM* ‖ *καθέλουσιν S καθελοῦσιν Q* ‖ [9] *ἄρωσιν V(W) fort recte ἄρουσιν (C)Q: cf 24* ‖ *ἀπ' om P: cf 24* ‖ [11] *εἶπεν om V αὐτοῖς add QW πρὸς αὐτοὺς add C* ‖ *τεκ. om C μου add V* ‖ *μὴ alt om C: cf 25* ‖ *ἐγγίσατέ P* ‖ *με V* ‖ [12] *ἔστιν CP(W)* ‖ *ἀκ.] δέ add VW*

[19] *τ. Φ.] αὐτὸν U* ‖ *δὲ] ὁ φίλιππος add U* ‖ [20–79,16] *οἱ φωτ. - δυν. α.] deest una scheda T*

[22] *γίνεσθαι BF: cf 6* ‖ [23] *θεοῦ BF: cf 6; 72,24* ‖ [24] *ἄρωσιν B ἆραι F: cf 9* ‖ *ἀπ' om BDE: cf 9* ‖ *αὐτοῦ om DE* ‖ [25] *μὴ om F* ‖ *τεκ' ἂν DE* ‖ *μὴ om DE: cf 11* ‖ *μου DEF: cf 11*

κυρίῳ, ὅτι ἦλθον εἰς τὴν πόλιν ταύτην οὐκ ἐμπορείαν τινὰ ποιήσασθαι, οὐκ ἄλλην τινὰ πρᾶξιν, ἐκληρώθην δὲ ἐξελθεῖν ἐκ τοῦ σώματός μου εἰς τὴν πόλιν ταύτην ἐν ᾧ ὁρᾶτέ με σχήματι. μὴ οὖν λυπηθῆτε ὅτι κρέμαμαι οὕτως· τὸν γὰρ τύπον φέρω τοῦ πρώτου ἀνθρώπου κατὰ κεφαλῆς ἐνεχθέντος ἐπὶ τῆς γῆς καὶ πάλιν διὰ τοῦ ξύλου τοῦ σταυροῦ ζωοποιηθέντος ἐκ τοῦ θανάτου τῆς παραβάσεως. καὶ νῦν ἀποπληρῶ τὸ προσταχθέν μοι· εἶπεν γάρ μοι ὁ κύριος· Ἐὰν μὴ ποιήσητε ὑμῶν τὰ κάτω εἰς τὰ ἄνω, καὶ τὰ ἀριστερὰ εἰς τὰ δεξιά, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασι-

---

γινώσκετε ὅτι οὐκ ἦλθον εἰς τὴν πόλιν ταύτην ποιῆσαι ἐμπορέιαν οὔτε ἄλλην τινὰ πρᾶξιν τοῦ βίου τοῦ κόσμου τούτου τῶν λυομένων καὶ παρερχομένων, οὐδὲ διὰ τὸ ἴδιόν μου θέλημα, ἀλλὰ διὰ τὸ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ῥυσαμένου ὅλον τὸν κόσμον ἀπὸ τῆς πλάνης τοῦ διαβόλου. αὐτὸς δέ με ἀπέστειλεν εἰς τὴν πόλιν ὑμῶν ἐν ᾗ νῦν εἰμι κρεμάμενος κατὰ κεφαλῆς· ἐκληρώθην γὰρ ἐξελθεῖν ἀπὸ τοῦ σώματός μου δι' ὑμῶν αὐτῶν. μὴ οὖν λυπεῖσθε ὅτι εἰμὶ κρεμάμενος κατὰ κεφαλῆς· τον γὰρ τύπον πληρῶ τοῦ σταυροῦ. λέγω δὲ ὑμῖν τὴν ἐντολὴν ταύτην τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ὅτι Ἐὰν μὴ ποιήσητε τὰ ἀριστερὰ δεξιὰ καὶ τὰ ἄτιμα λογίζεσθε ἔντιμα, οὐ δυνήσεσθε εἰσελθεῖν εἰς τὴν βασι-

---

ἀκούσατέ μου οἱ φωτ. — — οὐκ εὐπορίαν στείλασθαι, οὐκ ἑτέραν τινὰ πρᾶξιν τοῦ κόσμου τούτου. ἐκληρώθην δὲ ἐξ. ἐκ τ. σώματος ἐν ᾧ — — τὸν γὰρ πρῶτον τύπον εἴληφα τοῦ πρώτου ἀνθρώπου τοῦ κατενεχθέντος ἐπὶ κεφαλῆς καὶ νεύσαντος εἰς γῆν, πάλιν δὲ διὰ τ. ξ. τ. στ. ζωοποιηθέντα τῆς παραβάσεως· νῦν οὖν ἀποπλ. τὸ προστ. μοι, ὅτι Ἐὰν μὴ στρέψητε τὰ κάτω εἰς τὰ ἄνω καὶ τὰ ἄνω εἰς τὰ κάτω, καὶ τὰ δεξιὰ εἰς τὰ ἀριστερὰ καὶ τὰ ἀριστερὰ εἰς τὰ δεξιά, οὐ μὴ

8 cf mart Petri 9

1–76, 3 *ὅτι - οὖσαν om C*

MPQSVW 1–3 *οὐκ ἐμπ. - ταύτην om V* ‖ 3 *ἐν τῇ πόλει ταύτῃ P* | *με om V ἐν add P* ‖ 5 *ἀνθρώπου ⟨τοῦ⟩? cf 25* ‖ 6 *τ. στ. τ. ξ. MQSV* | 6 *τοῦ prim om P* ‖ *ζωοποιήσαντος MSV* ‖ 7 *καὶ om P* ‖ 7?? 8? *μοι om W*

UY 11 *τ. β. del? cf 23 (76, 16??)* ‖ 17 *δι' ὑ. α. corrupta?* ‖ 21 *scr λογίζησθε??* ‖ *δυνήσεισθε U*

22 *μου] ἀδελφοί μου F: cf 73, 12; 20* ‖ *εὐπορίας DE* ‖ *οὐχ BF* | 25 *κεφαλὴν DE* ‖ *νεύσας DE* ‖ 26 *scr ζωοποιηθέντος?? cf 6* ‖ 28 *τὰ ἄ. ε. τὰ κ. κ. τὰ κ. ε. τὰ ἄ. F* ‖ *τὰ prim om DE: cf 29* ‖ *εἰς prius] πρὸς DE* | *καὶ τὰ ἄ.-κάτω om DE* ‖ *τὰ extr om BDE: cf 29* ‖ 29 *τὰ prim et extr om B*

λείαν μου. Μὴ οὖν ὁμοιωθῆτε τῷ ἀντιπαρηλλαγμένῳ τύπῳ, ὅτι πᾶς κόσμος ἐνήλλακται, καὶ πᾶσα ψυχὴ ἀναστρεφομένη ἐν σώματι γίνεται ἐν λήθῃ τῶν ἐπουρανίων. ἡμεῖς δὲ ἔχοντες τὴν τῶν ἐπουρανίων δόξαν μὴ ζητήσωμεν τὸ ἐκτός, ὅπερ ἐστὶν τὸ σῶμα καὶ ὁ οἶκος τῆς δουλείας. μὴ γίνεσθε ἄπιστοι ἀλλὰ πιστοί· καὶ ἀφίετε ἀλλήλοις. ἰδοὺ κρέμαμαι ἡμέρας ἕξ, ἔχω δὲ μέμψιν τοῦ ἀληθινοῦ κριτοῦ, ὅτι ὅλως ἀπέδωκα ὑμῖν κακά, καὶ ἔθηκα πρόσκομμα τῇ εὐθύτητί μου. καὶ νῦν ἀνέρχομαι εἰς ὕψος. μὴ γίνεσθε στυγνοί, ἀλλὰ μᾶλλον χάρητε ὅτι

λείαν τῶν οὐρανῶν. Ὑμεῖς οὖν ἀδελφοὶ ὁμοιώθητέ μοι ἐν τῷ τύπῳ τούτῳ· ἐνηλλαγμένος γάρ ἐστιν ὅλος ὁ κόσμος οὗτος καὶ πᾶσα ψυχὴ γενομένη ἐν αὐτῷ. ἔχοντες οὖν τὴν ἐπουράνιον δόξαν καὶ τὴν μακαριότητα τοῦ φωτὸς μὴ ζητήσητε τὸ σκότος ὅπερ ἐστὶν ὁ οἶκος τῆς δουλείας, ἀλλὰ καταλείψατε. καὶ μὴ γίνεσθε ἄπιστοι ἀπὸ τῆς σήμερον ἀλλὰ μᾶλλον πιστοί· κ. ἀφίετε ἀλλήλοις. ἐγὼ δὲ κατεκρίθην παρὰ τοῦ ἀληθινοῦ κριτοῦ ὅτι ὅλως ἀνταπέδωκα τῷ ποιήσαντί μοι κακὸν τὸ σύνολον· καὶ ἔδωκα πρόσκ. τῇ εὐθ. μου. νῦν οὖν διὰ τῶν χειρῶν αὐτοῦ ἀνέρχομαι εἰς τὸ ὕψος. καὶ μὴ γίνεσθε στυγνοὶ

εἰσέλθ. εἰς τ. βασ. τοῦ θεοῦ. Μὴ οὖν — — ὅτι πᾶς κόσμος ἐν. κ. π. ψυχὴ στρεφομένη εἰς σῶμα — — τὴν τ. οὐρανίων δόξαν μὴ ζητ. τὸ ἔξω, ὅπερ ἐ. τὸ σῶμα, ὁ οἶκος τῆς δουλείας. μὴ γ. οὖν ἄπ. — — ἀλλήλοις. ἰδοὺ κρ. ἡμ. ἓξ καὶ ἀγαλλιῶ. ἔχω δὲ μέμψιν ἐπὶ τοῦ — — ἀνταπέδωκα — — μου. νῦν οὖν ἀνέρχομαι — — ἀλλὰ κάλλιον χαίρετε — — κατοικη-

[5] cf Io 20, 27

---

[1] *τῷ ἀντ.] ἐν τῷ παρηλλαγμένῳ QW* ‖ [3] *οὐρανίων (sup scr ἐπ) P* | *ὑμεῖς P* ‖ [4] *τῶν om V* ‖ *ἐπουράνιον V: cf 12* ‖ *σκότος QVW: cf 14; 22* ‖ [5] *μὴ] οὖν add Q: cf 9; 23* ‖ [6] *ἀλλ.] τὰ παραπτώματα add PW: cf eu Marc 11, 25 quem uersum fere totum add W* ‖ [7] *μέμψιν] παρὰ add M: cf 24* ‖ *κρ.] χριστοῦ QVW* ‖ [8] *κακόν P* ‖ *ἐπέθηκα P* ‖ *προσκόμματα V* ‖ [9] *μὴ] οὖν add QVW: cf 5; 19* ‖ *χαίρετε MV καὶ ἀγαλλιᾶσθαι add V*

[10] *τ. οὐρ.] τοῦ θεοῦ Y* ‖ *ὁμ. μ. ἐν] scr μὴ ὁμοιωθῆτε.??? cf 1; 20* ‖ [11] *ὅλ. ὁ κ.] ὁ τύπος Y* ‖ [12] *κ. π. - ἐν α. om Y* ‖ [13] *ζητήσεται U* ‖ [14] *σκ.] scr ἐκτὸς??? cf 4* ‖ [15] *ἄπ. - πιστοί] πιστοὶ ἀλλ' ἄπιστοι Y* ‖ [16] *ἀφ. ἀ.] ἤδη χεῖρον γενήσεται ὑμῖν Y* ‖ *δὲ κ.] γὰρ καὶ Y* ‖ [17] *κρ.] ὀνειδίσθην add Y* ‖ [17–18] *τὸ σ. τῷ ποι. μοι κ. Y* ‖ *del τὸ σ.?? cf 79, 12*

[20] *πᾶς] ὁ πᾶς B πᾶς ὁ F* ‖ [21] *στρεφ. om DE* ‖ *οὐρανῶν D (om F)* | [22] *τὸ prius] τὸν B om F* ‖ *τὸ alt om DE* ‖ *ὁ ο. τ. δ. om DE* ‖ [23] *ἀλλ.] τὰ παραπτώματα ὑμῶν add DE: cf 6* ‖ *ἑπτὰ BDE* ‖ [25] *scr μᾶλλον? cf 9; 76, 11*

91 T *καταλιμπάνω τὸ κατοικητήριον τοῦτο τὸ | σῶμά μου, ἐκφυγὼν τὴν φθορὰν τοῦ δράκοντος τοῦ κολάζοντος πᾶσαν ψυχὴν τὴν ἐν ἁμαρτίαις οὖσαν.*

141 (35) *Καὶ περιβλεψάμενος ὁ Φίλιππος κύκλῳ τοὺς ὄχλους εἶπεν· Ὦ ὑμεῖς οἱ ἀνελθόντες ἐκ νεκρῶν ἀπὸ τοῦ ᾅδου καὶ τῆς καταποντίσεως τῆς ἀβύσσου, καὶ σταυρὸς φωτεινὸς ἀνήγαγεν ὑμᾶς εἰς τὸ ὕψος διὰ τὴν ἀγαθότητα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος· οὗτος θεὸς ὢν ἄνθρωπος ἐγένετο, σαρκωθεὶς ἐκ τῆς παρθένου Μαρίας, ἀθάνατος μένων σαρκί, καὶ ἐν τῷ θανάτῳ γενόμενος ἤγειρεν τοὺς*

ὅτι ἐξέρχομαι ἐκ τοῦ σώματος τούτου, ἀλλὰ μᾶλλον χαίρετε ὅτι καταλ. τὸ κατοικητήριον τοῦ δράκοντος τοῦ κολαφίζοντος πᾶσαν ψυχὴν ἁμαρτάνουσαν.

141 *Ταῦτα δὲ εἰπὼν ὁ Φίλιππος στραφεὶς εἶπεν τοῖς ὄχλοις τοῖς κύκλῳ αὐτοῦ· Ὦ ὑμεῖς οἱ ἀναστάντες ἐκ τῶν νεκρῶν καὶ ἀπὸ τοῦ ᾅδου τῆς ἀβύσσου, οὓς ὁ σταυρὸς ὁ φωτεινὸς ἀνήγαγεν διὰ τὴν ἀγαθότητα τοῦ Χριστοῦ· αὐτὸς γὰρ θεὸς ἦν καὶ ἄνθρωπος ἐγένετο· ἀγέννητος ἦν, καὶ ἐγεννήθη· ἀθάνατος ἦν καὶ ἐθανατώθη, καὶ ἐν τῷ θανάτῳ αὐτοῦ ἀνήγαγεν τοὺς νεκρούς· ἀσώματος ἦν καὶ ἐφόρεσεν*

τήριον τοῦ δράκοντος τοῦ κολαφίζοντος π. ψ. τὴν ἁμαρτάνουσαν.

141 *Καὶ στραφεὶς ὁ Φ. καὶ περιβλεψάμενος κύκλῳ τοὺς ὄχλους — — ἐκ τῶν νεκρῶν ἀπὸ — — καταποντώσεως τ. ἀβύσσου, οὓς ὁ φωτεινός μου σταυρὸς ἀνήγαγεν εἰς ὕψος — — τοῦ υἱοῦ καὶ τοῦ ἁγ. πν. οὗτος — — ἐγένετο δι' ἡμᾶς· ἀγέννητος ἦν καὶ ἐγεννήθη· ἀθάνατος ἦν καὶ ἐν θανάτῳ ἐγένετο, καὶ τῷ ἰδίῳ θανάτῳ ἐγείρει τοὺς νεκρούς· ἐκλήθη νεκρὸς ἕως ἂν λύσῃ τοὺς ἀποθανόντας· ἀσώματος ἦν καὶ*

8 cf Io 1, 1; 14?

---

1 *τὸ alt om P* ‖ 2 *scr κολαφίζοντος? cf 12; 21* ‖ *ἅπασαν PW CMPQSVW* 4–5 *τοῦ ὄχλου W: cf 23* ‖ 5 *ἐκ] τῶν add C (om W)* ‖ 6 *στ. φ.] ὁ στ. ὁ φ. C* ‖ 7 *ἀναγαγόντος P* ‖ *ἡμᾶς V* ‖ 7–8 *τ. π. - πν.] inepta: cf 26 et 17* ‖ 9 *ἐγ.] δι' ἡμᾶς add W: cf 77, 2* ‖ *τῆς om P*

11 *ἐκ] ἀπὸ Y* ‖ 16 *<καὶ> τῆς?? an del τ. ᾅ.? cf 6; 24 (an 74, 11?)*

21 *τὴν om EF* ‖ 23–24 *τοῦ ὄχλου F: cf 4* ‖ 24 *νεκ.] καὶ add DE* ‖ *καταπόσεως D καταπτώσεως E* ‖ 25 *μου om DE: cf 65, 5* ‖ 26 *τ. υἱ.] τ. ἁγίου υἱ. F* ‖ *τοῦ utrumque om D* ‖ *καὶ - πν. om BF: cf 8* ‖ 27 *ἦν καὶ] ὢν E* ‖ *ἦν alt om BF* ‖ 28 *ἰδ. om F* ‖ *ἐγείρας D* ‖ 29 *ἕως ἂν] ἕως F ἵνα DE* ‖ *ζωώσῃ DE* ‖ *ἀπ.] νεκροὺς DE: cf 28*

νεκρούς, ἐλεήσας τὸ τῶν ἀνθρώπων γένος, ἀνελὼν τὸ κέντρον τῆς ἁμαρτίας· μέγας ἦν καὶ ἐγένετο μικρὸς δι' ἡμᾶς, ἕως οὗ αὐξήσῃ τοὺς μικροὺς καὶ εἰσενέγκῃ εἰς τὸ μέγεθος αὐτοῦ. καὶ αὐτός ἐστιν ὁ ἔχων τὴν γλυκύτητα, καὶ ἐνέπτυσαν αὐτὸν ποτίσαντες αὐτὸν χολήν, ἵνα ποιήσῃ τοὺς πικρανθέντας τῆς γλυκύτητος αὐτοῦ γεύσασθαι. προσκολλήθητε οὖν αὐτῷ καὶ μὴ ἐγκαταλείψητε αὐτόν· αὐτὸς γάρ ἐστιν ἡ ζωὴ ἡμῶν εἰς τοὺς αἰῶνας.

142 (36) Ὅτε δὲ ἐπλήρωσεν τὴν ἐπαγγελίαν ταύτην ὁ Φίλιππος, λέγει αὐτοῖς· Λύσατε τὸν Βαρθολομαῖον. Καὶ προσελθόντες ἔλυσαν αὐτόν. ὅτε οὖν ἔλυσαν αὐτόν, λέγει αὐτῷ

σῶμα ἅγιον καὶ ἤλεγξεν τὸ σῶμα τῆς ἁμαρτίας· μέγας ἦν κ. ἐγ. μικρὸς κατὰ ἀνθρώπους ἕως ἂν αὐξήσῃ — — αὐτοῦ. αὐτός — — γλυκύτητα πᾶσαν, καὶ ἐμπτύσαντες εἰς αὐτὸν ἔδωκαν χολήν, ἵνα τὸν πικρανθέντα ᾅδην ποιήσῃ ἐλθεῖν εἰς γλυκύτητα. γεύσασθε οὖν αὐτοῦ καὶ μὴ καταλίπητε αὐτόν, καὶ αὐτὸς παρέξει ὑμῖν τὴν ζωὴν εἰς τοὺς αἰῶνας.

142 Ὅτε — — παραγγελίαν ταύτην, λέγει — — Β. Οἱ δὲ ἔλυσαν αὐτόν· λυθέντος δὲ αὐτοῦ λέγει ὁ Φ. πρὸς αὐτόν·

ἐφόρεσεν ὁμοιότητα σώματος, καὶ ἠλέησεν τὰ σώματα τῆς ἁμαρτίας· μέγας ἦν κ. ἐγ. μικρὸς ἕως οὗ — — αὐτοῦ. αὐτός ἐστιν ὁ ἔχων πᾶσαν γλυκύτητα, κ. ἐνέπτυσαν αὐτὸν ἕως ἂν ποιήσῃ τὰ πικρανθέντα εἰς γλυκύτητα. γεύσασθε οὖν αὐτοῦ καὶ μὴ καταλείψητε αὐτόν, καὶ αὐτὸς παρέξει ὑμῖν τὴν ζωὴν εἰς τοὺς αἰῶνας. ἀμήν.

142 Ὅτε δὲ ἐπλήρωσε — — Β. Καὶ αὐτοὶ ἀκούσαντες ἔλυσαν αὐτόν. ὅτε οὖν ἔλυσαν αὐτόν, λ. α. ὁ Φ. Ὦ

1 cf Cor 1, 15, 56 || 2 cf Cor 2, 8, 9? || 4 cf Matth 26, 67 || 5 cf Matth 27, 34

---

2 οὗ] ἂν P: cf 13; 21; 36, 2; 51, 2; 86, 7; al || 4–6 κ. ἐν. - γεύσ. om C || 4 ἐνέπτ.] εἰς add P || 5 αὐτὸν om V || πικραθέντας P || 7 ἐγκαταλείψετε P ἐγκαταλήπειτε S || 11 ὅτε - αὐτ.] καὶ C om V: cf 27 || ὅτε - ἔλ.] μετὰ δὲ τὸ λῦσαι P || λέγει] οὖν add V

14–17 αὐτός - αἰ. om Y || 15 del ᾅδην? cf 5; 23 || 16 καταλείπητε U
19 πρ. α. om Y

21 ἁμ.] ταπεινώσεως DE || οὗ om BF || 22 ἐστιν] ἦν BF || ἐν.] ἐταπείνωσεν DE εἰς τὸ add B || ἑαυτὸν DE || 23 πικρ.] πικρὰ νάματα F | αὐτὰ F || 26 κ. α. ἀκ.] οἱ δὲ DE || 27 ὅτε - αὐτ.] καὶ DE om B: cf 11

ὁ Φίλιππος· Βαρθολομαῖε ἀδελφέ μου ἐν κυρίῳ, οἶδας ὅτι ὁ κύριος ἀπέσταλκέν σε σὺν ἐμοὶ εἰς τὴν πόλιν ταύτην, καὶ ἐκοινώνησάς μοι εἰς πάντας τοὺς κινδύνους μετὰ τῆς ἀδελφῆς ἡμῶν Μαριάμνης· ἀλλὰ γίνωσκε ὅτι ἡ ἔξοδος τοῦ σώματός σου ἐτάγη ἐν τῇ Λυκαονίᾳ, καὶ τῇ Μαριάμνῃ ἐκληρώθη ἐξελθεῖν ἀπὸ τοῦ σώματος εἰς τὸν Ἰορδάνην ποταμόν. νῦν οὖν ἐντέλλομαι ὑμῖν ὅτι ὅτε ἐξέλθω ἀπὸ τοῦ σώματός μου οἰκοδομήσατε εἰς τὸν τόπον τοῦτον ἐκκλησίαν ἐν ᾧ ἐξέλθω ἀπὸ τοῦ σώματος. καὶ τὸν λεόπαρδον καὶ τὸν ἔριφον τῶν αἰγῶν ἐάσατε εἰς τὴν ἐκκλησίαν εἰς σημεῖον τῶν πιστευόντων, καὶ ἡ Νικανόρα δὲ προνοείσθω αὐτῶν ἕως ἂν ἐξέλθωσιν ἀπὸ τοῦ

Ὦ Βαρθολομαῖε ἀδ. μου ἐν Χριστῷ, οἶδα ὅτι ὁ κύρ. ἀπέστειλέν σε — — καὶ συνεκοινώνησάς μοι εἰς π. τ. κινδύνους μου, σύ τε καὶ Μαριάμνη· καὶ γινώσκω ὅτι ἡ ἔξοδος τοῦ σώματός σου ἐτάγη ἐν Λυκαονίᾳ καὶ τῆς Μαριάμνης ἐν τῷ Ἰορδάνῃ ποταμῷ. ἐντέλλομαι οὖν ὑμῖν, ἐὰν ἐξέλθω ἐκ τ. σ. μου, οἰκοδομήσατε ἐκκλησίαν ἐν τῷ τόπῳ ἐν ᾧ ἐξῆλθον ἐκ τοῦ σώματος. καὶ τὸν λ. κ. τ. ἔριφον τῶν αἰγῶν ἐάσατε ἐν τῇ ἐκκλησίᾳ τῇ μελλούσῃ οἰκοδομεῖσθαι ὑφ᾽ ὑμῶν, ἵνα γένωνται εἰς σημεῖον πᾶσι τοῖς μέλλουσι πιστεύειν, ἡ δὲ Νικανόρα πρόνοιαν αὐτῶν ποιείσθω ἕως ἂν ἐξέλθωσιν ἐκ τοῦ

Β. ἀδ. μου ἐν Χριστῷ, οἶδας ὅτι ὁ κ. ἀπέστειλέν σε — — συνεκοινώνησάς — — μετὰ τῆς Μ. ἀλλὰ γίνωσκε — — ἐν Λυκαονίᾳ, καὶ τῇ Μ. ἐτάγη ἐξ. ἀ. τ. σώμ. ἐν τῷ Ἰορδάνῃ ποταμῷ. νῦν οὖν ἐντ. ὑμῖν ἵνα ὅταν ἐξέλθω ἀ. τ. σ. μου οἰκοδομήσητε ἐν αὐτῷ τῷ τόπῳ ἐκκλησίαν ἐν ᾧ ἐξέλθω ἀπὸ τοῦ σώματος. καὶ τ. λ. κ. τ. ἔριφον ἐάσατε ἐν τῇ ἐκκλησίᾳ εἰς σημεῖον τῶν πιστευόντων, ἡ Νικαόρα δὲ προνοείσθω — — θάψατε αὐτὰ

1 *οἶδα Q: cf 12; 22* ‖ 2 *ἀπέστειλέν C* ‖ 3 *τοὺς om CS* ‖ 4 *γινώσκω MPQS: cf 23* ‖ 5 *τῇ prius om CQ* ‖ 6 *σώμ.] αὐτῆς add V* ‖ 7 *ὅτι om CMW* ‖ *ὅτε] ὅταν M: cf 25* ‖ 8 *τοῦτ. τ. τόπ. P (om S)* ‖ 8–9 *ἐν - σώμ. om CMP(S?)* ‖ 8 *ἐν ᾧ] ἐνῇ V εἰς ὃν W* ‖ 9 *σώμ.] μου add Q* ‖ 9–79,2 *κ. τ. λ. - ἐκκλ. om P* ‖ 9–10 *κ. τ. λ. - ἐκκλ. om C* ‖ 9 *τ. αἰγ. om S: cf 18* ‖ 10–11 *κ. ἡ Ν. - αὐτῶν om C* ‖ 11–79,1 *ἀπὸ - ἐξ.] καὶ C*

13 *σε] σοι V* ‖ 14–15 *σου τ. σώμ. U* ‖ 16 *ὑμῖν om V* ‖ 18 *τ. αἰγ. om V: cf 9* ‖ 19–20 *ὑφ᾽ - πιστ. om V* ‖ 21–79,7 *ἕως - ἐκκλ. om V*

22 *Χρ.] ὅτι add BF* ‖ *οἶδα F: cf 1; 12* ‖ 23 *τῆς om BF* ‖ *γινώσκω BF: cf 4; 14* ‖ 24 *ἐτάγη - σώμ. om DEF* ‖ 25–26 *μου - σώμ. om F* ‖ 26 *εἰς αὐτὸν τὸν τόπον B* ‖ *ἐν ᾧ - σώμ. om DE* ‖ 27 *σύσειμον F σύστημον B* ‖ 28 *ηνικαορα δε B κατὰ πᾶσαν δὲ ὥραν DEF: scr ἡ Νικανόρα δὲ* ‖ *προνοεῖσθαι DEF* ‖ *θάψετε B θάψε F*

σώματος· καὶ ὅταν | ἐξέλθωσιν, θάψατε αὐτὰ πρὸς τὸν πυ- 92 T
λῶνα τῆς ἐκκλησίας. καὶ τὴν εἰρήνην ὑμῶν θέσθε ἐν τῇ οἰκίᾳ τοῦ Στάχυος, ὥσπερ ὁ κύριος ἔθηκεν τὴν ἑαυτοῦ εἰρήνην ἐν τῇ πόλει ταύτῃ. ἔστωσαν δὲ ἐν τῇ οἰκίᾳ ἐκείνῃ πᾶσαι αἱ παρθένοι αἱ πιστεύουσαι καθ' ἑκάστην ἡμέραν ἐπισκέπτουσαι τοὺς νοσοῦντας, βαδίζουσαι ἀνὰ δύο δύο· ἀλλὰ μὴ ὁμι-

σώματος αὐτῶν. θάψατε δὲ αὐτὰ ἐν τῷ πυλῶνι τ. ἐκκλ. — — θέτε εἰς τὴν οἰκίαν Στάχυος ὥσπερ ὁ κύριος ἡμῶν ἔθηκεν τ. ἑ. εἰρ. ἐπὶ τὴν πόλιν ταύτην. ἔ. δὲ ἐν τῇ οἰκίᾳ ταύτῃ πᾶσαι αἱ παρθ. νηστεύουσαι· ἐπισκεπτέτωσαν δὲ τοὺς νοσοῦντας βαδίζουσαι ἀνὰ δύο δύο· καὶ μὴ λαλείτωσαν μετὰ τῶν νεανίσκων τὸ σύνολον ἵνα μὴ π. α. ὁ Σ. ὄφις γάρ ἐστιν ἕρπων ἐν τῇ Εὔᾳ καὶ ἐποίησεν αὐτὴν ὀλισθῆσαι εἰς θάνατον. οὕτως ἔσται ἐν τῷ καιρῷ ἐκείνῳ· ἔσται γὰρ χρόνος καὶ καιρὸς πονηρός· καὶ πολλοὶ ἔσονται ἐν τῷ καιρῷ ἐκείνῳ μεθυσθέντες ἐν τῷ λόγῳ μόνῳ ἀλλ' οὐκ ἐν τῇ δυνάμει αὐτοῦ, παρθενεύοντες τὰ μέλη τῆς σαρκὸς αὐτῶν καὶ πορνεύοντες ἐν τῇ καρδίᾳ αὐτῶν· καὶ

ἐν τῷ πυλῶνι τῆς ἐκκλησίας — — ὥσπερ ὁ κύριος ἡμῶν ἔθηκεν — — οἰκίᾳ ἐκείνῃ αἱ παρθενεύουσαι, νηστεύουσαι καθ' ἑκ. ἡμ. ἐπισκεπτόμεναι — — ἀ. δ. δύο, καὶ μὴ — — ὁ Σ. ὁ ὄφις γάρ ἐστιν ὁ ἕρπων, κ. ἐποίησεν τὸν Ἀδὰμ ὀλ. εἰς θάνατον. οὕτως π. ἔσται ἐν τῷ κ. τούτῳ· ἔσται γὰρ χρόνος καὶ καιρὸς πονηρός· πολλαὶ γὰρ γυναῖκες καταλείψωσιν τὸ ἔργον | τοῦ 155 T
γάμου καὶ ἔσονται μὲν ἐν τῷ ὀνόματι τῆς παρθενίας, ὅλως μὴ γινώσκουσαι ὄνομα τῆς παρθενίας καὶ ὅτι ἔχει μεγάλην σφραγῖδα καὶ ἔνδοξον. πολλοὶ δὲ ἄνδρες ἔσονται ἐν τῷ καιρῷ ἐκείνῳ ἐν λόγῳ μόνον, ἀλλ' οὐκ ἐν τῇ δυνάμει αὐτοῦ· παρθενίαν γὰρ ἀσκήσουσιν τοῖς μέλεσιν τῆς σαρκός, πορνεύσουσιν

---

[1] ὅτε QW (om S) ‖ θάψον C ‖ πρὸ τῶν πυλῶν C ‖ τὸ πυλῶνι S ‖ [2] θέτε P: cf 8 ‖ [2–3] εἰς τὴν οἰκείαν C ‖ [3] ὁ κ.] ὁ χριστὸς PS ἐκεῖνος V ‖ [5] πιστεύσασαι CSV(W) ‖ ἐπισκεπτόμεναι V ἐπισκοποῦσαι PQSW: cf 20

[8–9] ὥσπερ - ταύτην om Y ‖ [9] ἐπὶ τὴν οἰκείαν ταύτην U ‖ [10–11] ἀ. δ. δ. βαδ. τ. νοσ. Y ‖ [11] ἀναδύο ἀναδύο U: cf 20; 82, 4 ‖ [12]–80,[12] ὄφις - γνῶσις om Y ‖ [15] μεθ. et τῷ] lacuna male expleta: cf 16 et 27 ‖ [16] παρθεν.] redit T: cf 73, 20

[19] scr παρθένοι πᾶσαι ν.?? cf 9 ‖ [20] ἐπισκοποῦσαι BF: cf 5 ‖ [22] ἔσται prius] ἐστὶν F ‖ χρ.] ὁ χρ. BF ‖ [23] γὰρ om BF ‖ γυν.] καὶ ἄνδρες add BF ‖ καταλείψουσιν B ‖ [24] γάμ.] καὶ ἄνδρες add DE ‖ μὲν] ἐν τῷ καιρῷ ἐκείνῳ E (cf 26) αἱ μὲν Tischendorf ‖ τῷ om E ‖ [24–25] ὅλως - παρθ. om DEF ‖ [25] τῆς om Tischendorf: del?? ‖ καὶ om E ‖ [26] σφρ. om DE ‖ [26–27] ἐν τ. κ. ἐκ. om E: cf 24 ‖ [27] μόνῳ (?) F: cf 16 ‖ αὐτῶν DE ‖ [28] ἀσκοῦσιν DE ‖ πορνεύουσιν DE(F)

λείτωσαν μετὰ νεανίσκων, ἵνα μὴ πειράσῃ αὐτὰς ὁ Σατανᾶς· ὄφις γάρ ἐστιν ἕρπων, καὶ ἐποίησεν διὰ τῆς Εὔας τὸν Ἀδὰμ

ἡ πορνεία τῶν ὀφθαλμῶν αὐτῶν πληθυνθήσεται ὡς κατακλυσμός. πληθύνουσι δὲ τοῦ ἀκούειν ἐν ταῖς πιθαναῖς ἡδοναῖς, ἐπιλανθανόμενοι τῆς γνώσεως τοῦ εὐαγγελίου, καὶ πληθύνονται αἱ καρδίαι αὐτῶν ὑπερηφανίας, ἐσθίοντες καὶ πίνοντες ἐν τῇ αὐτῶν λατρείᾳ, ἐπιλανθανόμενοι τῆς ἁγίας ἐντολῆς καὶ αὐτὴν ἀθετοῦντες. διεστραμμένη ἔσται ἡ γενεὰ ἐκείνη, μακάριος δέ ἐστιν ὁ ἀναχωρῶν ἐν τοῖς ταμείοις αὐτοῦ, ὅτι αὐτὸς ἀναπαύεται ἐν τῇ ἐξόδῳ αὐτοῦ. οὐκ οἶδας ὦ Βαρθολομαῖε ὅτι ὁ λόγος τοῦ κυρίου ἡμῶν ζωή ἐστιν ἀληθινὴ καὶ γνῶσις; εἶπεν γὰρ ὁ κύριος ἡμῶν διδάσκων ἡμᾶς ὅτι Πᾶς ὃς ἐὰν ἐμβλέψῃ γυναικὶ καὶ ἐπιθυμήσῃ αὐτὴν ἐν τῇ

δὲ ἐν τῇ καρδίᾳ αὐτῶν· καὶ ἡ πορνεία τῶν ὀφθαλμῶν αὐτῶν πληθυνθήσεται ὡς κατακλυσμός. θελήσουσι μᾶλλον ἀκούειν ἐν τοῖς πιθανώδεσι, καὶ ἐρεθισθήσονται ἐν ταῖς ἡδοναῖς, καὶ ἐπιλάθωνται τῆς γνώσεως τοῦ εὐαγγελίου, καὶ πωρωθήσονται αἱ καρδίαι αὐτῶν κενωτέραις ὑπερηφανίαις, εὑρεθήσονται δὲ ἐσθίοντες καὶ πίνοντες ἐν τῇ ἑαυτῶν πανουργίᾳ· ἐπιλησθήσονται γὰρ τῆς ἁγίας ἐντολῆς καὶ ἀθετήσουσιν αὐτήν. διεστραμμένη ἔσται ἡ γενεὰ ἐκείνη· ἀλλὰ μακάριός ἐστιν ὁ ἀναχωρῶν εἰς τὰ ταμεῖα αὐτοῦ, ὅτι οἱ κανοὶ ἔσονται ἀναπαυόμενοι ἐν δόξῃ ἀπὸ τῆς ἀπειλῆς τοῦ σώματος αὐτῶν. οὐκ οἶδας ὦ Βαρθολομαῖε ὅτι ὁ λόγος τοῦ κυρίου ἡμῶν ζωή ἐστιν ἀληθινὴ καὶ γνῶσις; εἶπεν γὰρ διδάσκων ἡμᾶς, ὅτε ἦμεν νήπιοι καὶ μικροί, ὅτι Πᾶς ὁ ἐμβλέψας εἰς γυναῖκα τοῦ πλησίον αὐτοῦ καὶ ἐπιθυμήσας αὐτὴν ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ

[1] cf Cor 1, 7, 5 ‖ [13] Matth 5, 28

---

[1] *αὐτοὺς MQ*

TU (cf 79, 12; 16) [3] *ὡς] ὁ add T* ‖ [4] *πληθ. et* [5] *πληθ. num sana? cf 3; 15; 17* ‖ [4] *ἐν τ. π. corrupta: cf 16* ‖ *πειθαναῖς TU* ‖ [5] *ἐπιλ.] τοῦ θεοῦ add T* ‖ [6] *πίν.] ἐν χριστῷ add U* ‖ [10] *ἀναπαύσεται T* *TUY* [13] *αὐτὴν om U*

[14] *αὐτ. alt] ὑμῶν B* ‖ [15] *θελήσωσι E* ‖ [16] *ἐν - ἐρ. corrupta: cf 4* ‖ *ταῖς B τε DE* ‖ *πειθανώδεσι? an πειθανάδεσι? F πυθανώδεσιν D πυνθανώδεσιν E πηθανεωδέσει B* ‖ *ἐριθήσονται F ἐρεθήσονται E αἱρεθήσονται D* ‖ [16–17] *ἐν τ. ἡδ. κ. ἐπιλ. om DE* ‖ [18] *καινοτέραις conicit Tischendorf* ‖ *δὲ] γὰρ DE* ‖ [19] *ἐν - παν.] τῇ ἐν αὐτῷ πανουργίᾳ B τῆς ἑάυτῶν πανουργίας F πλησθήσονται DE* ‖ [20] *γὰρ] δὲ F* ‖ [21] *ἐστὶν BF: cf 8* ‖ [22] *ταμιεῖα EF* ‖ *αὐτῶν F* ‖ *ἱκανοὶ DF οἱ ἱκανοὶ Tischendorf: scr οἱ ἁγνοὶ??? οἱ κατάμονοι???* ‖ [22–23] *ἐν δ. ἀναπ. DE* ‖ [22] *ἀναπ.] μενοι post lacunam F* ‖ [24] *ἀλ. ἐ. DE* ‖ [26] *εἰς om E* ‖ [26–27] *τ. πλ. - αὐτὴν om DE: del?? cf 13*

ὀλισθῆσαι εἰς θάνατον· μὴ οὕτως πάλιν ἔσται ἐν τῷ καιρῷ τούτῳ ὥσπερ ἐπὶ τῆς Εὔας.

καρδία αὐτοῦ ἐπλήρωσεν τὴν μοιχείαν. Καὶ διὰ τοῦτο ὁ ἀδελφὸς ἡμῶν Πέτρος ἔφυγεν ἀπὸ παντὸς τόπου ἐν ᾧ ὑπῆρχεν γυνή· ἔτι δὲ καὶ σκάνδαλον εἶχεν διὰ τὴν ἰδίαν θυγατέρα, καὶ ηὔξατο πρὸς κύριον, καὶ ἐγένετο ἐν παραλύσει τῆς πλευρᾶς αὐτῆς διὰ τὸ μὴ ἀπατηθῆναι αὐτήν. ὁρᾷς ἀδελφὲ ὅτι ἡ ὅρασις τῶν ὀφθαλμῶν φέρει καταλαλιὰν καὶ ἀρχὴν τῆς ἁμαρτίας, καθὼς γέγραπται ὅτι Βλέψασα Εὔα εἶδεν τὸ φυτὸν ὅτι ἀρεστὸν τοῖς ὀφθαλμοῖς αὐτῆς καὶ καλὸν εἰς βρῶσιν· Καὶ

καρδία αὐτοῦ. Καὶ ὁ κορυφαῖος δὲ Πέτρος ἔφυγεν ἀπὸ προσώπου γυναικός· τὴν γὰρ θυγατέρα αὐτοῦ εὔοπτον οὖσαν καὶ ἤδη γεγενῆσθαι ἐπὶ τῇ εὐμορφίᾳ αὐτὸς ηὔξατο, καὶ ἐγένετο ἐν παραλύσει ἡ θυγάτηρ αὐτοῦ. ἄρα οὖν ἡ ἐπιθυμία ἡ ἐν τοῖς ὀφθαλμοῖς πορνεία ἐστίν; ναί. Εἶδεν γάρ φησιν Εὔα τὸ φυτὸν ὅτι ὡραῖόν ἐστιν τοῖς ὀφθαλμοῖς τοῦ κατανοῆσαι καὶ καλὸν εἰς βρῶσιν. Ἰδοὺ οὖν ὅτι ἡ ἐπιθυμία τῶν ὀφθαλμῶν ὁδηγός ἐστιν τῆς μοιχείας, καὶ αὐτή ἐστιν ἡ ἀπατήσασα τὴν καρδίαν Εὔας· πᾶν δὲ φυτὸν ἐὰν τμηθῇ, μόνον μείνῃ εἰς τὴν γῆν ἡ ῥίζα, πάλιν φύεται. ἐκριζώσατε οὖν τὴν ἐπιθυμίαν τῆς καρδίας, ἵνα φαιδροῖς ὄμμασιν ἴδητε τὸν Χριστόν. 155 T *Ταῦτα εἰπὼν πρὸς τὸν λαόν, στραφεὶς λέγει τῷ Βαρθολομαίῳ· Τὴν ἐκκλησίαν ἣν μέλλεις οἰκοδομεῖν οὕτως οἰκοδόμησον, ἔχουσάν τινα μεσότοιχον, μή ποτε σκοτισθῶσιν αἱ προσευχαὶ τῶν νεοφωτίστων ἐν τῇ ὁράσει τῶν ὀφθαλμῶν.*

9 et 15 gen 3, 6 ‖ 18 gen 3, 13

CMPQRSVW (cf 73, 3) 1 *μὴ] οὖν add QW ἔστω W* 2 *ὥσπερ] καὶ add V*

3 *ἐπλ.] τὴν ἐπιθυμίαν ἤγουν add U* ‖ 4 *scr ἔφευγεν?? cf 11* ‖ 5 *θυγατέραν Y: cf 12* ‖ 7 *ἀπατ.] cf 82, 3?* ‖ 7–82, 11 *ὁρᾷς - κενός om Y* ‖ 9 *Εὔα om T*

11 *ἔφησεν F: cf 4* ‖ *ἐκ B* ‖ 12 *θυγατέραν BD: cf 5; 53, 19* ‖ *οὖσαν <ἰδὼν σκάνδαλον γενήσεσθαι>?* ‖ 13 *ἤδη γεγ.] ἤδη πειρασθεῖσαν, σκάνδαλον αὐτῷ γεγ. Lipsius II 1 p 204* ‖ *ᾔδει B εἴδη F* ‖ *εὐμ.] καὶ add B* ‖ *αὐτ.] ὁ μακαριώτατος πέτρος BF* ‖ 15 *ναί om DE* ‖ 15–16 *Εὔα τὸ φ.] ἑαυτὸ E ἑαυτῷ D* ‖ 16 *ὅτι om E* ‖ *ἦν DE* ‖ 17 *ὅτι om DE* ‖ 18 *αὕτη BDEF(?) Tischendorf* ‖ *ἐστιν om DEF* ‖ 19 *καρδ. om DE τῆς add F* ‖ *εὖαν DE* ‖ *μ. δὲ ἡ ῥ. μένει ε. τ. γ. D καὶ μ. ἡ ῥ. μείνῃ ἐν τῇ γῇ E* ‖ *μ. μ.] μ. δὲ μ. F μ. μ. δὲ B μόνον, μείνῃ δὲ Tischendorf: cf 34, 20; 28; 49, 4* ‖ 20 *πάλιν] δὲ add F* ‖ 21 *καρδ.] σαρκὸς E* ‖ *φ.] καθαροῖς F* ‖ *ἴδεται F* ‖ 22 *π. τ. λ.] τῷ λαῷ DE καὶ add D* ‖ *εἶπεν DE* ‖ 25 *νεοφύτων B*

143 (37) *σὺ δὲ Βαρθολομαῖε γενοῦ καλὸς δοκιμαστής, καὶ δώσεις τὰς παραγγελίας ταύτας τῷ Στάχυϊ καὶ καταστή-*

ἠπατήθη. ἡ ἀκοὴ τοίνυν τῶν παρθένων ἔστω ἁγία· ἐν δὲ τῇ ἐξόδῳ πορευέσθωσαν ἀνὰ δύο δύο, ὅτι πολλαί εἰσιν αἱ διαστροφαὶ τοῦ ἐχθροῦ. ἡ πορεία αὐτῶν καὶ ὁ τρόπος ἐχέτω τάξιν καλήν, ἵνα σωθῶσιν· εἰ δὲ μή, ὁ καρπὸς αὐτῶν ἐστιν κενός.

143 *ἀδελφέ μου Β. δὸς τὰς παραγγελίας ταύτας —*

καὶ ἡ ὑπακοὴ τῶν παρθένων ἔστω ἁγία, καὶ μόναι ἡσυχαζέτωσαν· ἐν δὲ ταῖς προόδοις βαδιζέτωσαν δύο δύο. ἐχέτω οὖν ἡ παρθενία αὐτῶν τὴν τάξιν σεμνήν, ἵνα ἡ ψυχὴ αὐτῶν δοξασθῇ ἐν τοῖς ὑψίστοις, μή ποτε ὁ κόπος αὐτῶν ἔσται κενός. οὕτως οὖν κήρυξον ἁγιασμόν. Λέγει ὁ Βαρθολομαῖος τῷ Φιλίππῳ· Διὰ τί τῷ καιρῷ ἐκείνῳ ἐν ᾧ ὑπῆρχεν μεθ' ἡμῶν ὁ σωτὴρ οὐ διεχώρισεν ἡμᾶς ἀπὸ τῶν παρθένων μέχρις ἡμέρας μιᾶς; Λέγει ὁ Φίλιππος· Οὐκ οἶδας ὦ Βαρθολομαῖε ὅτι ὅτε ὁ ἥλιος λάμπει ὅλος ὁ κόσμος πληροῦται φωτός, δύναντος δὲ αὐτοῦ ἁπλοῦται τὸ σκότος, καὶ τότε τὰ θηρία ἐξέρχονται; οὕτως ἐστὶν καὶ ὁ ἡμέτερος τύπος· ὅτε ἦν μεθ' ἡμῶν ὁ Ἰησοῦς, πάντες ἦμεν ἐν τῇ δόξῃ αὐτοῦ, καὶ ἡ χάρις αὐτοῦ καὶ ἡ δωρεὰ ἦν κύκλῳ ἡμῶν, καὶ νοεροὶ ἦμεν τῇ καρδίᾳ, καὶ οὐκ ἠδύνατο οὐδεμία σκιὰ οἰκῆσαι ἐν καρδίᾳ ἡμῶν ἕνεκεν ἁμαρτίας. καὶ νῦν δὲ ἐν οὐρανοῖς ἐστιν παρὰ τῷ πατρί, καὶ οὐ καταλείπει ἡμᾶς. πολλοὶ δὲ ἐλεύσονται ἐν ἐνδύμασιν ψευδέσιν, λέγοντες ὅτι Λατρεύομεν ἐν τῇ διακονίᾳ τῇ ἁγίᾳ· Καὶ ἡ λατρεία αὐτῶν ἐστιν μετὰ τῶν εἰδώλων, καὶ καταλείψουσιν τὰς παραδεδομένας αὐτοῖς ἐντολάς.

143 *σὺ δὲ ὦ Β. γ. κ. δοκ. κ. δὸς τὰς π. τ. τῷ Σ. κ. κατάστη-*

[6] et [11] cf Cor 1, 15, 58 ‖ [23] cf Matth 7, 15

[2] *δώσης P δῶς C δὸς W ‖ καταστήσης P κατάστησον W: cf 27; 83, 10*

[4] *πολλοί T ‖ [6] scr κόπος? cf 11 ‖ ἔστω κοινός T: cf 11 ‖ [7] ταύτας] παραγγείλας αὐτὰς add T*

[8] *καὶ ἡ] ἡ δὲ E ‖ μόνους F ‖ [9] ἐν - βαδ. om E ‖ τοῖς D ‖ προ cum lacuna F ‖ βαδιζέτωσαν <ἀνὰ>? cf 4; 79, 20 ‖ [11] ποτε om DE ‖ σκοπὸς DE ‖ ἔστω DEF: cf 6 ‖ [12] ὁ Β. τ. Φ.] αὐτῷ ὁ β. DE ‖ [13] ἐν ᾧ om F ‖ ὑπῆρχες E ‖ [14] μέχρι DE ‖ [15] ὅτι om F ‖ [16] λαμβάνει B ‖ πληρ.] τοῦ add B ‖ δύνοντος B ‖ [17] ἀπολύεται DE ‖ [18] ὁ alt] κύριος add DE ‖ [19] χ. αὐτοῦ] χ. ἡμῶν B ‖ [20] οὔτε μία F ‖ [21] ἐν prius] ταῖς add E ‖ καρδίαις DE ‖ καὶ om B ‖ [22] ἐστιν om DE ‖ [23] ἐλ. om DE ‖ ἐν ἐ.] ἐπενδύμασιν B ἐν δυνάμεσιν DE ‖ ψ.] ψεύδους DE ἔσονται add DE ‖ [25] ἐστιν om DE ‖ τῶν om F ‖ [26] αὐτ.] ἁγίας DE om F ‖ [27] τῷ] καὶ τῷ B*

σεις αὐτὸν ἐπίσκοπον. μὴ ἐμπιστεύσῃς δὲ τὸν τόπον τῆς ἐπισκοπῆς νεωτέρῳ, ἵνα μὴ καταισχυνθῇ τὸ εὐαγγέλιον τοῦ Χριστοῦ· πᾶς δὲ ὁ διδάσκων ἐχέτω τὰ ἔργα ἴσα τοῖς λόγοις. ἐγὼ δὲ ὑπάγω πρὸς τὸν κύριον· καὶ λάβε τὸ σῶμά μου καὶ ἐνταφίασον αὐτὸ ἐν χάρταις συριακαῖς, καὶ μὴ ἐπιβάλῃς μοι ὀθόνην λινῆν, ὅτι τὸ σῶμα τοῦ κυρίου ἐν σινδόνι ἐνειλήθη. ἐνταφιάσας μου τὸ σῶμα ἐν ταῖς χάρταις σφίγξον αὐτὸ παπύροις, καὶ χῶσον αὐτὸ ἐν τῇ ἐκκλησίᾳ. καὶ γίνεσθε εὐχόμενοι ὑπὲρ ἐμοῦ ἐπὶ ἡμέρας τεσσαράκοντα ἵνα ἀφῇ μοι ὁ

— κατάστησον αὐτὸν ἀρχηγὸν καὶ ἐπίσκοπον ἐν τῇ ἐκκλησίᾳ,
ἵνα καὶ αὐτὸς ὅμοιος γένηται καλῶς διδάσκων. μὴ ἐμπιστεύ-
σῃς οἰκονομίαν μηδενὶ νεωτέρῳ. μὴ καταστήσῃς μηδένα τοιοῦ- 150 T
τον ἐπὶ καθέδρᾳ διδασκόντων, ἵνα μὴ βεβηλώσῃ τὸ μαρ-
τύριον τοῦ Χριστοῦ· ὁ γὰρ διδάσκων ὀφείλει ἔχειν τὰ ἔργα
αὐτοῦ ἴσα τῶν λόγων, ἵνα ὁ λόγος ἠρτυμένος ᾖ ἐν παντὶ
καιρῷ ἐν τῇ ἰδίᾳ δόξῃ. ἐγὼ δὲ ἀπολύομαι ἀπὸ τοῦ σώματός
μου κρεμάμενος κατὰ κεφαλῆς· ἆρον οὖν τὸ σῶμά μου καὶ
ἐνταφίασον χάρταις συριατικοῖς καὶ μὴ βάλῃς ὀθόνην λινῆν,
ἐπειδὴ ἔβαλαν εἰς τὸ σῶμα τοῦ κυρίου ἡμῶν. καὶ σφίγξον
αὐτὸ ἐν χάρταις καὶ παπύροις, καὶ χῶσον αὐτὸ ἐν τῇ αὐλῇ
τῆς ἐκκλησίας. καὶ γίνεσθε ὑπὲρ ἐμοῦ εὐχόμενοι ἐπὶ τεσσα-

σον — — ἐμπ. δὲ τ. τόπ. τ. ἐπισκ. νεωτέρῳ — — τοῖς λόγοις — — αὐτὸ ἐν χάρταις συριακαῖς — — ὀθόνην λινῆν — — κυρίου μου ἐν σ. ἐνειλίχθη. ἐνταφιάσας δὲ τὸ σῶμά μου ἐν ταῖς χάρταις σφίγξον αὐτὸ παπ. κ. χ. αὐτὸ ἐν τῇ ἐξέδρᾳ τῆς ἐκκλησίας. καὶ εὔχεσθε ὑπὲρ ἐμοῦ πρὸς τὸν κοινὸν διδάσκα-

[1] cf Tim 1, 3, 6? ‖ [6] cf Matth 27, 59 ‖ [15] cf Col 4, 6

---

[2] νεώτερον P (om M) ‖ [3] δὲ] γὰρ W ‖ [4] κύρ.] μου add W ‖ κ. λ.] λ. οὖν CW: cf 17 ‖ [5] ἐνταφίασαι P ‖ [5–7] αὐτὸ - σφ. om C ‖ [6] λινοῦν P: cf 23 ‖ εἰλίχθη P (cf 24) καὶ add PR ‖ [7] ἐντ.] δέ add QW probabiliter: cf 24 ‖ ταῖς om R: cf 25 ‖ αὐτὸ] καὶ add V ‖ παπυρίοις CQRS et ex corr P: cf 20 ‖ [9] ἐπὶ om CR ‖ ἀφείη (C)SV ἀφήσῃ W ‖ ὁ om SVW

[11] scr ὁμοίως? ὅμοιός <σοι>? ‖ [12–16] μὴ - δόξῃ] εἰρηκὼς δὲ καὶ ἄλλα πλείονα τὸν βαρθολομαῖον εἶπεν Y ‖ [13] βεβηλώσῃς T ‖ [19] ἡμ.] ἰησοῦ χριστοῦ add U ‖ [21] τῆς] ἁγίας add TY

[22] δὲ om F(DE) ‖ ἐπισκ.] σου add F ‖ νε.] τὴν πίστιν add B τῇ πίστει add F ‖ [22] τ. λ.] οὕτως γὰρ ἔσται ἐλπὶς F ‖ [23] αὐτὸ om BE: cf 25 ‖ χάρτεσιν D(E): cf 25 ‖ ὀθώνιον λινοῦν E: cf 6 ‖ [24] ἐνηλήχθη F ἐνιλήχθη B ἠλίχθη DE: cf 6 ‖ [25] τοῖς E om BF: cf 7 ‖ χάρτεσιν E: cf 23 ‖ αὐτὸ utrumque om E: cf 23 ‖ ἐξόδῳ D εἰσόδῳ E

κύριος τὴν παράβασιν ἣν παρέβην ἀποδώσας τοῖς κακοποιήσασίν μοι. ἴδε ὦ Βαρθολομαῖε πῶς στάζει τὸ αἷμά μου ἐπὶ τῆς γῆς· φυτὸν ἀνατελεῖ ἀπὸ τοῦ αἵματός μου, καὶ γενήσεται ἄμπελος καὶ ποιήσει καρπὸν σταφυλῆς. καὶ λαβόντες τὸν βότρυν ἀποθλίψατε αὐτὸν εἰς τὸ ποτήριον· καὶ μεταλαβόντες εἰς τὴν τρίτην ἡμέραν ἀναπέμψατε εἰς ὕψος τὸ ἀμήν, ἵνα γένηται τελεία προσφορά.

144 (38) *Καὶ εἰπὼν ταῦτα ὁ Φίλιππος ηὔξατο οὕτως· Κύριε Ἰησοῦ Χριστέ, ὁ πατὴρ τῶν αἰώνων, βασιλεῦ τοῦ φωτός, ὁ σοφίσας ἡμᾶς ἐν τῇ σοφίᾳ σου καὶ δοὺς ἡμῖν τὴν*
93 T *σὴν σύνεσιν, ἐχαρίσω | δὲ ἡμῖν τὴν βουλὴν τῆς ἀγαθότητός σου, ὁ μηδέποτε χωρισθεὶς ἡμῖν, σὺ εἶ ὁ αἴρων τὴν νόσον*

ράκοντα ἡμέρας ἵνα ἀφῇ μοι ὁ θεὸς τὴν παράβασιν ἣν ἐποίησα ὅτι ἀνταπέδωκα τῷ ποιήσαντί μοι κακά, καὶ ὅπως μὴ γένηταί μοι ἐν τοῖς αἰῶσιν ἐπὶ τεσσαράκοντα ἔτη.

144 *Ταῦτα δὲ εἰπὼν ὁ Φίλιππος ηὔξατο λέγων· Κύριέ μου Ἰ. — — βασιλεῦ ὅλου τοῦ φ. — — σου· ὁ δεδωκὼς ἡμῖν τὴν ὑψηλὴν γνῶσιν· ὁ χαρισάμενος ἡμῖν τ. β. — — νόσον ἀπὸ*

λον ἵνα ἀφῇ μοι τὴν π. ἣν π. ἀποδοὺς κακὰ τοῖς κακοπ. μοι. ἴδε ὦ Β. πῶς στάζει τὸ αἷμά μου κάτω ἐπὶ τ. γῆς· φυτὸν ἀνατελεῖ ἀπὸ τ. αἵμ. μου, καὶ γενήσεται — — σταφυλῆς. λαβόντες οὖν τὸν β. ἀποτρίψατε α. εἰς τὸ ποτήριον· καὶ — — τρίτην μου ἡμέραν ἀναπ. ὕμνον τῷ θεῷ ἡμῶν, ὅπως γένηται τελ. πρ. ἐνώπιον τοῦ θεοῦ ἡμῶν, καὶ ἀφήσει μοι τὴν παράβασιν ἣν ἐποίησα.

144 *Καὶ — — προσηύξατο λέγων· Κ. Ἰ. Χριστέ, ὁ π. τ. αἰ. βασιλεῦ ὅλου τοῦ φ. — — ἐν πάσῃ σοφίᾳ — — τὴν ὕψιστόν σου γνῶσιν, ἐχαρίσω — — χωρισθεὶς ἡμῖν, σὺ*

[2] με QRVW: cf 19 ‖ πῶς] ὅπου (C)MQRV: cf 88, 6 ‖ στάξει MRVW: cf 20 ‖ [3] τὴν γῆν M (om R) ‖ φ.] ὅθεν φ. W φ. δὲ PS: cf 20 ‖ ἀπὸ - μου om RV: cf 21 ‖ [4] κ. λ.] λ. δὲ Q λ. οὖν W: cf 22 ‖ [8] προσηύξατο SW: cf 26 ‖ [9] ὁ om V: cf 26 ‖ β.] ὁ βασιλεὺς C: cf 27 ‖ [11] σὴν] γνῶσιν (σοφίαν σου S) καὶ τὴν CS: cf 18; 28 ‖ ἐχ. δὲ] καὶ χαρισάμενος W: cf 18; 28 ‖ ἡμ.] τὴν σὴν χάριν καὶ add V ‖ [12] ἡμῶν MQSVW: cf 18; 28 ‖ εἶ sup scr ὁ et add υἱὸς τοῦ ζῶντος θεοῦ P

[14] κακόν U ‖ [16]–87,[15] λέγων - εἰπὼν] πρὸς κύριον καὶ μετὰ τὴν εὐχὴν Y.

[19] με B: cf 2 ‖ [20] ἴδε] ιδου δε B ἰδοὺ δὴ DE ‖ πόσα D ἔνθα E ‖ στάξει BF: cf 2 ‖ φυτ.] δὲ add BDF: cf 3 ‖ [21] ἀπὸ - μου om E: cf 3 ‖ γενηθήσεται BF ‖ [22] τὸ om BD ‖ [23] ἡμ. μου B ‖ μου om F ‖ [24] ἡμῶν om B ‖ [24–25] καὶ - ἐποί. om E ‖ [24] ἀφί F: cf 19 ‖ [26] λέγ.] οὕτως B: cf 8 ‖ Χρ. ὁ om BF: cf 9 ‖ [27] β.] ὁ βασιλεὺς DE: cf 9 ‖ [28] τ. ὑψίστην B ἐκ τῶν ὑψίστων DE ‖ ἐχ.] ὁ χαρισάμενος E: cf 18 ‖ ἡμῶν B: cf 12

τῶν καταφευγόντων εἰς σέ· σὺ εἶ ὁ δεδωκὼς ἡμῖν τὴν σὴν παρρησίαν τῆς σοφίας, ὁ δεδωκὼς ἡμῖν σημεῖα καὶ τέρατα καὶ ἐπιστρέψας τοὺς πλανηθέντας, ὁ στεφανῶν τοὺς νικῶντας τὸν ἀντίπαλον, ὁ καλὸς ἀγωνοθέτης· ἐλθὲ νῦν Ἰησοῦ καὶ δός

τῶν κ. εἰς σέ· σὺ — — τὴν π. τ. σοφίας τῆς σῆς τῆς μὴ δυναμένης λαληθῆναι· σὺ εἶ ὁ δεδωκὼς ἡμῖν τὸν λόγον τοῦ ἐπιστρέψαι ἐπὶ σὲ τοὺς πλανωμένους· σὺ εἶ ὁ δεδωκὼς ἡμῖν σημεῖα καὶ τέρατα διὰ τοὺς ὀλιγοπίστους· σὺ εἶ ὁ παρέχων τὸν στέφανον ἐπὶ τῶν νικησάντων· σὺ τυγχάνεις ἡμῶν ἀγωνοθέτης ὁ δωρησάμενος ἡμῖν τὸν στέφανον τῆς χαρᾶς· ὁ λαλῶν σὺν ἡμῖν ἵνα δυνηθείημεν ἀντιστῆναι τοῖς βλάπτουσιν ἡμᾶς· σὺ εἶ ὁ σπείρων καὶ θερίζων καὶ πληθύνων καὶ αὐξάνων καὶ ζωοποιῶν πάντας τοὺς ἰδίους δούλους σου· οἱ ἔλεγχοι καὶ αἱ ἀπειλαὶ ὑπάρχουσιν ἡμῖν βοήθεια καὶ δύναμις διὰ τοὺς ἐπιστρέφοντας ἐπὶ σὲ δι' ἡμῶν τῶν δούλων σου·

— — σέ· σὺ εἶ ὁ δεδωκὼς ἡμῖν τὸν λόγον ἐπιστρέψαι ἐπὶ σὲ τοὺς πλανωμένους· σὺ εἶ ὁ δεδωκὼς ἡμῖν σημεῖα καὶ τέρατα διὰ τοὺς ὀλιγοπίστους· σὺ εἶ ὁ δεδωκὼς ἡμῖν τὸ μέγεθος ἐπὶ τὸ ἐλέγξαι τὴν σμικρότητα· σὺ εἶ ὁ παρέχων τὸν στέφανον ἐπὶ τῆς κεφαλῆς τῶν νικησάντων τὸν ἀντίπαλον· σὺ τυγχάνεις ἡμῶν ἀγωνοθέτης, καὶ δώρησαι ἡμῖν τὸν στέφανον τῆς χάριτός σου· ὁ ἀθλῶν σὺν ἡμῖν, ἵνα δυνηθῶμεν νικῆσαι ἐκεῖνον τὸν βλάπτοντα ἡμᾶς· σὺ εἶ ὁ καθαρίζων καὶ πληθύνων καὶ αὐξάνων καὶ ζωοποιῶν πάντας τοὺς ἰδίους δούλους σου· οἱ ἔλεγχοι καὶ αἱ ἀπειλαὶ ὑπάρχουσιν ἡμῖν βοήθεια καὶ δύναμις διὰ τοὺς ἐπιστρέφοντας ἐπὶ σὲ ὑφ' ἡμῶν· νῦν

1–2 ὁ δ. - σοφ.] *ante* ὁ στεφ. (3) *W om CMQ* ‖ 1 σὴν *om W* ‖ 2 παρουσίαν *P* ‖ τῆς] σῆς *add S* ‖ 3 πλαν.] σὺ εἶ *add VW: cf 4* ‖ 4 ἀντίδικον *PQRSVW* σὺ εἶ *add V: cf 3* ‖ ἀγ.] καὶ βραβευτὴς *add VW* ‖ νῦν] καὶ νῦν *V* νῦν οὖν *S* (*cf 26*) οὖν *C*

TU 5–6 σὺ - λαλ. *om T* ‖ 7 ἐπὶ] προς *U* ‖ 10 *scr* ἀθλῶν (*cf 22*)?? ‖ 15 δ. σου] σῶν δ. *T*

16 τὸν *om DE* ‖ ⟨ἐπὶ τὸ⟩ ἐπιστρέψαι? *cf 6; 19* ‖ 17–18 σὺ εἶ - ὀλιγοπ. *ante* σὺ εἶ (16) *D om B: cf 6; 7* ‖ 17 δεδ. ἡμ.] παρέχων *E: cf 19* ‖ 19 σμικρ.] σμισεβωμένησσε *F* ‖ τὸν *om DE* ‖ 21 *scr* δωρησάμενος?? *cf 10; 86, 20* ‖ 22 χ. σου] νίκης *DE* ‖ ἡμῖν] ἐμοὶ *B* ‖ 23 καθαίρων *DE: cf 44, 14* ‖ 24 πάντας *om DE* ‖ ἰδ. *om DEF* ‖ 25 αἱ *om BEF* ‖ 26 ἐπὶ] εἰς *DE* ‖ ὑφ'] ἀφ' *F* ἐπὶ *DE*

μοι τὸν στέφανον τῆς νίκης αἰώνιον κατὰ πάσης ἐναντίας ἀρχῆς καὶ ἐξουσίας, καὶ μὴ καλυψάτω με ὁ σκοτεινὸς αὐτῶν ἀήρ, ὅπως διαπεράσω τὰ τοῦ πυρὸς ὕδατα καὶ πᾶσαν τὴν ἄβυσσον. κύριέ μου Ἰησοῦ Χριστέ, μὴ σχῇ χώραν ὁ ἐχθρὸς κατηγορῆσαί μου ἐπὶ τοῦ βήματός σου, ἀλλ' ἔνδυσόν με τὴν ἔνδοξόν σου στολήν, τὴν φωτεινήν σου σφραγῖδα τὴν πάντοτε λάμπουσαν, ἕως ἂν παρέλθω πάντας τοὺς κοσμοκράτορας καὶ τὸν πονηρὸν δράκοντα τὸν ἀντικείμενον ἡμῖν. νῦν οὖν κύριέ μου Ἰησοῦ Χριστὲ ποίησόν μοι ἀπαντῆσαί σοι ἐν τῷ ἀέρι, χαρισάμενός μοι τὴν ἀνταπόδοσιν ἣν ἀνταπέδωκα τοῖς ἐχθροῖς

ἐλθὲ κύριε καὶ δός μοι νῖκος καὶ στέφανον ἐνώπιον τῶν ἀνθρώπων. μὴ ἐπικαλυψάτω — — ἀήρ, μηδὲ ὁ καπνὸς αὐτῶν καύσῃ τὴν μορφὴν τῆς ψυχῆς μου, ὅπως διαπεράσω τὰ ὕδατα τῆς ἀβύσσου καὶ μὴ βυθισθῶ ἐν αὐτοῖς· κύριέ μου Ἰ. Χρ., μὴ εὕρῃ ὁ ἐχθρὸς τοῦ δύνασθαι κατηγορῆσαί μου ἐνώπιόν σου τοῦ ἀληθινοῦ κριτοῦ· ἀλλ' ἔνδυσόν με τὴν φωτεινήν σου στολὴν καὶ δός μοι τὴν ἔνδοξόν σου σφραγῖδα, ἕως — — δράκοντα. ἀλλὰ ποίησόν με ἀπαντῆσαί σοι ἐν νεφέλαις τοῦ ἀέρος, χαρισάμενός μοι· καὶ ἀφῇς τὸ παράπτωμά μου ὅτι ἀντα-

οὖν ἐλθὲ κύριέ μου Ἰησοῦ καὶ δός μοι τὸ νῖκος καὶ τὸν στέφανον ἐνώπιον τῶν ἀρχῶν καὶ τῶν ἐξουσιῶν. μὴ καλυψάτω — — αὐτ. ἀήρ, μηδὲ ὁ καπνὸς αὐτῶν καλυψάτω τὴν μορφὴν τῆς ψυχῆς μου, ἀλλ' ἵνα διαπεράσω — — τ. ἄβυσσον, καὶ ἵνα μὴ καταποντισθῶ ἐν αὐτοῖς. κύριέ μου Ἰησοῦ, μὴ σχῇ — — μου ἐνώπιον τοῦ ἀληθινοῦ κριτηρίου σου· ἀλλ' ἐνδ. με τὴν στολὴν τὴν ἁγίαν σου, τὴν ἔνδοξον, τ. φωτ. σου σφ. — — καὶ τὸν σκοτεινὸν αὐτῶν δράκοντα — — νῦν ο. κ. μ. Ἰησοῦ ποίησόν με ἀπ.

---

[1] *μοι] ἡμῖν P ‖ νίκ.] τὸν add P fort recte ‖ αἰ.] scr ἐνώπιον? cf 11; 21 ‖ del κατὰ? (cf 21) an κατὰ et ἐναντίας ex κατέναντι corrupta? ‖ ἐναντ. om W ‖* [2] *αὐτῶν] cf 22 ‖* [4–8] *κύρ. - ἡμ. om C ‖* [4] *κύρ.] καὶ κύρ. VW ‖ ἐχθ.] τοῦ add V ‖* [5] *σου] τοῦ φρικτοῦ καὶ φοβεροῦ W: cf 25 ‖ ἀλλὰ P ‖ μοι P ‖* [6] *στολ.] καὶ add QRVW: cf 17 ‖ σου alt om PQV: cf 26 ‖* [7] *ἂν] οὗ M: cf 77, 2 ‖* [8] *οὖν om P ‖* [9] *μοι] ἄξιον τοῦ add V: scr με? cf 18 ‖* [10] *ἀνταπέδωκας R: cf 19; 87, 19*

[11] *ν. καὶ] νίκης T ‖* [12] *ἐπιλαμψάτω T ‖ ὁ om T ‖* [17] *post στολ. καὶ deficit T. U* [19] *del κ. ἀφ.? cf 10*

[21] *ἀρχόντων BDE(f): cf 2 ‖* [22] *καλύψει D ‖* [23] *ψ.] σαρκός F ‖ ἄβ.] δύναμιν τῆς ἀβύσσου DE ‖* [24] *Ἰ.] χριστὲ add DE: cf 20; 27 ‖ μου] τι add DE ‖* [25] *ἐν.] ἐπὶ DE ‖ ἀλ.] φοβεροῦ DE: cf 5 ‖* [26] *σου alt om F ‖* [27] *αὐτοῦ D om EF ‖* [27–87,22] *νῦν - ἀμ. om dein ad Γ transit E*

μου· καὶ μεταμόρφωσον τὴν μορφὴν τοῦ σώματός μου ἐν ἀγγελικῇ δόξῃ· καὶ ἀνάπαυσόν με ἐν τῇ μακαριότητί σου, καὶ λήψομαι τὸ παρὰ σοῦ ἐπάγγελμα ὃ ἐπηγγείλω τοῖς ἁγίοις σου εἰς τοὺς αἰῶνας. ἀμήν.

145 (39) *Καὶ ταῦτα εἰπὼν ὁ Φίλιππος παρέδωκεν τὸ πνεῦμα, πάντων τῶν ὄχλων βλεπόντων εἰς αὐτὸν καὶ κλαιόντων καὶ λεγόντων· Ἐπληρώθη ἐν εἰρήνῃ ὁ βίος τούτου τοῦ πνεύματος. Καὶ ἔλεγον τὸ ἀμήν.*

146 (40) *Ὁ δὲ Βαρθολομαῖος καὶ ἡ Μαριάμνη καθεῖλαν τὸ σῶμα αὐτοῦ καὶ ἐποίησαν καθ' ἃ ἐνετείλατο αὐτοῖς ὁ*

πέδωκα τοῖς ἐχθροῖς μου κακά· καὶ μεταμόρφωσον τ. μ. τ. σ. μου σύμμορφον τῆς εἰκόνος τῆς δόξης σου· καὶ ἀνάπ. με ἐν τῇ δόξῃ τῆς μακαριότητός σου, εἰσαγαγὼν εἰς ἃ ἐπηγγείλω τ. ἁγ. σου πᾶσιν εἰς τ. αἰῶνας.

145 *Ταῦτα δὲ εἰπὼν ἀπέδωκεν τὸ πνεῦμα ἁπάντων τ. ὄ. βλ. εἰς αὐτόν.*

146 *Ὁ δὲ Β. κ. ἡ Μ. κατεβίβασαν αὐτὸν καὶ ἐποίησαν αὐτῷ καθὼς ἐνετείλατο αὐτοῖς καὶ ἔθαψαν α. ἐν ἐκ. τῷ τόπῳ.*

— — ἀνταπέδωκα — — σ. μου ἀγγελικῇ δόξῃ, συμμορφῶν τῇ μορφῇ τῆς ἁγίας δόξης σου· καὶ ἀνάπ. με ἐν τῇ μακαριότητί σου — — τὰ παρὰ σοῦ ἐπηγγελμένα τοῖς ἁγ. — — αἰῶνας. ἀμήν.

145 *Καὶ τ. εἰπὼν ἀπέδωκεν — — κλαιόντων· καὶ ἐν εἰρήνῃ τοῦ πνεύματος αὐτοῦ ἐξελθόντος ἐπέλεγον τὸ ἀμήν.*

146 *Ὁ δὲ Β. — — ἐποίησαν καθὼς εἶπεν αὐτοῖς, καὶ ἔθαψαν αὐτὸν — — εὐθὺς ἐκ τοῦ οὐρανοῦ ἦλθεν λέγουσα*

---

[4] *ἀμήν om P* ‖ [6] *πν.] αὐτοῦ add W τῷ κυρίῳ add CW* ‖ *ἁπάντων QVW* ‖ *καὶ om (C)P* ‖ [7–8] *κ. λ. - ἀμ. om R* ‖ *κ. λ. - πν. om W* ‖ [7] *κ. λεγ. om QV* ‖ *ἐπλ.] δὲ add V* ‖ [7–8] *τ. τ. πν.] αὐτοῦ CQV* ‖ [7] *τοῦ om S* ‖ [8] *πνεύματος exp S* ‖ *ἔλ.] εἶπον W ἔκραξαν πάντες QV: cf 88, 4* ‖ [9] *καθεῖλον MVW* ‖ [10] *αὐτοῦ om CQS* ‖ *κ. ἅ.] καθῶς CSW* ‖ *ὁ om PQR ἅγιος add C*

UY [16] *εἰς α. om Y* ‖ [18] *αὐτῷ om Y* ‖ *τῷ τ.· ἐκ. U*

BDF [19] *ἀνταπέδωκας B: cf 86, 10* ‖ *συμμορφῶν ⟨αὐτὴν⟩? an scr. σύμμορφον? cf 12* ‖ [20] *μορφὴν B* ‖ [20–21] *μακ σου] σῇ μακ. BF* ‖ [21] *ἐπαγγελμένα F ἐπηγγειλμένα D* ‖ *αἰ.] τῶν αἰώνων add BF* ‖ [23] *παρέδωκεν F: cf 15* ‖ [24] *α. ἐξ. om BF* ‖ *ἐπ.] ἔκραξαν ἅπαντες D: cf 88, 18* ‖ [26] *αὐτὸ D* ‖ *εὐθὺς ἦλθεν ἀπ' οὐρ. B ἦλθεν εὐθὺς ἀπ' οὐρ. F* ‖ *εὐθ. om D* ‖ *λέγ. om B*

Φίλιππος, καὶ ἔθαψαν αὐτὸν ἐν ἐκείνῳ τῷ τόπῳ. φωνὴ δὲ εὐθέως ἐκ τῶν οὐρανῶν ἐγένετο· Φίλιππος ὁ ἀπόστολος ἐστεφάνωται τὸν τῆς ἀφθαρσίας στέφανον ὑπὸ τοῦ ἀγωνοθέτου Ἰησοῦ Χριστοῦ. Καὶ πάντες ἔκραξαν τὸ ἀμήν. |

94 T 147 (41) *Μετὰ δὲ τὰς τρεῖς ἡμέρας ἐβλάστησεν τὸ φυτὸν τῆς ἀμπέλου ὅπου ἔσταξεν τὸ αἷμα τοῦ ἁγίου Φιλίππου. καὶ ἐποίησαν πάντα τὰ ἐντεταλμένα αὐτοῖς παρ' αὐτοῦ, ἐπὶ ἡμέρας τεσσαράκοντα προσφέροντες προσφοράς, ἀδιαλείπτως προσευχόμενοι. καὶ ᾠκοδόμησαν τὴν ἐκκλησίαν ἐν τῷ τόπῳ ἐκείνῳ, καταστήσαντες τὸν Στάχυν ἐπίσκοπον ἐν τῇ ἐκκλησίᾳ. καὶ ἡ Νικανόρα δὲ καὶ πάντες οἱ πιστοὶ συνήγοντο καὶ οὐ διέλειπον*

---

147 *Καὶ ἐποίησαν τα ἐντεταλμένα ὑπ' αὐτοῦ ἐπὶ τεσσαράκοντα ἡμέρας προσφέροντες προσφορὰς καὶ προσευχόμενοι δωδεκάκις τῆς ἡμέρας. ᾠκοδόμησαν δὲ τὴν ἐκκλησίαν ἐν τ. τ. ἐκείνῳ, καὶ κατέστησαν τὸν Στάχυν ἐπ' αὐτῆς ἐπίσκοπον· ἀφῆκαν δὲ καὶ τὸν λεόπαρδον καὶ τὸν ἔριφον τῶν αἰγῶν ἐν τῇ ἐκκλησίᾳ· καὶ ἡ Νικανόρα ἐποιεῖτο αὐτῶν πρόνοιαν ἕως*

οτι Φ. — — ἀγωνοθέτου Χριστοῦ. Καὶ πάλιν ἔκραξαν το ἀμήν.

147 *Μετὰ δὲ τρεῖς — — ἀμπέλου εἰς τον τόπον ὅπου ἔστ. τὸ α. τοῦ ἁγίου Φ. — — αὐτοῖς ὑπὸ τοῦ ἁγίου Φιλίππου· καὶ ἐποίησαν ἐπὶ τεσσαράκοντα ἡμέρας προσφέροντες προσφορὰν καθ' ἑκάστην ἡμέραν καὶ εὐχόμενοι ἕβδομον τῆς ἡμέρας. καὶ ᾠκοδόμησαν — — ἐκείνῳ, καὶ κατέστησαν τὸν Σ. ἐπίσκοπον ἐπ' αὐτῆς. τὸν δὲ λεόπαρδον καὶ τὸν ἔριφον ἔασαν ἐν τῇ ἐκκλησίᾳ· καὶ ἡ Νικανόρα ἐπιμελεῖσθαι αὐτῶν*

---

[1] *Φ. om R* ‖ *αὐτὸ P(R?)* ‖ [2] *εὐθ. om CMQRS* ‖ *τοῦ οὐρανοῦ CRW: cf 87, 26* ‖ *ἐγ.] λέγουσα add Q(W): cf 87, 26* ‖ [4] *Ἰ. om CPQW: cf 18 sed malim Χρ. deleri* ‖ [5] *τὰς om CRV: cf 20; 89, 6* ‖ [6] *ὅπου - Φιλ. om P* | *ἔσταζεν C* ‖ *ἁγ. om (C) ἀποστόλου V ἁγ. ἀποστόλου QR* ‖ [7] *π. α.] ὑπὸ τοῦ ἁγίου φιλήππου P (cf 21) om (C)* ‖ *αὐτοῦ] sequitur XII litterarum spatium uacuum V* ‖ [8] *προσφοράν P (cf 23) καὶ add MQVW* ‖ *εὐχόμενοι QRV: cf 23* ‖ [10] *τὸν] καὶ τὸν V* ‖ *ἐν τῇ ἐ. om V* ‖ [11] *δὲ om C* ‖ *διέλιπον CRS*

[12] *ἐντεταγμένα Y* ‖ *ἐπὶ] καὶ ἐποίησαν U: cf 22* ‖ [14–89,13] *ᾠκ. - πν. om Y*

[18] *ὅτι om D* ‖ *εἶπων D: cf 87, 24* ‖ [20] *οὗ D* ‖ [21] *ἁγ. utrumque om B: cf 89, 24* ‖ *ὑπὸ - Φ. om D* ‖ *del κ. ἐπ.? cf 7; 12* ‖ [22–23] *προσφέρ. - ἡμ. om D* ‖ [25] *ἐν αὐτῇ D* ‖ [26] *εἴασαν B* ‖ *εἰς τὴν ἐκκλησίαν F* ‖ *ἡ Ν. om DF* ‖ *ἐπιμελοῦντα D om F ⟨ἐκελεύσθη⟩ ἐπιμελεῖσθαι??* ‖ *αὐτ. om DF*

πάντες δοξάζοντες τὸν θεὸν διὰ τὰ θαυμάσια τὰ γεγενημένα ἐπ' αὐτούς. καὶ πᾶσα ἡ πόλις ἐπίστευσεν εἰς τὸ ὄνομα τοῦ Ἰησοῦ· ἐνετείλατο δὲ ὁ Βαρθολομαῖος τῷ Στάχυϊ βαπτίζειν τοὺς πιστεύοντας εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, καὶ ἵνα λέγωσιν ἀμήν.

148 (42) Μετὰ δὲ τὰς τεσσαράκοντα ἡμέρας φανεὶς ὁ σωτὴρ ἐν μορφῇ τοῦ Φιλίππου εἶπεν τῷ Βαρθολομαίῳ καὶ τῇ Μαριάμνῃ· Ἀδελφοί μου ἠγαπημένοι θέλετε ἀναπαῆναι ἐν τῇ ἀναπαύσει τοῦ θεοῦ; ἠνοίχθη μοι ὁ παράδεισος καὶ

ἡμέρας τῆς ζωῆς αὐτῆς. αὐτοὶ δὲ οὐ διέλειπον δοξάζοντες τὸν θεὸν διὰ τὰ θαυμάσια τὰ γινόμενα ἐπ' αὐτοῖς· καὶ γὰρ ἐκ τῆς κορυφῆς τοῦ ἀποστόλου μύρον ἐπήγασεν. ὁ δὲ Βαρθολομαῖος ἐνετείλατο τῷ Στάχυϊ βαπτίζειν εἰς — — πνεύματος.

148 Μετὰ δὲ τὰς τεσσ. ἡμ. ἀναλαβὼν ὁ κύριος τὴν μορφὴν τοῦ ἀποστόλου Φ. ἐφάνη τῷ Β. κ. τῇ Μ. ἐν ὁράματι καὶ εἶπεν αὐτοῖς· Ἀδελφοί μου εὐλογημένοι ἀνεπάην ἐν τῇ ἀποθήκῃ τοῦ πατρὸς καὶ ἐν ταῖς φωτειναῖς αὐτοῦ μοναῖς.

καὶ τρέφειν αὐτά· αὐτοὶ δὲ οὐ διέλειπον δοξάζοντες — — τὰ γεγενημένα ἐπ' αὐτούς. καὶ — — τοῦ Ἰησοῦ. ἐνετείλατο — — βαπτίζειν τοὺς — — πνεύματος, καὶ διδάσκεσθαι λέγειν τὸ ἀμήν.

148 Μετὰ δὲ τὰς τεσσ. ἡμ. λαβὼν ὁ κύριος τὴν μορφὴν τοῦ ἁγίου Φιλίππου ἐφάνη τῷ Β. καὶ τῇ Μ. καὶ εἶπεν αὐτοῖς· Ἀδελφοί μου ἠγαπημένοι καὶ εὐλογημένοι χαίρετε. ἀνεπάην ἐν τῇ ἀναπαύσει τοῦ πατρὸς ἐν τῇ δόξῃ τοῦ Ἰησοῦ. ἀπέλθατε

---

1 πάντες om QRVW ‖ τῶν σημείων τῶν γινομένων (cf 11) ὑπ' αὐτῶν C ‖ γενόμενα P: cf 11; 20 ‖ 2 αὐτοῖς PSW: cf 11; 20 ‖ 3 Ἰ.] κυρίου ἡμῶν (om Q) ἰησοῦ χριστοῦ QRW ‖ 3–5 ἐνετ. - ἀμ. om R ‖ 5 κ. ἵνα - ἀμ. om P: cf 14 ‖ καὶ om CMQVW ‖ ἵνα om QW ‖ λέγουσιν CS λέγοντας QW τὸ add CQW ‖ 6 τὰς om CPQ: cf 15; 23; 69, 9; 88, 5 et 7 ‖ ἐφάνη M: cf 16; 24 ‖ 7 Φ.] ἀποστόλου φ. W (cf 16; 24) καὶ add M ‖ 8 θ. ἀν.] τὸ λοιπὸν ἀναπαύεσθαι P ‖ 9 ἐν] desinit R

11 scr γενόμενα?? cf 1; 20 ‖ 15 τὰς om U: cf 6 ‖ 16 Φ. om J

19 καὶ] τοῦ D om F ‖ ἔτρεφον F ‖ διέλιπαν B ‖ 20 γενόμενα D γινόμενα F: cf 1; 11 ‖ εἰς DF ‖ τ. Ἰ.] τ. κυρίου ἰ. χριστοῦ D αὐτοῦ B ‖ 21 βαπτ.] αὐτοὺς add F ‖ διδασκέσθωσαν F ‖ λέγ.] τὸν λόγον B om D ‖ 23 τὰς om BF: cf 6 ‖ 24 ἁγ. om B (cf 88, 21) ἀποστόλου add F: cf 7 ‖ κ. τ. Μ. om D ‖ αὐτῷ D ‖ 25 ἀνεπ.] γὰρ add D ‖ 26 ἀν. - τῇ om D ‖ Ἰ.] υἱοῦ BF ‖ ἀπέλθετε F: cf 90, 1

εἰσῆλθον ἐν τῇ δόξῃ τοῦ Ἰησοῦ. ἀπέλθατε εἰς τὸν τόπον τὸν κεκληρωμένον ὑμῖν· τὸ γὰρ φυτὸν τὸ ὡρισμένον καὶ φυτευθὲν ἐν τῇ πόλει ταύτῃ καρποφορεῖ καλῶς. Ἀσπασάμενοι οὖν τοὺς ἀδελφοὺς καὶ ἐπευξάμενοι ἑκάστῳ αὐτῶν ἐξῆλθον ἀπὸ τῆς πόλεως Ὀφιορύμης τῆς Ἱεραπόλεως τῆς Ἀσίας, καὶ ὁ Βαρθολομαῖος ἀπῆλθεν εἰς τὴν Λυκαονίαν, ἡ δὲ Μαριάμνη ἐπορεύθη ἐν τῷ Ἰορδάνῃ· ὁ δὲ Στάχυς καὶ οἱ σὺν αὐτῷ ἔμειναν κατέχοντες τὴν ἐκκλησίαν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ἀπέρχεσθε εἰς τ. τόπ. τ. κεκληρωμένον ὑμῖν· τὸ γὰρ φυτὸν τὸ ῥιζωθὲν ἐν τῇ πόλει ταύτῃ καρποφορήσει καλῶς. Καὶ ἀσπασάμενοι τ. ἀδ. καὶ εὐξάμενοι ἐπάνω ἑκάστου ἐξῆλθον ἐκ τῆς πόλεως καὶ ἕκαστος αὐτῶν ἀπῆλθον εἰς τὸ κλῖμα τὸ ἴδιον, καθὼς εἶπεν αὐτοῖς ὁ κύριος. ὁ μὲν Βαρθολομαῖος ἀπῆλθεν εἰς Λυκαονίαν, ἡ δὲ Μαριάμμη εἰς τὸν Ἰορδάνην ποταμόν· ὁ Στάχυς δὲ σὺν αὐτῷ ἔμεινεν κατηχῶν τὴν ἐκκλησίαν ἐν Χρ. Ἰ. τ. κ. ἡμῶν, ᾧ ἡ δ. καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τ. αἰ. τ. αἰώνων. ἀμήν.

οὖν εἰς — — ὑμῖν καὶ πληρώσατε τὰ προστεταγμένα ὑμῖν· τὸ γὰρ φυτὸν τὸ πεφυτευμένον ἐν τῇ π. τ. καρποφορήσει καλῶς. Ἀσπασάμενοι δὲ τοὺς ἀδ. κ. ἐπευξ. αὐτοῖς ἐξῆλθον ἀπὸ τῆς Ὀφιορύμου καὶ ἕκαστος αὐτῶν ἀπῆλθεν εἰς τὸ ἴδιον κλῖμα, καθὼς εἶπεν ὁ κύριος, ὁ Β. εἰς τὴν Λυκαονίαν, ἡ δὲ Μ. ἐν τῷ Ἰορδάνῃ· ὁ δὲ Στάχυς — — ἔμειναν κατηχοῦντες τὴν ἐκκλησίαν — — καὶ τὸ κράτος — — τῶν αἰώνων. ἀμήν.

CMPQSVW [1] Ἰ.] θεοῦ *QSVW* υἱοῦ *P* (*om C*) λοιπὸν *add V* ‖ ἀπέλθετε *MV* (*cf* 89. 26) καὶ ὑμεῖς *add V* οὖν ὑμεῖς ἕκαστος *add W* ‖ [2] *scr* ἐριζωμένον? *cf* 12 ‖ [3] καρποφορίσει *V* ‖ [4] οὖν] δὲ *C* ‖ [5] ἐκ *C* ‖ τῆς *alt om MS*: *cf* 59, 4 ‖ ἱερᾶς πόλεως *Q* ‖ [6] ὁ] μὲν *add SVW*: *cf* 15 ‖ τὴν *om CW* ‖ [7] ἐπορ. *om S* ‖ εἰς τὸν ἰορδάνην *M* ‖ Ἰ.] ποταμῷ *add W* ποταμὸν *add M*: *cf* 17 ‖ στάχυος *P* ‖ [8] κατ. τ. ἐ.] ἐν τῇ ἐκκλησίᾳ *S* ‖ *scr* κατηχοῦντες?? *cf* 17; 25 ‖ [9] κράτ] νῦν καὶ ἀεὶ καὶ *add CSVW* ‖ [10] ἀμήν] τέλος τῶν περιόδων φιλίππου τοῦ ἀποστόλου *add V*

[11] κεκλημένον *Y* ‖ [13] ἐπ. ἑκ. *om Y* ‖ [14–17] καὶ ἕκ. - ἐκκλ. *om Y* ‖ [14] *scr* ἀπῆλθεν?? *cf* 23 ‖ [16] *scr* Μαριάμνη ‖ [17] *scr* αὐτοῖς??? *cf* 7 ‖ [18] ἐν Χρ. - ἡμῶν *om U* ‖ [18–19] καὶ τὸ κρ. - ἀεὶ καὶ *om U*

[20] ὑμ. *om D* ‖ [22] καλ.] ἐν καλοῖς *F* ‖ αὐτ. *om D* ‖ [23] ἀπῆλθον *F*: *cf* 14 ‖ [24] κτίμα *F* ‖ [24–25] καθ. - Ἰορδ. *om D* ‖ [25] στάχυος *D* ‖ [26] τ. ἐκκλ.] ἐν τῇ ἐκκλησίᾳ *D* ‖ κ. τὸ κρ. *om B* ‖ κράτος] νῦν καὶ ἀεὶ καὶ *add D* ‖ τῶν αἰ. *om B*

Ὑπομνήματα περὶ τοῦ βίου καὶ τῶν θαυμάτων καὶ τοῦ μαρτυρίου τοῦ ἁγίου καὶ πανευφήμου ἀποστόλου Φιλίππου ἑνὸς τῶν δώδεκα ἀποστόλων.

Ordo capitum: 1—5. 30—74. 79. 85—87. 89—93. 88. 10—14. 76—78. 17—29. 107—148 (6—9. 15. 16. 75. 80—84. 94—106 *praetermissa sunt*).

Φίλιππόν τις ὀνομάσας εὐθὺς τὸν μέγαν ἐννοεῖ τοῦ σωτῆρος ἀπόστολον . . . . . μετὰ δὲ τὴν ἀναίρεσιν Στεφάνου τοῦ πρωτομάρτυρος καὶ τὴν τῶν ἀνοσιουργῶν Ἰουδαίων ἐπιβουλὴν εἰς τοὺς πανσόφους καὶ θεηγόρους μαθητὰς τοῦ Χριστοῦ, τῶν λοιπῶν πάντων ἐπὶ τὸ κήρυγμα στελλομένων, καὶ αὐτὸς ὁ ἀοίδιμος καὶ εὐκλεέστατος Φίλιππος πρὸς τὸν τοῦ εὐαγγελίου δρόμον ἑαυτὸν παρασκευασάμενος συνεξέδραμεν, μηδενὸς ἐν μηδενὶ κατὰ τὸ κήρυγμα ἐλαττούμενος. ἐπειδὴ δὲ τὴν Ἀσιάτιδα γῆν καὶ οὗτος παρὰ Ἰακώβου τοῦ ἀδελφοθέου καὶ Πέτρου κεκλήρωτο, λαβὼν μεθ᾽ ἑαυτοῦ συνοδοιπόρον τὸν Βαρθολομαῖον, καὶ γὰρ εἶχεν τοῦτον αὐτὸν συνεπόμενον τῇ τε πνευματικῇ ἀγάπῃ συνδούμενον καὶ φιλοστοργίας ῥοπῇ συγκρατούμενον — σαρκικὴ ἀδελφὴ αὐτοῦ ὑπῆρχεν ἡ Μαριάμνη, ἥτις καὶ συνηκολούθει καὶ διηκόνει αὐτοῖς — ἔξεισιν μετ᾽ αὐτῶν τῆς πόλεως Ἱερουσαλήμ·

1—4 *καὶ ἐλθὼν ἐν χώρᾳ τῆς Γαλιλαίας ὅθεν καὶ ὥρμητο, καὶ κακῶς πάσχοντας λόγῳ μόνῳ καὶ χειρὸς ἱερᾶς ἐπαφῇ θεραπεύσας, γυνή τις χήρα ἐξεκόμιζε μονογενῆ τέκνον νεκρόν· ἥτις θεασαμένη τὸν Φίλιππον καὶ παρὰ τῶν συνόντων ἀκούσασα τὴν τοῦ κηρύγματος αὐτοῦ μεγαληγορίαν, ὡς ταῖς παραδόξοις αὐτοῦ θαυματοποιίαις καὶ τῷ τῶν σημείων φωτὶ τὴν τῆς πλάνης ἀχλὺν λόγῳ ἀποδιώκει καὶ τυφλοῖς μὲν παρέχειν ὁρᾶν, χωλοῖς δὲ περιπατεῖν, καὶ λεπροὺς καθαρίζει, καὶ δαιμόνια φυγαδεύει, καὶ νεκροὺς δι᾽ εὐχῆς μόνης καὶ θείας Χριστοῦ σφραγῖδος ἐγείρει, καὶ ἄλλα μεγάλα τέρατα καὶ σημεῖα ποιεῖ, δραμοῦσα πίστει ἱκέτις γίνεται αὐτοῦ τοῦ ἀναστῆσαι τὸν υἱὸν αὐτῆς ἐκ νεκρῶν. ὁ δὲ ἀπόστολος ἐπὶ τοὺς ὀδυρμοὺς τῆς γυναικὸς καὶ τὰ δάκρυα σφόδρα παθὼν τὴν ψυχὴν εἶπεν πρὸς αὐτὴν εὐαγγελικῶς· Πιστεύεις γύναι ὅτι δύναται ὁ*

H Paris gr 1551 s XIV

[1] *scr Ὑπόμνημα?* ‖ [7] *post ἀπόστολον a f 67 ad 70 transii: cf praef* ‖ [16] *αὐτὸν] scr αὐτῷ?* ‖ [18] *σαρκικὴ <δὲ>?* ‖ [27] *scr παρέχει*

δι᾽ ἐμοῦ κηρυττόμενος θεὸς τοῦτόν σου τὸν υἱὸν ἐκ νεκρῶν ἀναστῆσαι; Τῆς δὲ εἰρηκυίας Ναὶ κύριε, πιστεύω καὶ πέπεισμαι ὅτι δύναται τοῦτο ποιῆσαι καὶ μείζονα τούτου ἐργάσασθαι. φησὶ πρὸς τὸν τεθνεῶτα ὁ Φίλιππος· Ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ τὸν τετραήμερον Λάζαρον ἐκ νεκρῶν ἀναστήσαντος, ἀνάστα νεανίσκε ἐκ τῶν νεκρῶν, ἵνα διὰ σοῦ καὶ ὁ θεὸς δοξασθῇ καὶ ὁ δῆμος ἅπας οὗτος πιστεύσῃ ἐν τῷ κυρίῳ. Καὶ εὐθέως πάντων ὁρώντων τῇ τοῦ ἀποστόλου φωνῇ, ὢ τοῦ θαύματος, ἀνέστη ὁ νεκρὸς ὡς ἐξ ὕπνου·

5 καὶ ἠκολούθησεν τῷ ἁγίῳ Φιλίππῳ δοξάζων ἀσιγήτως τὸν ζωοδότην θεόν. ἀπάρας δὲ ἐκεῖθεν ἀπὸ τῆς Γαλιλαίας σὺν τῷ Βαρθολομαίῳ

30—33 ἦλθεν ἐν ὁρίοις Παρθενίας κατὰ θάλασσαν τῶν Κανδάκων· καὶ εὑρὼν ἐκεῖσε πλοῖον μέλλειν ἀπαίρειν εἰς Ἄζωτον ἀνέβη εἰς αὐτὸ εὐθαρσῶς. ὡς δὲ ἄχρι σταδίους τριακοσίους ἐν τῇ θαλάσσῃ τὸ πλοῖον προέκοψεν εὔπλουν, εἰσελθὼν ἄνεμος ἰσχυρός, καὶ μέλλοντες οἱ ναυτηλόγοι ἐκκινδυνεύειν σὺν τῷ Φιλίππῳ, τῶν σκευῶν ἤδη τὴν ἐκβολὴν ποιουμένων καὶ ἀλλήλους κατασπαζομένων,

34 ἀναστὰς ἀπὸ τοῦ ἐδάφους οὗ ἦν ἡσυχάζων ὁ Φίλιππος Μὴ φοβεῖσθε ὦ ἄνδρες εἶπεν· ἀποβολὴ γὰρ ἐξ ἡμῶν οὐδεμία ἔσται, ἀλλ᾽ οὐδὲ τοῦ πλοίου. Καὶ τοῦτο φήσας καὶ σφραγίσας τῇ θαλάσσῃ τρίτον ἐβόησεν εἰς ἐπήκοον πάντων· Σοὶ λέγω θάλασσα τῇ δεινῶς ἄρτι κυμαινομένῃ· κελεύει σοι ὁ Ἰησοῦς δι᾽ ἐμοῦ τοῦ δούλου αὐτοῦ ὁ ἐπὶ τῶν σῶν ὑδάτων περιπατήσας καταστεῖλαι τὸν θυμὸν τῆς ἀτάκτου φρουρᾶς. Καὶ εὐθέως σὺν τῷ λόγῳ Φιλίππου ἐν πολλῇ γαλήνῃ ἐγένετο αὐτῆς τὰ κύματα· ἰδόντες δὲ οἱ ναῦται τὸ γεγονὸς παράδοξον θαῦμα ἔπεσον εἰς τοὺς πόδας αὐτοῦ λέγοντες· Εὐχαριστοῦμέν σοι ἄνθρωπε ὅστις εἶ· διὰ σοῦ γὰρ ἡμῖν ἡ ζωὴ κεχάρισται σήμερον. εἰπὲ οὖν τὰ πρὸς ὠφέλειαν ἡμῶν καὶ σωτηρίαν ψυχῶν συντείνοντα, καὶ τί ποιῆσαι ἡμᾶς δεῖ ἵνα γενώμεθα δοῦλοι τοῦ ὑπὸ σοῦ καταγγελλομένου θεοῦ.

35 Ὁ δὲ ἀπόστολος κατηχήσας αὐτοὺς πολλὰ ἀπὸ τῶν θείων γραφῶν καὶ ὑποδείξας αὐτοῖς τὴν τῆς σωτηρίας ὁδόν.

36 λαβὼν αὐτοὺς ἐξῆλθεν ἐπὶ τῆς ξηρᾶς καὶ ἐβάπτισεν αὐτοὺς εἰς τὸ ὄνομα τῆς ἁγίας καὶ ὁμοουσίου τριάδος· καὶ ἐμεγαλύνοντο ἐν τῇ πίστει τοῦ Χριστοῦ.

37 Ὡς δὲ πολλὴ φήμη διέδραμεν περὶ τοῦ ἀποστόλου Φιλίππου εἰς πᾶσαν τὴν Ἄζωτον ἐπὶ τοῖς

[5] cf Io 11, 17; 39; 43 s

---

[3] *τούτου] τοῦ||||| H του in ras h: scr τούτων??* ‖ [6] *διὰ om H add h* ‖ [11–12] *ἀ. τ. Γ. del?* ‖ [13–14] *ἐν - Κ.] cf 16, 6; 32* ‖ [13] *scr Παρθίας? cf Th c 110 i* ‖ *c 6—9 praetermissa, c 10—14 post 88 ante 76 posita sunt* ‖ [14] *scr μέλλον?* ‖ [19] *scr ποιούμενοι et κατασπαζόμενοι?* ‖ [24] *θαλάσση|||| H ἐβόησ||||| H εν in ras h* ‖ [28] *scr φορᾶς: cf 17, 14*

δι᾽ αὐτοῦ γενομένοις σημείοις, πολλοὶ συνέτρεχον πρὸς αὐτὸν καὶ ἐθεραπεύοντο ἀπὸ τῶν νόσων αὐτῶν.

38—42 Μεθ᾽ ὧν καί τις γυνὴ Θεόκλεια ἐπονομαζομένη, θυγάτηρ γεγονυῖα Νικοκλείδους, ἑνὸς τῶν μεγιστάνων, ὃς καὶ ὑπομνηματογράφος ἐτύγχανεν Ἀρχελάου τοῦ βασιλέως, τὴν τοῦ προσώπου αὐτῆς ὄψιν λεπρωθεῖσα καὶ τὸν δεξιὸν ὀφθαλμὸν ὑπὸ τῆς ἀμέτρου ὀδύνης ἐκκεχυμένον ἔχουσα, ἀκούσασα παρὰ πολλῶν τὰς τοῦ ἀποστόλου Φιλίππου θαυματουργίας καὶ οἰηθεῖσα ἰατρόν τινα ἐπιστήμονα τοῦτον εἶναι δυνάμενον διὰ μεθόδου ξένης καὶ ἀποκρύφων φαρμάκων θεραπεῦσαι αὐτὴν ὑπὲρ τῶν περιοδευσάντων αὐτῇ ἰατρῶν Λευκίου τε καὶ Ἠλείδους, προσελθοῦσα μετὰ τοῦ πατρὸς αὐτῆς ἐν ᾧ ὁ Φίλιππος ξενιζόμενος ἦν καὶ διδάσκων τὸν σωτήριον λόγον, ἐδέετο αὐτοῦ θεραπείας τυχεῖν.

43 ὁ δὲ ἀπόστολος ἐν πᾶσι κατοικτιρήσας αὐτὴν ἐκέλευσεν δι᾽ οἰκείας χειρὸς τὴν ἑαυτῆς τοῦ προσώπου μορφὴν τρίτον κατασφραγίσασα ἐπὶ τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ· οὗπερ γενομένου, καὶ ὡσεὶ λεπίδες ἐκ τοῦ προσώπου αὐτῆς ἐκσπασθεῖσαι, παραχρῆμα ἰάθη αὐτῇ τῇ ὥρᾳ.

44 Ἰδὼν δὲ Νικοκλῆς τὸ γεγονὸς τοῦτο παράδοξον θαῦμα εἰς τὴν ἑαυτοῦ θυγατέραν, ἐπίστευσεν πανοικὶ καὶ κατηξιώθη τοῦ ἁγίου βαπτίσματος. ἡ δὲ Θεόκλεια τὸν τῆς γυναικείας φύσεως κόσμον εἰς ἀνδρεῖον σχῆμα μεταμειψαμένη συνῆν ἔκτοτε τῷ ἀποστόλῳ Φιλίππῳ καὶ τῇ Μαριάμνῃ ἀκολουθοῦσα καὶ δοξάζουσα Χριστὸν τὸν θεόν.

45 Ὁ δὲ ἀπόστολος μετὰ βραχὺ ἀπὸ τῆς πολίχνης Ἀζώτου ἀναχωρήσας καὶ εἰς ἑτέρας πόλεις αὐτομολήσας ἦν διερχόμενος καὶ εὐαγγελιζόμενος αὐτὰς ἕως τοῦ ἐλθεῖν αὐτὸν εἰς Νικάτηρα πόλιν.

46—50 Ὁ δὲ πολιτάρχης, οὗ τὸ ὄνομα Ἴρων, ἀνὴρ πλούσιος καὶ ἀγαθώτατος ὤν, ἰδὼν τὸν Φίλιππον μετὰ Βαρθολομαίου καὶ Μαριάμνης πράως βαδίζοντα ἐν μέσῳ τῆς πόλεως,

51—61 ὑπεδέξατο αὐτὸν εἰς τὸν οἶκον αὐτοῦ. τῷ δὲ ἦν γυνὴ καλουμένη Ἐρκέλλα καὶ θυγάτερ Ἀρτεμίλλα προσαγορευομένη·

62. 63 ἃς κατηχήσας Φίλιππος ὁ θαυμάσιος καὶ νουθετήσας αὐτὰς τοῦ τῆς παλιγγενεσίας χαρίσματος κατηξίωσεν· ἀλλά γε δὴ καὶ τὸν Ἱερέα καὶ πάντας τοὺς σὺν αὐτῷ μετόχους ἐποίησεν τοῦ Χριστοῦ· ὡς καὶ οἰκιακὸν αὐτοῦ δοῦλον ξηρὰν ἔχοντα τὴν εὐώνυμον χεῖρα εὐχῇ μόνῃ καὶ τύπῳ σταυροῦ τὴν ἴασιν ἐχαρίσατο. πολλοῖς δὲ καὶ ἄλλοις τοῖς πιστῶς προσελθοῦσιν αὐτῷ τὴν οἰκείαν ἐνέργειαν τῶν ἰαμάτων ἐνεδείξατο. ταῦτα καὶ πλείω τούτων θαυματουργῶν ὁ ἀπόστολος καὶ πολ-

---

4 *scr* θυγάτηρ ‖ 15 πάσῃ *H* ‖ 17 *scr* κατασφραγίσαι? ‖ 19 ⟨ἐν⟩ αὐτῇ?? *cf* 20, 7 ‖ 24 *scr* ἦν?? ‖ 25 *del* Χριστὸν?? *cf* 20, 15 ‖ 30 ἥρον *H*: *scr* Ἴρεος?? ‖ 35 *scr* Νερκέλλα? ‖ *scr* θυγάτηρ ‖ *scr* Ἀρτεμήλα?? ‖ 39 *scr* Ἴρεον?? ‖ 40—41 *scr* οἰκιακῷ α. δούλῳ ξ. ἔχοντι??

λοὺς ἀπὸ τοῦ σκότους τῆς ἀπιστίας εἰς τὸ τῆς εὐσεβείας φῶς ἀγαγὼν αὐτὸς μὲν εἴχετο πάλιν τῆς τοῦ Χριστοῦ διδαχῆς, τὸ ἐμπιστευθὲν αὐτῷ τάλαντον διπλασιάσαι ἐπιποθῶν·

64—73 ὁ δὲ πονηρὸς καὶ ἀρχέκακος δαίμων ὁρῶν αὐξάνουσαν τὴν ἀλήθειαν οὐχ ἡσυχίαν ἤγαγεν ἀλλὰ πᾶσαν μηχανουργίαν ἐκίνει καὶ ἐποιεῖτο. ἐντεῦθεν εἰς τὰς καρδίας τῶν Ἰουδαίων ἐλθών, καὶ οἷα πῦρ ἀναφλέξας αὐτοῖς τὸ ζηλότυπον, ἁρπαγῆναι μὲν ὑπ᾽ αὐτῶν παρασκευάζει τὸν τοῦ Ἱερέως πλοῦτον, συχνὴν ἐκ τοῦ αἰφνιδίου χεῖρα κινήσας καὶ γυμνώσας τοῦτον ὡς τὸν Ἰώβ. πυρπολεῖ δὲ καὶ τὴν τούτου οἰκίαν ὡς δεξαμένην τὸν Φίλιππον καὶ τοὺς σὺν αὐτῷ· ἐπάγει δὲ καὶ τοῖς τοῦ Χριστοῦ μαθηταῖς φυλακὴν καὶ δεσμά, καὶ ταραχὴν καὶ στάσιν ποιεῖ τοῦ θανατῶσαι αὐτοὺς καὶ τῆς παρούσης ἀπαλλάξαι ζωῆς. ἀλλ᾽ ὁ διδάσκαλος οὐκ ἠμέλει τῶν μαθητῶν καὶ τῶν ἀποστόλων ὁ πέμψας οὐκ ἐπιλέλησται, ἀλλ᾽ ἐπεὶ συμμόρφους ἑαυτοὺς ἑώρα τοῖς οἰκείοις παθήμασι, κοινωνοὺς καὶ τῆς δόξης ἐκείνης καὶ τῶν θαυμάτων ἐποιεῖτο·

74 καὶ πλήττεται μὲν τῶν Ἰουδαίων ὁ ἄρχων οὐρανίῳ πληγῇ ἀστραπόκαυστος γεγονώς·

79 (?) ἐνοχλοῦνται δὲ ὑπὸ πνευμάτων ἀκαθάρτων καὶ ἄλλοι δέκα ἐκ τῶν ταραχοποιῶν ἐκείνων ἀνδρῶν· καὶ γίνεται ἐν τῇ πόλει φόβος πολύς. καὶ λαμβάνει τοὺς Ἰουδαίους καὶ τοὺς Ἕλληνας μεταμέλεια, καὶ ἐξάγουσιν τὸν Φίλιππον καὶ τὸν Βαρθολομαῖον ἐκ τῆς φρουρᾶς καὶ συγγνώμην αἰτοῦσιν ὅσα δεδράκασιν εἰς αὐτούς· οἱ δὲ τοῦ ἀκάκου καὶ πρᾴου Χριστοῦ γνήσιοι μαθηταὶ τὴν τῶν πρακτέων ἄφεσιν παρασχόντες αὐτοῖς καὶ εὐχαῖς μᾶλλον τὰς κακώσεις ἀνταμειψάμενοι. ἐπεὶ ὁ Βαρθολομαῖος τότε τῇ θεωρίᾳ ἠσχόλει τὸν νοῦν, ὁ Φίλιππος κατανενυγμένος πρὸς ταῦτα ἰδών, ἐπάρας αὐτοῦ τὴν φωνὴν τοιάδε ἐβόησεν πρὸς αὐτούς· Ἄνδρες ὅσοι διὰ μετανοίας τοῦ θείου καὶ ἁγίου βαπτίσματος ἐπιποθεῖτε τυχεῖν, ἀπόθεσθε τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας καὶ γνῶτε ὅτι οὐκ ἔστιν θεὸς ἕτερος ζῶν πλὴν τοῦ κυρίου Ἰησοῦ Χριστοῦ, ὃς ποιητὴς ὢν καὶ δημιουργὸς καὶ σπλαγχνισθεὶς ἐφ᾽ ἡμᾶς θέλει πάντας σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν· διὸ πιστεύσατε εἰς αὐτόν, ὅτι αὐτός ἐστιν ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος, ὁ τοῦ πατρὸς καὶ τοῦ πνεύματος σύνθρονος· καὶ αὐτός ἐστιν ὁ εἰς τὸν κόσμον ἐλθὼν ἐπὶ σωτηρίᾳ καὶ ἀνακλήσει τοῦ οἰκείου πλάσματος καὶ πάλιν μέλλων ἔρχεσθαι ἐπὶ ἀναστάσει καὶ κρίσει πάντων, ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτῶν· καὶ οἱ μὲν πιστεύσαντες καὶ τὸ ἅγιον βάπτισμα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ σημειούμενοι καὶ κατ᾽ αὐτὸ τὸν ὑπόλοιπον βίον βιώσαντες τῶν αἰωνίων μετάσχωσιν αὐτῷ ἀγαθῶν, οἱ δὲ ἀπιστήσαντες αἰωνίως τοῖς

[34] cf Tim 1, 2, 4 ‖ [36] cf Matth 16, 16 ‖ [39] cf Rom 2, 6

[8] *scr* Ἱρέου?? ‖ [11] *scr* δεξαμένου?? ‖ [14] ζωῆ/// *H* ς *add h* ‖ [15] *scr* ἐπιλέληστο? ‖ [16] *scr* αὐτοὺς ‖ [26] πρακταίων *H*: *scr* πραχθέντων?? ‖ [28] *scr* κατανενυγμένους ‖ [33] ὢν ⟨ἡμῶν⟩? ⟨ὑμῶν⟩? ‖ [34] *scr* ὑμᾶς? ‖ [40] αὐτὸν *H*: *scr* αὐτοῦ?

παρ' αὐτοῦ πονηροῖς συγκαταριθμήσονται πνεύμασιν καὶ τῆς διαιωνιζούσης κολάσεως τῷ πυρὶ παραπεμφθήσονται. βλέπετε οὖν, ἰδού, ἀκούετε, καὶ οὐδεμία ὑμῖν ἀπιστίας περιλέλειπται πρόφασις. Ταῦτα ἀκούσαντες οἱ ὄχλοι ἀνέκραξαν· Μέγας ἐστὶν ὁ θεὸς τῶν χριστιανῶν καὶ μεγάλα τὰ ἔργα αὐτοῦ καὶ πιστεύομεν εἰς αὐτόν· δεόμεθα οὖν καὶ ἡμεῖς λαὸς αὐτοῦ γενέσθαι· ἀλλὰ συνειδότες ὡς πονηρὰ ἡμῶν τὰ ἔργα ἐστὶν κἀκείνου ἀλλότρια δειλιῶμεν καὶ ἀποκνέομεν. Καὶ ὁ ἀπόστολος ἔφη· Ἐγὼ τῆς συγχωρήσεως ὑμῶν καὶ ἀφέσεως τῶν ἐν ἀγνοίᾳ ἔργων ἐγγυητὴς καὶ μεσίτης· ἐγὼ τοῦ ἐλέους τοῦ θεοῦ καὶ τῶν οἰκτιρμῶν βραβευτής.

85 (??) Καὶ ταῦτα εἰπὼν εἴχετο τῆς ὁδοῦ, δυσωπούμενος ὑπὸ τοῦ ὄχλου τοῦ ἀφικέσθαι εἰς τὴν οἰκίαν εἰς ἣν ἐφρουροῦντο οἱ δέκα πνευματιζόμενοι. ὡς δὲ μετὰ τοῦ ἀκολουθοῦντος ὄχλου ἐκεῖσε παρῆν, ὡς ᾔσθοντο τὴν τοῦ ἀποστόλου παρουσίαν τὰ ἀκάθαρτα πνεύματα, ἐπὶ πλείστην ὥραν τοὺς ἄνδρας διασπαράξαντα, καὶ πολλά τινα ἐμπαθῆ καὶ αἰσχρὰ δι' αὐτῶν προϊέμενοι ῥήματα τὴν δυσαχθῆ αὐτῶν στηλιτεύοντα γνώμην, ἐν εἴδει καπνοῦ ᾤχοντο ἀπὸ πάντα ἐκεῖθεν. τοῦτο τὸ παράδοξον θαῦμα ἰδόντες οἱ ὄχλοι καὶ λίαν καταπλαγέντες ἐπίστευσαν ἅπαντες εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν·

86—87. 89—93 οὓς καὶ τῇ ἕωθεν ὁ ἀπόστολος κατηχήσας καὶ βαπτίσας εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, καὶ ἐκκλησίαν οἰκοδομήσας καὶ τὸν χριστοφιλῆ καὶ θεόφρονα ἄνδρα Ἱερέα ἐπίσκοπον αὐτοῖς καταστήσας, καὶ πρεσβυτέρους καὶ διακόνους ἐξ αὐτῶν προχειρίσας, καὶ κανόνας καὶ τύπους καταλείψας αὐτοῖς, ἅμα Βαρθολομαίῳ καὶ Μαριάμνῃ καὶ Θεοκλείᾳ πρὸς τὰς τῆς Μυσίας καὶ Λιβύας μετέβη πόλεις, εὐαγγελιζόμενος τὸν λόγον τοῦ θεοῦ καὶ θεραπεύων κατὰ τὸ γεγραμμένον πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν.

88 (??) Ἐν ταύταις δὲ ὄντων αὐτῶν καὶ διασπειρόντων τὸ κήρυγμα, ἰδού τινες τῶν Ἰουδαίων ἄνδρες παράνομοι θυμῷ ζέοντες καὶ μανίᾳ πεδούμενοι ὡς ἤκουσαν τῆς ἀληθείας τὸν λόγον καταγγελλόμενον ὑπ' αὐτῶν, ὡς ἀσπὶς βύουσα τὰ ὦτα αὐτῆς καὶ οὗτοι ἐν τῇ αὐτῶν καρδίᾳ τὴν κακίαν ὥσπερ κάλυμμα ἐπιθήσαντες κατέσχον τοὺς ἀποστόλους, ποτὲ μὲν μαστίζοντες, ποτὲ δὲ ῥαβδίζοντες, ἄλλοτε πάλιν αὐτοὺς ἀποκλείοντες καὶ λιμοκτονοῦντες, καὶ τελευταῖον ἐν σιδηροῖς δεσμοῖς παρακατέχοντες καὶ φυλάττοντες.

10—12 Συμβούλιον δὲ οἱ πρῶτοι τῶν Ἰουδαίων καθ' ἑαυτοῖς ποιησάμενοι διὰ τὴν παρ' αὐτοῖς νομιζομένην ξένην δι-

[30] Matth 4, 23 ‖ [35] cf psalm 57 (58), 5

[1] *scr πον. π. α.?? cf 19 ‖ scr συγκαταριθμηθήσονται?* ‖ [8] *ἀποκναίωμεν H: scr ἀποκνοῦμεν??* ‖ [15] *scr τῆς τ. ἀ. παρουσίας??* ‖ [17] *scr προϊέμενα??* | [19] *scr π. ἀ. ἐκ.?? ἀ. ἐκ. π.?? cf 1* ‖ [22] *οἱ πρῶτοι τῶν ἰουδαίων in mg h* | [25] *scr Ἴρεον??* ‖ [29] *scr Λυδίας: cf Lipsius II 2 p 41* ‖ [36] *scr ὥς τι? ὡσεὶ?* [41] *scr ἑαυτοὺς?*

δασκαλίαν ἣν οἱ ἀπόστολοι ἐρητόρευον, ἔδοξαν ἐπιστολῇ παραπέμψαι εἰς Ἱερουσαλὴμ πρὸς Ἄνναν τὸν ἀρχιερέα ἑαυτῶν, ὅπως ἐλθὼν αὐτὸς νομομαθέστατος ὢν δυνηθῇ διασκεδάσαι τὴν διδασκαλίαν Φιλίππου καὶ Βαρθολομαίου.

13 Ὡς δὲ μετὰ τῶν Φαρισαίων καὶ Σαδουκαίων τὴν ἐπιστολὴν ὁ ἀρχιερεὺς ὑπανέγνω, ἀναστὰς

14 καὶ ἐνδυσάμενος τὸ τῆς ἀρχιερωσύνης ἀξίωμα, μεθ᾽ ἑτέρων πολλῶν παρεγένετο ἔνθα ὁ Φίλιππος ἦν. καὶ ἰδὼν αὐτὸν λέγει αὐστηρᾷ τῇ φωνῇ· Ὦ Φίλιππε, μαθητὰ τοῦ παρ᾽ ἡμῖν σταυρωθέντος, τί ὧδε παραγέγονας; ἢ πάντως πλανῆσαι θέλων καὶ φενακίσαι τινὰς τῶν ἀφελεστέρων ἀνθρώπων;

76 ἀλλὰ λέγε μοι, εἰ ἐπίστασαί τι ἐκ τῶν γραφῶν περὶ τοῦ Χριστοῦ, διὰ τί αὐτὸν ὑμεῖς θεὸν καλεῖτε.

77 Πρὸς ὃν ὁ Φίλιππος εἶπεν· Σὺ πρῶτος ὢν τοῦ ἔθνους τῶν Ἰουδαίων καὶ ἀρχιερεὺς καὶ νομοδιδάσκαλος ὀφείλεις καὶ πρῶτος εἰπεῖν· καὶ εἴ τι καλὸν καὶ ὠφέλιμον εἴπῃς λυσιτελοῦν πρὸς τὸν ἐντὸς ἡμῶν ἄνθρωπον, καὶ ἀκουσόμεθά σου καὶ τὴν διδαχὴν ἐπαινέσομεν· εἰ δὲ φαῦλα κριθῶσιν τὰ παρὰ σοῦ προτεινόμενα, δεῖ κατ᾽ ἐμὲ φθέγξασθαι σωτήρια ῥήματα παρρησίᾳ, ὡς οὐ πλάνον εἶναί με ἀλλὰ μᾶλλον τοὺς πλανωμένους πρὸς ἀπλανῆ ὁδὸν ἐπιστρέφοντα τοῦ Χριστοῦ. Καί φησιν ὁ ἀρχιερεύς· Λαμβάνεις Φίλιππε πρὸς πληροφορίαν καὶ πίστωσιν σοῦ τε καὶ τῶν σὺν σοὶ τὰς προφητικὰς γραφὰς τῶν θεσπεσίων ἀνδρῶν, ἢ παραιτεῖσαι τούτων τὴν θεορρημοσύνην; Τοῦ δὲ ἀποστόλου εἰπόντος Πάνυ μὲν οὖν καὶ ἀποδέχομαι καὶ ἀσπάζομαι αὐτάς, ἀπήρξατο ὁ Ἰουδαῖος λέγειν· Ἀγνοεῖς Φίλιππε ὅτι γέγραπται· Τίς ἐξηγήσεται τὰς ἀρετάς σου ὁ θεός; Καὶ ὅτι Οὐδείς ποτε δύναται γνῶναι τὴν δόξαν σου. Καὶ ὅτι Ἡ δόξα σου ἐπλήρωσε τὴν γῆν· Καὶ ὅτι Κύριος κρινεῖ λαοὺς καὶ αὐτὸς κριτής ἐστι ζώντων καὶ νεκρῶν· Καὶ ὅτι Ὁ θεὸς πῦρ καταναλίσκον καὶ φλογιεῖ κύκλῳ τοὺς ἐχθροὺς αὐτοῦ· Καὶ ὅτι Εἷς θεὸς ἐποίησεν τὰ πάντα; Πῶς οὖν λέγεις Φίλιππε ὅτι ἀφθάρτως ἡ Μαρία ἐγέννησεν τὸν Ἰησοῦν, καὶ ἔστιν θεός; καὶ πῶς ἐσταυρώθη, καὶ πῶς ἀγωνίζῃ σὺ περὶ αὐτοῦ, εἰ θεός ἐστι; σαφήνισόν μοι τὴν τῶν γραφῶν θεωρίαν ἀνυποστόλως, χαίροντος ἤδη ἐπὶ τῇ ἑρμηνείᾳ ταύτῃ καὶ παντὸς τοῦ βουλευτηρίου. Καὶ ὁ ἀπόστολος ἀπεκρίνατο· Ταῦτα μὲν οὕτως ἔχειν ὦ Ἄννα ὑπολαμβάνω, καὶ οὕτως γέγραπται ἐν τοῖς βίβλοις τῶν προφητῶν, καὶ οὐκ ἂν ἀρνήσαιμι πώποτε. ἀλλ᾽ ἐκεῖνο πῶς λέγεις ὅτι Χριστὸς θεοῦ δύναμις καὶ θεοῦ σοφία ἐστίν, ὃς συμπαρῆν τῷ θεῷ καὶ πατρὶ δημιουργοῦντι τότε τὸν κόσμον καὶ λέγοντι πρὸς αὐτόν· Ποιήσωμεν ἄνθρωπον κατ᾽ εἰκόνα ἡμετέραν καὶ καθ᾽ ὁμοίωσιν;

28–34 cf 30, 8 ss ‖ 31 cf psalm 7, 9 ‖ 44 cf 30, 19

---

1 *ἐπιστολὴν?* ‖ 12 *c 15. 16 praetermissa, c 17—29 post 78 posita sunt* ‖ 20 *scr καὶ ἐμὲ?* ‖ 25 *παραιτῆσαι II* ‖ 31 *scr λαὸν?? λαούς?*

78 Λέγει γὰρ ὁ Ἠσαΐας ὁ προφήτης περὶ τοῦ Χριστοῦ· Τάδε φησὶ κύριος ὁ θεός· Ἰδοὺ ὁ παῖς μου ὃν ᾑρετισάμην, εἰς ὃν ηὐδόκησεν ἡ ψυχή μου· θήσω τὸ πνεῦμά μου ἐπ᾽ αὐτῷ· Καὶ ὅσα τούτοις ἀκόλουθα. τί δὲ καὶ περὶ τῆς θείας αὐτοῦ σαρκώσεως καὶ γεννήσεως; οὐχὶ τὸ αὐτὸ καὶ μέγα τῆς οἰκονομίας μυστήριον ὁ συνιὼν ἐκπλαγήσεται; οὐχὶ ὁ αὐτὸς Δαυὶδ λέγει· Υἱός μου εἶ σύ· ἐγὼ σήμερον γεγέννηκά σε; Ἂν δὲ καὶ τὸ Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς ἀκούσῃς, καὶ τὸ Ἡτοίμασα τὸν νῶτόν μου εἰς μάστιγας, τὰς δὲ σιαγόνας μου εἰς ῥαπίσματα, καὶ τὰ ἑξῆς, μεγάλως θαυμάσαι ἔχεις τὴν αὐτοῦ ἀρετήν. ἂν δὲ καὶ τὴν ταφὴν καὶ τὴν ἀνάστασιν καὶ ὅσα τούτοις ἐνωτισθῇς, θεὸν αὐτὸν μόνον δοξάσεις καὶ προσκυνήσεις καὶ μὴ βουλόμενος.

17 Ὁ δὲ παμβέβηλος ἀρχιερεὺς καὶ παμμίαρος ἀκούσας τοὺς λόγους τούτους παρὰ τοῦ ἀποστόλου, θεομάχος ὢν καὶ κυριοκτόνος καὶ βλάσφημος, πλησθεὶς θυμοῦ καὶ ὀργῆς ἐξανέστη τοῦ θρόνου οὗπερ ἐκάθητο, τοῦ μαστίξαι αὐτόν, καὶ εὐθὺς ἡ μὲν δεξιὰ αὐτοῦ χεὶρ ἐξηράνθη, οἱ δὲ ὀφθαλμοὶ αὐτοῦ ἐδέξαντο πήρωσιν, καὶ ἦν χειραγωγούμενος ὑπὸ τῶν συνόντων αὐτῷ.

18—21 Ἀλλὰ σκαμβοῦν ξύλον οὐδέποτε ὀρθὸν ἔσεσθαι, οὐδὲ βαδίζειν ὀρθὰ τὸν κάρκινον παρασκευάσασθαι· διὸ σκληρὸς καὶ βαρυκάρδιος ἔμεινεν μέχρι τέλους ζωῆς τῷ ᾅδῃ παραπεμφθείς. οὕτως τοιγαροῦν ὁ ὑβριστής τε καὶ βλάσφημος ἐπειδὴ τοῦ ἰουδαϊκοῦ φρονήματος κάτοχος ἦν καὶ ἀπαράδεκτος ὅλως ἐτύγχανεν τῆς εὐσεβείας Χριστοῦ καὶ τῇ ἀπιστίᾳ συνεδέδετο καὶ πείθειν αὐτὸν οὐχ οἷός τε ἦν ὁ ἀπόστολος,

22 προσευχῇ μὲν καὶ τύπῳ σταυροῦ ἀνοίγει τούτου τοὺς ὀφθαλμούς, θεραπεύει δὲ καὶ τὸ τῆς χείρας ξηρόν, καταλιμπάνει δὲ τοῦτον τῇ ἀσεβείᾳ, ὡς ἂν μελήσῃ περὶ αὐτοῦ τῷ θεῷ.

23 Ἀλλ᾽ ὁ φυλάσσων τὸν ἀσεβῆ εἰς ἡμέραν κακὴν σείει μὲν τὴν πόλιν ἀθρόως καὶ διχάζει τὴν γῆν, συγκατασπᾷ δὲ κὰ τὸν Ἄνναν μέχρι γονάτων καὶ ὑπὸ γῆν κατασπᾷ τὰς τῶν ποδῶν αὐτοῦ ἀγκύλας ὑπὸ τοῦ χοὸς συμπιέσας. ἀμεταμέλητα δὲ οὕτως τοῖς συνοῦσιν καθομιλῶν καὶ δυσφορῶν καὶ τὸ οἴμοι ἀναβοῶν καὶ πάλιν τῇ βλασφημίᾳ τὸ θεῖον φιλονεικῶν καὶ τῇ ἀπιστίᾳ συνδούμενος

24 συγκαταβαίνει μέχρι τοῦ ὀμφαλοῦ καὶ διακρατεῖται πάλιν ὑπὸ τῆς γῆς. ἀλλ᾽ ὁ αὐτὸς ἦν αὖθις οἷος καὶ ἦν· καὶ τὸ βλασφημεῖν καὶ ἀπιστεῖν μὴ ἀποφυγὼν τὸ τοῦ διαβόλου μέλος ᾔδετο κράζειν Οὐαὶ λέγων, τί μοι δέδρακεν Φίλιππος ὁ ἀπατεών; οὓς εἶχον πόδας εἰς τὸ περιπατεῖν κάτω διέτεινεν ὑπὸ γῆν. ἀλλ᾽ εἰ καὶ τὴν βίαν ταύτην τῆς βασάνου οὐχ ὑποφέρω, πλὴν οὐ μή μου πείσῃ τὸν λογισμόν, οὐδὲ μὴ ἀπατήσῃ καὶ ἐκγελάσῃ ἵνα πιστεύσω τῷ ὑπ᾽ αὐτοῦ κηρυττομένῳ Χριστῷ.

[1] ss cf 30, 25 ‖ [8] psalm 21 (22), 19 ‖ [9] cf 30, 29

[4] *scr αὐτόν?* ‖ [13] *τούτοις <ἀκόλουθα>? cf 4* ‖ [21] *scr σκαμβὸν??* ‖ *ἔσεσθαι <δυνατὸν>?* ‖ [29] *scr χειρὸς?? cf 61, 20* ‖ [32] *scr καὶ*

25 Ὁ δὲ τοῦ Χριστοῦ ἀπόστολος Φίλιππος πολλὰ αὐτὸν νουθετήσας καὶ διδάξας ἀπὸ τῶν θείων γραφῶν, ἵνα μὴ γένηται τοῦ διαβόλου σκεῦος καὶ σκήνωμα, ἀλλ᾽ ἵνα μετανοήσῃ καὶ πιστεύσῃ καὶ βαπτισθῇ,

26 ὡς δὲ εἶδεν αὐτὸν ὅλως μὴ ἐνδιδόντα, μέχρι τοῦ τραχήλου καὶ τῆς ὑπήνης τοῦτον ἡ γῆ καταπέπωκε· οὗπερ γενομένου θαύματος θαυματουργεῖταί τι ἕτερον σημεῖον παρὰ τοῦ ἀποστόλου ἐνώπιον παντὸς τοῦ λαοῦ.

27. 28 Νεανίσκος τις πρώτου τῆς πόλεως ὑπάρχων υἱός, μονογενὴς ἦν αὐτῷ καὶ παμφίλτατος, ἐξ ἐνεργείας τοῦ πονηροῦ ἀθρόως ἀποπνιγεὶς νεκρὸς εἰσεκομίσθη πρὸς τὸν ἀπόστολον· ὅνπερ ἰδὼν καὶ δακρύσας εἶπεν πρὸς τὸν ἀρχιερέα· Ὁρᾷς ὦ Ἄννα τοῦτον τὸν νεκρόν. ἐὰν οὖν ἀναστήσῃ αὐτὸν ὁ Χριστὸς δι᾽ ἐμοῦ, πιστεύεις λοιπόν; Ὁ δὲ ἔφη· Οἶδα ὅτι ἀναστήσεις αὐτὸν σχήματι καὶ οὐκ ἀληθείᾳ· πολλὰ γὰρ ἐνεργεῖ τὰ τῆς μαγγανείας σου εἴδη. πλὴν ἐγὼ Ἰουδαῖος αἱροῦμαι ἀποθανεῖν, καὶ οὐκ ἄν ποτε τῷ Ναζωραίῳ πιστεύσω. Τότε ἀμέτρῳ λύπῃ συσχεθεὶς ὁ ἀπόστολος καὶ δάκρυα πολλὰ καταχέας ἐπὶ τῇ ἀπωλείᾳ τοῦ Ἄννα, θείῳ κελεύσματι ἡ γῆ ἀνοιχθεῖσα παντὸς τοῦ ὄχλου ὁρῶντος τοῦτον εἰς τὴν ἄβυσσον ζῶντα παρέπεμψεν τοῦ αἰωνίου πυρὸς καὶ ἀφεγγοῦς σκότους ἐκεῖ κληρονόμον γενέσθαι. πλὴν τὸ ἀρχιερατικὸν ἔνδυμα ἤγουν ἡ στολὴ τῆς ἱερωσύνης θείᾳ προνοίᾳ ἐξ αὐτοῦ ἐκδυθεῖσα ἀθρόως μετέωρος ἐφάνη εἰς τὸν ἀέρα καὶ παρὰ πάντων ὡρᾶτο ἕως οὗ ἔδυ ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν. καὶ ἀπὸ τῆς ἡμέρας ἐκείνης οὐδεὶς ἔγνω ποῦ ἀπερρίφη ἢ τί γέγονεν. καὶ ὃ μὲν οὕτως κατῆλθεν ζῶν εἰς τὸν ᾅδην· ὁ δὲ ἀπόστολος Φίλιππος ἐπευξάμενος τὸ ὄνομα τοῦ Χριστοῦ καὶ ἐπικαλεσάμενος αὐτὸν ἀνέστησε τὸν παῖδα καὶ ζῶντα παρέδωκεν τῷ πατρὶ αὐτοῦ.

29 Οἱ δὲ ὄχλοι θεασάμενοι ταῦτα ἀνέκραξαν μεγάλῃ τῇ φωνῇ· Εἷς θεὸς ὁ ὑπὸ Φιλίππου ἡμῖν κηρυχθείς, ὃς ἐλέγξας τὴν ἀπιστίαν τοῦ ἀρχιερέως καὶ τὸν τοῦ ἄρχοντος υἱὸν ἐκ τῶν νεκρῶν ἀνέστησεν. Τότε πᾶς ὁ λαὸς τῆς πόλεως ἐκείνης καὶ οἱ ἐξ Ἱερουσαλὴμ παραγεγονότες σὺν τῷ ἀνοσιουργῷ ἐκείνῳ ἀρχιερεῖ ὡς εἶδον τὰ μέγιστα ἐκεῖνα ἔργα ξένα καὶ θαυμάσια τοῦ θεοῦ, ἐδεήθησαν τοῦ ἀποστόλου μετασχεῖν τοῦ ἁγίου βαπτίσματος· καὶ ἔδωκεν αὐτοῖς τὴν ἐν Χριστῷ σφραγῖδα. ἔμεινεν δὲ ὁ ἀξιάγαστος Φίλιππος ἐν αὐτῇ τῇ πόλει χρόνον, καὶ κατεσκεύασεν ἐκκλησίαν, καὶ καταστήσας ἐπισκόπους καὶ πρεσβυτέρους μετέβη ἐκεῖθεν, καὶ ἦλθεν ἐν Ἀσίᾳ τῇ πόλει. ἐπεὶ δὲ καὶ τῶν ἐνθένδε τοῦτον ἔδει πάντως ἐπιφοιτῆσαι ἐκδημίαν τε τὴν πρὸς τὸν κύριον στείλασθαι, τοιόνδε τι περὶ τὸ τέλος αὐτοῦ συνηνέχθη . . . . .

[10] υἱός, ⟨ὅς⟩? ‖ [25] scr ἑωρᾶτο? cf 94, 16 ‖ [37] scr καὶ ξένα?? ‖ [43] scr ἀποφοιτῆσαι? ‖ [45] omisi quae sequuntur (c 107—148): cf praef

Πράξεις τοῦ ἁγίου ἀποστόλου Θωμᾶ. 3 Thilo 190 Tischend 146 Wright 1 Bonnet

Κατ᾽ ἐκεῖνον τὸν καιρὸν ἦμεν πάντες οἱ ἀπόστολοι ἐν Ἱεροσολύμοις, Σίμων ὁ λεγόμενος Πέτρος καὶ Ἀνδρέας ὁ ἀδελφὸς αὐτοῦ, Ἰάκωβος ὁ τοῦ Ζεβεδαίου καὶ Ἰωάννης ὁ ἀδελφὸς αὐτοῦ, Φίλιππος καὶ Βαρθολομαῖος, Θωμᾶς καὶ Ματθαῖος ὁ τελώνης, Ἰάκωβος Ἀλφαίου καὶ Σίμων ὁ Κανα- 4 Th

[3] cf Matth 10, 2—4 || [6] cf Luc 6, 15; 16 Act 1, 13

A Paris gr 881 s X	*K Chisian R VII 51 s XII*	*S Paris gr 1613 s XV*
B — 1468 s XI	*L Paris gr 764 s IX*	*T — 1540 s XI*
C — 1454 s X	*M Monac gr 262 s IX*	*U Vallicell B 35 s XI*
D — 1176 s XIII	*O Bodl Clark 43 s XI*	*V Vatic gr 1190 s XV*
F Angelic B 2 2 s XI	*P Paris gr 1510 s XI*	*X Paris gr 1173 A s XII*
G Escorial Y II 9 s XI	*Q — 1485 s XI*	*Y Vatic gr 797 s XI*
H — Y II 6 s XII	*R — 1551 s XIV*	*Z Petroburg 94 s XII*

Γ = BGHMZ *Σ = FLSZ*
Δ = A. Φ *Φ = B. CD. FTX. PUY. QR. SV*
Π = PRUVY *Ω = KORUVY*
ä *acta aethiopica* p *passio latina*
m *miracula latina* ſ *acta syriaca*

Δ = A. Φ (Φ = B. CD. FTX. PUY. QR. SV) [1] *πρ.] περίωδος A περίοδοι CD. Y. QR μαρτύριον καὶ πρ. F: scr περίοδος? καὶ μαρτύριον add A. SV* || *ἁγ.] καὶ ἐνδόξου add P* || *ἀπ. Θ.] θ. τοῦ ἀπ. A. T ἐν ἰνδία add C. U τοῦ ἐν τῇ χώρα τῆς ἰνδίας τελειωθέντος add V ἐν ἰνδία ὅτε τὸ οὐράνιον παλάτιον ἔκτισεν τῷ βασιλεῖ ἐν κυρίῳ add T* actus Iudae Thomae apostoli cum uendidit eum Abbani mercatori ut descenderet ad conuertendam Indiam *add* ſ || *Θωμᾶ. <πρᾶξις α' ὅτε εἰσῆλθεν εἰς τὴν Ἰνδίαν μετὰ Ἀββάνη τοῦ ἐμπόρου>? cf Z et 124, 13* || [2] *κατ᾽ - ἦμεν]* et cum per quoddam tempus fuissent ſ || *ἦμε/// (in rasura ν in mg μεν) P ἤμεθα A (cf 101, 4) ὑπήρχομεν R ἦσαν C. X. V coniectura laudabili: cf* ſ *Γ et 100, 1 et Lipsius I p 346* || [6] *Ἰάκ.] ὁ τοῦ add CD. FT. P. QR. SV: recte? cf 4 et 100, 1* || *Ἀ. om Y. V* || *καναυίτης FT. PU. SV*

Γ = GHMZ [1] *πράσις HM ἀπεμπόλησις G* || *ἀπ. Θ.] θ. του ἀπ. M* || *Θ.] ὅτε εἰσῆλθεν εἰς τὴν ἰνδίαν μετὰ ἀμβάνη τοῦ ἐμπόρου add Z ἐν τῇ ἰνδία add GH ὅτε (καὶ add Z) τὸ ἐν οὐρανοῖς παλάτιον ᾠκοδόμησεν add Γ τῷ βασιλεῖ τῶν ἰνδῶν add GH* || [2] *ἦσαν Γ** || [3]–100,[1] *Σ. - Ἰακ. om Γ**

5 Tb ναῖος, καὶ Ἰούδας Ἰακώβου, καὶ διείλαμεν τὰ κλίματα τῆς
2 B οἰκουμένης, ὅπως εἷς ἕκαστος ἡμῶν ἐν τῷ | κλίματι τῷ λαχόντι αὐτῷ καὶ εἰς τὸ ἔθνος ἐν ᾧ ὁ κύριος αὐτὸν ἀπέστειλεν πορευθῇ. κατὰ κλῆρον οὖν ἔλαχεν ἡ Ἰνδία Ἰούδᾳ Θωμᾷ τῷ καὶ Διδύμῳ· οὐκ ἐβούλετο δὲ ἀπελθεῖν, λέγων μὴ δύνασθαι μήτε χωρεῖν διὰ τὴν ἀσθένειαν τῆς σαρκός, καὶ ὅτι Ἄνθρωπος ὢν Ἑβραῖος πῶς δύναμαι πορευθῆναι ἐν τοῖς Ἰνδοῖς κηρύξαι τὴν
191 T ἀλήθειαν; Καὶ ταῦτα αὐτοῦ διαλογιζομένου καὶ λέγοντος
147 W ὤφθη αὐτῷ ὁ σωτὴρ διὰ τῆς νυκτός, καὶ λέγει αὐτῷ· Μὴ φοβοῦ Θωμᾶ, ἄπελθε εἰς τὴν Ἰνδίαν καὶ κήρυξον ἐκεῖ τὸν λόγον· ἡ γάρ χάρις μού ἐστιν μετὰ σοῦ. Ὁ δὲ οὐκ ἐπείθετο,

[9] cf Act 18, 9

[1] *Ἰακ.] καὶ εἶπον πρὸς ἀλλήλους δεῦτε ἵνα βάλλομεν κλήρους καὶ add V: cf Γ* ‖ *διείλομεν TX. V διειλάμεθα D διείλαντο C: cf 99, 2* ‖ [2] *εἷς om V: cf HZ* ‖ *ὑμῶν A αὐτῶν C. V (cf 99, 2 et Γ)* praedicaret *add* ſ: *cf Γ* | [2–3] *λ. α. κλ. (om alt τῷ) T: cf Γ* ‖ [2] *κλήρῳ V: cf Z* ‖ [3] *ἀποστέλλει A. P* | *πορευθῆναι B. R πορευθείη P om* ſ: *cf Γ* ‖ [4–5] *ἰούδαν θωμᾶν τὸν κ. δίδυμον B. PU. S τὸν θωμᾶν τὸν δίδυμον V* ‖ [4] *Ἰούδᾳ om C: cf Γ et 102, 3; 5; al; et 116, 2; Lipsius I p 227; 257 Burkitt J of theol studies I (1900) p 287* ‖ [5] *ὁ δὲ οὐκ ἐβ. PU. S καὶ οὐκ ἐβ. V: cf Γ* ‖ *δὲ] γὰρ R* ‖ *λ. μὴ δ. om A* ‖ [5–6] *μὴ - χωρ. om P* ‖ [5] *μηδὲ B. F. S om (C. V)* ‖ [6–8] *καὶ ὅτι - ἀλ.] μὴ δὲ εἰδὼς τὴν χώραν ἢ τὴν γλῶσσαν τοῦ ἔθνους P* ‖ [6–7] *ἐβ. ὢν S: cf Γ* | [6] *ὢν] εἰμι B. U. V* (ſ) ‖ [7] *πῶς] οὐ A* ‖ *πορευθεὶς B. U om S* ſ: *del?? cf Γ* | *ἐν om B. U. SV* ſ ‖ *κηρ. τ. ἀ. B. V* docere Indos ſ ‖ *ἰνδίοις SV* | [8] *κ. τ.] κ. τοῦτο V τ. δὲ P τ. οὖν V τ. C. S: cf Γ* ‖ *λογιζομένου B* | *κ. λέγ. om* ſ: *cf Γ* ‖ [9] *κύριος S* (ſ): *cf Γ* ‖ *διὰ]* in uisu m ſ: *cf Γ* ‖ *αὐτῷ om V: cf Γ* ‖ [10–11] *ἄπ. - λόγ. om* ſ: *cf Γ* ‖ [10] *ἀπελθεῖν B. S* ‖ *κηρύξαι B. S* ‖ [10–11] *τ. λ. μου ἐκεῖ B* ‖ [10] *ἐκεῖ om A. D. V* ‖ [11] *μού om A* ‖ *ἐστιν* (ſ p)] *ἔσται A. CD. X. R. SV: cf Γ et 119, 3; 146, 18; c 49i; 50e; 67c* | *ὃ] ὡς U*

[1] *διεῖλαν (M) Z* διείλοντο H διαιροῦντες G* ‖ [2] *οἰκ.] καὶ ἔβαλον (εβαλλον M) κλήρους add H(M)Z καὶ βάλλοντες τοὺς κλήρους αὐτῶν G: cf V εἷς om HMZ: cf V* ‖ *ἡμ.] αὐτῶν Γ* κηρύξει add Γ*: cf* ſ ‖ [2–3] *τῷ - τὸ] legere nequiui M* ‖ *λ. α. κλ. (om alt τῷ) GHZ: cf T* ‖ [2] *κλήρῳ Z: cf V* ‖ [3] *ἐν om G(H)Z* ‖ *ᾧ] ὃ G οὗ Z om (H)* ‖ *πορ. om Γ** ‖ [4] *ἡ om M* ‖ [4–5] *Ἰ. Θ. - Δ.] τῷ θ. τῷ δ. HM θωμᾶν τὸν δίδυμον Z θωμᾶ τῷ ἀποστόλῳ G* ‖ [5] *οὐκ - δὲ] ὅστις οὐκ ἐβ. HMZ ὁ δὲ οὐκ ἔνευσεν G: cf Δ* [5–6] *μήτε - σαρκός] βαστάσαι τὸν τοιοῦτον κάματον Γ* ‖ [6–7] *ἐβ. ὢν Γ: cf S* | [7] *δυνήσομαι Γ* ‖ *πορ. om Γ* ‖ *κηρ. τοῖς ἐν τῇ ἰνδίᾳ Γ* ‖ [8] *καὶ τ.] τ. δὲ Z τ. GHM: cf Δ* ‖ *ἐνθυμουμένου Γ (cf 101, 3) sed post ἐνθυ deficit M: cf c 109e*

Γ = GHZ [8] *κ. λέγ. om Γ** ‖ [9] *κύριος Γ: cf S* ſ ‖ *διὰ] ἐν ὁράματι Γ** ‖ *καὶ om Γ* ‖ *λέγων Γ* ‖ *αὐτῷ om Γ: cf V* ‖ [10–11] *ἄπ. - λόγον om Γ* ‖ [11] *μ. σ. ἐστιν GH om (Z)*

λέγων· Ὅπου βούλει με ἀποστεῖλαι ἀπόστειλον ἀλλαχοῦ· εἰς Ἰνδοὺς γὰρ οὐκ ἀπέρχομαι. 6 Th

2 Καὶ ταῦτα αὐτοῦ λέγοντος καὶ ἐνθυμουμένου ἔτυχεν ἔμπορόν τινα εἶναι ἐκεῖ ἀπὸ τῆς Ἰνδίας ἐλθόντα ᾧ ὄνομα Ἀββάνης, ἀπὸ τοῦ βασιλέως Γουνδαφόρου ἀποσταλέντα καὶ ἐντολὴν παρ' αὐτοῦ εἰληφότα | τέκτονα πριάμενον ἀγαγεῖν 3 B αὐτῷ. ὁ δὲ κύριος ἰδὼν αὐτὸν ἐν τῇ ἀγορᾷ περιπατοῦντα τὸ μεσημβρινὸν εἶπεν αὐτῷ· Βούλει τέκτονα πριάσθαι; Ὁ δὲ εἶπεν αὐτῷ· Ναί. Καὶ ὁ κύριος ἔφη αὐτῷ· Ἔχω δοῦλον τέκτονα καὶ βούλομαι αὐτὸν πωλῆσαι. Καὶ ταῦτα εἰπὼν ὑπέδειξεν αὐτῷ τὸν Θωμᾶν ἀπὸ μακρόθεν, καὶ συνεφώνησεν

---

[1] *λέγ.] κύριε add T. V* domine *add* 𝔭: *cf Γ* 𝔣 *et 9* ‖ *βούλει]* domine noster *add* 𝔣 ‖ *με - ἀλλ.] ἀποστεῖλαί με ἀλλ. ἀπόστ. C με ἀπόστειλον (ex ἀποστεῖλαι) ἀλλ. ἀπόστ. D με ἀπ. ἀλλ. ἀπόστ. T με ἀπόστ. ἀλλ. X ἀπόστ. με ἀλλ. B. F. PU ἀλλ. ἀπόστ. με S ἀπόστ. ἀλλ. R ἀπέστειλόν με V* mitte me 𝔣: *cf Γ* ‖ [2] *|||||κ A οὐ in ras a* ‖ [3] *ἐνθ. κ. λ. B. PU. al V* ‖ *λέγ. κ. om* 𝔣 ‖ *κ. ἐνθ. om F. S: cf Γ* ‖ [4] *τινὰ ἔμπ. PU. R. S* ‖ *ἐκεῖ]* in regionem australem 𝔣 ‖ *ᾧ ὄν.] ὀνόματι (cf 102, 3) CD. SV τοὔνομα A: cf c 82i; 99, 2* ‖ [5] *ἀμβάνης F ἀμβανής R constanter (cf Γ) ἀββάνην CD. V (cf 105, 9)* Habban 𝔣 Abban 𝔪 Abbanis 𝔭 ‖ *ἀποσταλεὶς ἀ. τ. β γ. B* ‖ ab (*ὑπὸ*) 𝔣: *cf Γ* ‖ *γουνταφόρου R γουνδιαφόρου S: cf 102,3; 124,7* ‖ *ἀποσταλεὶς F. P πεμφθεὶς V: cf Γ* ‖ [5–6] *κ. ἐντ. - εἰλ. om* 𝔣: *cf Γ* ‖ [5–6] *κ. ἐντ. om V* ‖ [6] *ἐντολὰς B* ‖ *εἰληφὼς F λαβὼν B om V* ‖ *ἰντέκτονα B* fabrum sollertem 𝔣 hominem in artificio structurae scitum 𝔪 hominem arte tectonica eruditum 𝔭 (?): *cf Γ* ‖ *πριασάμενος R πριάσασθαι S (cf G) om* 𝔣 ad comparandum 𝔪 ‖ [8] *τὸ μεσ.]* per diem 𝔪 *om V* 𝔣: *cf Γ* ‖ *εἶπεν]* in specie humana apparens ait 𝔪: *cf Z* ‖ *πριάσασθαι C. T. P. R. SV* ‖ [9] *εἶπεν]* dicit 𝔣 ‖ *ναί] κύριε add R: cf GH et 1* ‖ *ἔφη] εἶπεν (B). X. S om V* dicit 𝔣 ‖ [9–10] est mihi seruus talis 𝔪: *cf Γ* ‖ [10] *τέκτ.] καλὸν add V: cf Γ* ‖ *πωλ.]* tibi *add* 𝔣: *cf Γ* ‖ *τ. ε. om* 𝔣: *cf Γ* ‖ [11] *ἀπὸ om R. SV*

[1] *λέγ.] κύριε add GZ*: cf Δ* ‖ *με - ἀλλ.] ἀπόστειλόν με Γ** ‖ [3] *καὶ om Γ* ‖ *κ. ἐνθ. om Γ: cf FS* ‖ [4] *ἐκ. GZ om H* ‖ *οὗ ὄν. H οὗ τὸ ὄν. Z ὄν. G* ‖ [5] *ἀμβάνης Z ἀμβανὶς GH* ‖ *ἀπὸ - ἀποστ.] πεμφθεὶς ὑπὸ τ. β. γ. (γονδαφόρου H) (G)HZ*: cf* 𝔣 ‖ [5–6] *κ. ἐντ. - εἰλ. om Γ: cf* 𝔣 ‖ [6] *πριάσασθαι G ἔμπειρον πρὸς οἰκοδομὴν add G τοῦ εἰς οἰκοδομὴν add H θέλων ἦτα (l ἤτοι?) οἰκοδόμον add Z* ‖ [6–7] *α. ἀγ. (H)Z om G* ‖ [7] *ἰδ. δὲ α. ὁ κ. (G)HZ* ‖ [8] *τὸ μ. om Γ* ‖ [8–9] *εἶπεν - ἔ. α.] ὤφθη αὐτῷ καὶ λέγει Z* ‖ [8] *ε. α.] ἐπηρώτησεν αὐτὸν λέγων (G)H* ‖ [8–9] *ὁ - αὐτῷ] καὶ ὁ ἔμπορος ἀπεκρίθη GH* ‖ [9] *ναί] κύριε add GH: cf R* ‖ *ἔφη] λέγει GH: cf* 𝔣 ‖ *δοῦλον om Γ* ‖ [10] *τέκτ.] τεχνίτην add Γ* ‖ *κ. β. α. om Γ σοι add Γ** ‖ *τ. εἰπ. om Γ** ‖ *ἔδειξεν Γ* ‖ *ἀπὸ μ. τ. θωμ. Γ*

μετ᾽ αὐτοῦ τριῶν λιτρῶν ἀσήμου, καὶ ἔγραψεν ὠνὴν λέγων·
Ἐγὼ Ἰησοῦς υἱὸς Ἰωσὴφ τοῦ τέκτονος ὁμολογῶ πεπρακέναι
ἐμὸν δοῦλον Ἰούδαν ὀνόματι σοὶ τῷ Ἀββάνῃ ἐμπόρῳ Γουνδα-
φόρου τοῦ βασιλέως τῶν Ἰνδῶν. Τῆς δὲ ὠνῆς τελεσθείσης
7 Th ὁ σωτὴρ παραλαβὼν Ἰούδαν τὸν καὶ Θωμᾶν ἀπήγαγεν πρὸς
Ἀββάνην τὸν ἔμπορον· καὶ ἰδὼν αὐτὸν ὁ Ἀββάνης εἶπεν
πρὸς αὐτόν· Οὗτός ἐστιν ὁ δεσπότης σου; Καὶ ἀποκριθεὶς ὁ
192 T ἀπόστολος εἶπεν· Ναί, κύριός μού ἐστιν. Ὁ δέ φησιν· Ἠγό-
ρασά σε παρ᾽ αὐτοῦ. Καὶ ὁ ἀπόστολος ἡσύχαζεν.

3 Τῇ δὲ ἑξῆς ὄρθρου εὐξάμενος καὶ δεηθεὶς τοῦ κυρίου
εἶπεν ὁ ἀπόστολος· Πορεύομαι ὅπου βούλει κύριε Ἰησοῦ· τὸ

[11] cf Luc 22, 42

---

[1] *μ. α.] ὑπὲρ τῆς τιμῆς αὐτοῦ add V* pretium eius *add* ʃ ‖ *τρ. λ. ἀ.]* uiginti argenteis ʃ: *cf Z* ‖ *τρεῖς λίτρας CD: cf GH* ‖ *ἀργυρίου C: cf 129, 5 et Γ* ‖ *ἔγ.] τὴν add S καὶ τὴν add V: cf GH* ‖ *ὠν.] αὐτοῦ add SV: cf Γ* ‖ *λέγ.] περιέχουσα οὕτως V* sic ʃ: *cf Z* ‖ [2] *Ἰησ.] ὁ add CD. FX. V* ʃ: *cf Z* ‖ *υἱ. Ἰω. om B* ‖ *τ. τέκτ. om B. S* ex uico Bethlehem qui est in Iudaea *add* ʃ; *cf Γ* ‖ *πεπρ.] τὸν add D* ‖ [3] *Ἰ.] θωμᾶν B. C τὸν καὶ θωμᾶν add (T). V: cf Γ* ‖ *ὀν. om B* ‖ *σοὶ om* ʃ ‖ [3–4] *ἐμπ. - Ἰνδ. om T: cf Γ* ‖ [3] *γουνταφόρου R γουνδιαφόρου S om B: cf 101, 5* ‖ [4] *τοῦ om P. V* ‖ *τῶν om A. B. S* ʃ ‖ *Ἰ. om* ʃ ‖ [5] *παρ. ὁ σ. T. V: cf GH* ‖ *Ἰ. - Θ.] ἰ. τ. κ. τὸν θ. A ἰ. τ. θ. T τ. ἰ. θ. V ἰ. B θ. τὸν δίδυμον C* ‖ *ἤγαγεν A* iit ʃ ‖ [6] *ἀββανὴ B: cf G om V* ‖ *τὸν om A* ‖ *ὁ om B* ‖ *ἀβάμνης A* ‖ [7] *πρὸς om B* ‖ *ἀποκρ. om* ʃ: *cf Z* ‖ [8] *ἀπόστ.]* Iudas ʃ *θωμᾶς add B* ‖ *εἶπεν] αὐτῷ add B πρὸς αὐτὸν add T recte?* (ʃ) ‖ *ὃ δέ] ὁ δὲ ἔμπορος B* Habban mercator ʃ: *cf Γ* ‖ *φ.] ἔφη R (cf H)* dicit ʃ ‖ [9] *σε] τοίνυν add S: cf Z* ‖ *κ. ὁ] ὁ δὲ B. SV: cf Γ* ‖ *ἀπ.] θωμᾶς add B* ‖ *ἡσύχασεν (Φ): cf Γ et 111, 2; c 96 i; 97 i; 106 e; 162 m* ‖ [10] *τῇ δὲ ἑ.]* et ʃ ‖ *ὄ.] τοῦ ὄ. R om P γενομένου add S(V) (cf GH)* surrexit *add* ʃ ‖ [11] *ὁ ἀπ. (θωμᾶς add B) ε. B. C. V* ‖ *πορ. om* ʃ ‖ *κ. ἰ. ὅ. β. P* ‖ *ὅπου]* ut ʃ ‖ *κύρ.] μου add T* noster *add* ʃ ‖ *Ἰ. om S* ʃ

[1] *τρ. λ. ἀσ.] ἀργυρίου λίτρας τρεῖς GH (cf CD) ἀργυρίου νομίσματα εἴκοσι Z: cf* ʃ ‖ *ἔγρ.] τὴν add GH αὐτῷ add Z* ‖ *ὠν.] αὐτοῦ add GH* ‖ *λέγ.] γράψας οὕτως Z (cf V* ʃ*) om GH* ‖ [2] *Ἰησ.] ὁ add Z* ‖ *τ. τέκτ. om et add ἀπὸ βηθλεὲμι κώμης τῆς ἰουδαίας G(HZ): cf* ʃ ‖ [2–3] *πεπ. - ἐμπ.] σοι ἀμβάνῃ ἐμπ. πεπρ. ἰούδ. (τὸν καὶ add Z) θωμᾶν (GH)Z ἄνθρωπον ἐμὸν add GH* ‖ [3–4] *Γ. - Ἰ. om Γ* ‖ [5] *παρ. ὁ κύριος GH* ‖ *ὁ σ. om Z* ‖ *Ἰ. - Θ.] τ. θ. Γ* ‖ *πρὸς] τὸν add HZ* ‖ [6] *ἀμβανὴν H ἀμβανὴ G* ‖ *τ. ἔμπ. om Γ* ‖ *ἀμβάνης Z ἔμπορος GH* ‖ [6–7] *ε. πρ. α.] ἐπερώτα α. Z ἐπυνθάνετο (παρ᾽ αὐτοῦ add H) λέγων GH* ‖ [7–8] *ἀπ. ὁ ἀ. ε.] ὁ ἀ. ἀπεκρίνατο CH ὁ ἀ. λέγει Z* ‖ [8] *ὃ δέ φ.] καὶ ὁ ἔμπορος Γ ἔφη add H λέγει add Z* ‖ [9] *σε] νῦν add GH τοίνυν add Z: cf S* ‖ *κ. ὁ] ὁ δὲ GZ: cf Δ* ‖ *ἐσιώπα Γ* ‖ [10] *τῇ - ὄ.] ὄ. δὲ Γ γενομένου add G(H): cf SV* ‖ *τῷ κυρίῳ GH om Z* ‖ [11] *ὁ ἀπ. - Ἰ.] om Γ*

θέλημα τὸ σὸν γενέσθω. Ἀπῆλθεν δὲ πρὸς Ἀββάνην τὸν 14 W
ἔμπορον μηδὲν ὅλως | τι μεθ' ἑαυτοῦ κομισάμενος ἀλλ' ἢ το 4 B
τίμημα αὐτοῦ μόνον. δεδώκει γὰρ αὐτῷ ὁ κύριος λέγων· Ἤτω
μετὰ σοῦ καὶ ἡ τιμή σου μετὰ τῆς χάριτός μου ὅπου ἂν ἀπ- Th
έρχῃ. Κατέλαβεν δὲ ὁ ἀπόστολος τὸν Ἀββάνην ἴσως τὰ σκεύη
αὐτοῦ ἀναφέροντα εἰς τὸ πλοῖον· ἤρξατο οὖν καὶ αὐτὸς συνα-
ναφέρειν αὐτῷ. ἐμβάντων δὲ αὐτῶν εἰς τὸ πλοῖον καὶ καθε-
σθέντων ἐξήταζεν ὁ Ἀββάνης τὸν ἀπόστολον λέγων· Ποίαν
ἐργασίαν οἶδας; Ὁ δὲ ἔφη· Ἐν μὲν ξύλοις ἄροτρα καὶ ζυγοὺς
καὶ τρυτάνας καὶ πλοῖα καὶ κώπας πλοίων καὶ ἱστοὺς καὶ
τροχίσκους, ἐν δὲ λίθοις στήλας τε καὶ ναοὺς καὶ πραιτώρια

---

[1] *τὸ σὸν] σου R. S κύριε add R: cf Γ* ‖ *γινέσθω B. Y. Q* ‖ *δὲ om A* ‖ [2] *μηδὲ T recte? cf 110, 17; c 62m; 73m (bis); al; cf tamen Γ* ‖ *κ. τι μ. ἑ. V τι ἔχων μ. ἑ. R: cf Γ* ‖ *τι om B. C. X. S: cf Γ* ‖ *ἀλλ' ἢ] εἰ μὴ (B). X. P: cf Γ et 147, 17; 111, 12; c 44e* ‖ [2–3] *μ. τὸ τ. α. V: cf Γ* ‖ [3] *ἐδεδώκει D δέδωκεν T. UY. QR. S: cf Γ* ‖ *αὐτὸ A. Y αὐτοῦ V* ‖ [3–5] *λέγ. - ἀπ. om* ſ ‖ [3] *εἴτω CD. F. R ἔστω P: cf Γ et 146, 18* ‖ [4] *ἐὰν C. T. R. V δ' ἂν S* ‖ [5] *ὁ ἀπ. om P* ‖ *ἀββανὴ S* mercatorem ſ: *cf 8* ‖ *ἴσως] ἶσος R ἴσω B εἴσω U εἰς ὃν S om A. CD. TX. P. V: del? (ab eo adpositum qui pro omissis illis τὰ φορτία αὐτοῦ coniectura usus τὰ σκεύη αὐτοῦ inseri iusserit)* ‖ [5–6] *τὰ σκ. α. om A* (merces suas ſ) ‖ [6] *ἐν τῷ πλοίῳ F. R. S: cf 7* ‖ *οὖν] δὲ B* ‖ *οὗτος A* ‖ [7] *δὲ] οὖν Y: cf GH* ‖ *εἰς τὸ πλ. om A. D. V: cf 6 et Γ* ‖ *καθ.* (ſ)] *ἐν τῷ πλοίῳ add D: cf Γ* ‖ [8] *ἐξήτασεν B* dicit Iudae ſ*: cf 104, 7; 102, 9* ‖ *Ἀ.]* mercator *add* ſ: *cf 5 et Γ* ‖ *λέγ.] om* ſ *αὐτῷ add B. CD. FTX. PUY. QR (cf 104, 7; 148, 15; c 71e) non nulla intercidisse uid: cf* ſ *et 125, 1* ‖ [9] *οἶδας]* ligno et quid caemento *add* ſ: *cf Γ et 125, 3* ‖ *ἀποκριθεὶς δὲ ὁ ἀπόστολος θωμᾶς ἔφη πρὸς αὐτὸν B (cf Γ)* Iudas dicit ei ſ ‖ [10] *τριττάνας R τριτάνας S τρυπάνας F* stimulos ſ *(cf Noeldeke ap Lipsium III p 423 et Schroeter Zeitsch d d morgenl Ges XXV (1871) p 370)* lances ä: *cf 125, 5* ‖ *καὶ πλ. om A. B. T. V* ſ: *del? cf Γ* ‖ [11] *τροχιλίσκους U. R om* ſ: *cf 125, 5 et Schroeter l s (10)* ‖ [11]–104,[1] *στ. - βασ.] plura* 𝔭: *cf G et praef* ‖ [11] *τε om A. F. P. SV: cf Γ et 105, 6; 7; 125, 6*

[1] *τὸ σ.] σου κύριε Γ* ‖ *ἀπ. δὲ] καὶ ἀπ. Γ* ‖ *ἀμβάνην Z om (GH)* [2] *ὅλως om Γ* ‖ *τι om Γ* ‖ *λαβὼν μ. ἑ. GH* ‖ *κομ.] ἔχων Z* ‖ *ἀλλ' ἢ] εἰ μὴ Γ* ‖ [2–3] *μ. τὸ τ. α. Γ* ‖ [3] *δέδωκε G(H) ἔδωκεν Z* ‖ *εἰπὼν Γ* ‖ [3–4] *ἤτω - μου] ἡ χάρις μου ἔστω μ. σοῦ Γ* ‖ [4–7] *ὅπου - αὐτῷ om Γ* ‖ [7] *δὲ] οὖν GH: cf Y* ‖ *ἐν τῷ πλοίῳ Γ* ‖ *κ. καθ. om Γ* ‖ [8] *ἐπερώτα Z ἠρώτισεν G ἔλεγεν H: cf 104, 7* ‖ *ὁ Ἀ.] ὁ ἔμπορος GH om Z* ‖ *λέγ. om GH* ‖ [9] *οἶδας] ἐν ξύλοις καὶ ποῖαν (ὁποίαν H) ἐν λίθοις add GH* ‖ *ὃ δὲ] καὶ ὁ H ἀποκριθεὶς add G θωμᾶς add H ἀπόστολος add Z* ‖ *λέγει Z: cf* ſ ‖ [10] *κ. τρ. om Z: cf 125, 5* ‖ *καὶ πλ.] al G om H* ‖ *ἱστ.] πιδάλια Z om GH: cf 125, 14* ‖ [11] *τροχιλέας HZ om G* ‖ *τε om Γ*

βασιλικά. Εἶπεν δὲ αὐτῷ ὁ Ἀββάνης ὁ ἔμπορος· Τοιούτου γὰρ καὶ χρείαν ἔχομεν τεχνίτου. Ἤρξαντο οὖν καταπλέειν· ἔσχον δὲ ἐπιτήδειον ἄνεμον, καὶ προθύμως ἔπλεον ἕως ὅτε
9 Th *κατήντησαν εἰς Ἀνδράπολιν, πόλιν βασιλικήν.*

4 *Ἐξελθόντες δὲ ἀπὸ τοῦ πλοίου εἰσήεσαν εἰς τὴν πόλιν.*
149 W *καὶ ἰδοὺ φωναὶ αὐλητῶν καὶ ὑδραύλεων καὶ σάλπιγγες περιη-*
5 B 193 T *χοῦσαι | αὐτούς· ἐξήταζεν δὲ ὁ ἀπόστολος λέγων· Τίς ἐστιν αὕτη ἡ ἑορτὴ ἡ ἐν τῇ πόλει ταύτῃ; Ἔλεγον δὲ αὐτῷ οἱ ἐκεῖ*

[1] *αὐτῷ om S: cf Γ* ‖ *ὁ prius om B. D. X. QR. SV: del?* ‖ *ὁ ἔμπ.* (ſ) *om C. F. P. S: cf Γ* ‖ [1–2] et ego quaerebam talem potissimum artificem ſ ‖ *τοι. γ. κ.] καγὼ τοι. T (recte? cf Γ et 125, 7; 15) τοι. καγὼ P. V* ‖ [2] *γ. κ. om S* ‖ *τεχ. χρ. ἔχω P* ‖ *ἔχω B. T (cf Γ) εἶχον V: cf* ſ ‖ *ἤρξατο A (cf Γ) ἀρξάμενοι P* ‖ [3] *ἔσχ. - ἄν.] καὶ αἰσίου αὐτοῖς πνεύσαντος ἀνέμου P: cf G* ‖ *ἔ. δὲ] καὶ ἔ. B. S* ‖ *καὶ - ὅτε om P* ‖ *ὅτε] οὗ X. V om S: cf Γ* ‖ [4] *ἀνδρόπολιν S ἀνδράπολιν Y. Q* Andranopolim p Sandaruk ſ *om* m: *cf Γ* ‖ *πόλ. om S* ‖ *βασ. om* ſ *περὶ τοῦ ῥαπίσαντος αὐτόν add PU: cf 124, 3* ‖ [5] *ἐξ. δὲ] ὡς δὲ ἀπέβησαν B* ‖ *δὲ] οὖν P* ‖ *ἀ. τ. πλ.] εἰς τὴν γῆν καὶ B* (ſ) de naui m p ‖ *εἰσήεισαν (uel -ιη- uel -είη-) A. UY. Q εἰσῆλθον P* ‖ [6] *κ. ἰδ. om B* audiebant ſ m et ecce p *αὐτοῖς ἠκούοντο add V* ‖ *φωνὴ D φωνῆς B* cantantium uoces p sonos m *ἤκουον add B: cf V* ſ *Γ* ‖ *αὐλ. - σάλπ.]* in organis in tibiis in cytharis p musicos m: *cf Γ* ‖ *αὐλ.] συρίγγων B: cf Γ* ‖ *κ. ὑδραύλων D. F om C. T* ‖ *σάλπιγγαι A. P σαλπίγγων C. V σάλπιγγας U αὐλούντων B* multos cantus ſ ‖ *περιηχούσας U περιήχουν CD. FX. PY. QR. S om B. V* ſ m p: *del?? cf Γ* ‖ [7] *αὐτοῖς C. F. X. P om B. V* ſ: *cf Γ* ‖ [7–8] *ἐξ. - ἐκεῖ] ὁ δὲ θωμᾶς ἠρώτα τὴν πρόφασιν τῆς καταπόλιν τέρψεως οἱ δὲ ἐρωτηθέντες ἀπεκρίναντο B: cf Γ* ‖ [7] *ἐξέταζεν R. S (cf 130, 5) ἠρῶτα T εἶπε D (cf H et 103, 8)* unum de populo *add* m ‖ *τί S: cf Γ* ‖ [8] *ἡ alt om CD. F. PUY. QR. SV (del??) οὖσα add T* ſ: *cf H* ‖ *οἱ ἐκεῖσε C. TX (cf 111, 2; 9; al) οἱ τῆς πόλεως P om* ſ: *cf Γ et 7* m

[1] *ε. - ἔ.] καὶ ὁ ἔ. ε. πρὸς αὐτὸν GH λέγει ὁ ἔ. Z* ‖ [1–2] *τ. γ. κ.] καγὼ τ. Γ* ‖ [2] *ἔχω Z ποιοῦμαι (GH): cf 125, 16* ‖ *ἤρξατο HZ: cf A* ‖ *κατ.] μετὰ προθυμίας add Γ* ‖ [3] *ἔ. - ἄν.] ἐπιτιδίου πνεύσαντος ἀνέμου G: cf P* ‖ *ἔ. δὲ] ἐσχηκότες HZ* ‖ *κ. πρ. ἔ. om Γ* ‖ *ὅτε] οὖν (l οὗ) Z (cf Δ) al G om H* ‖ [4] *κατήχθησαν GH* (ſ?) ‖ *Ἀ. π. β.] π. καλουμένην ἐναδρωχ (ἐναδόχ G ἐδρὸν Z) τῆς (περιχόρου add G) ἰνδίας (περίχωρον add H) Γ* ‖ *scr Σεναδρώχ?? cf Sylvain Lévi Journ Asiat IX (1897) p 31 Burkitt J of theol studies I (1900) p 288* ‖ [5]–124,[13] *ἐξελθ. - ἀμφότεροι om Z*

Γ = GH [5] *ἐξ. - εἰσή.] ἐμβάντων οὖν αὐτῶν Γ* ‖ *ἐν τῇ πόλει Γ* ‖ [6] *κ. ἰ.] ἤκουσαν Γ* ‖ *φ.] φωνῶν συρίγγων μουσικῶν Γ* ‖ *ὑδρ.] ὀργάνων Γ* ‖ [6–7] *κ. σ. π. α. om Γ* ‖ [7] *ἐξ. - ἀπ.] ὁ δὲ θωμᾶς ἐπυνθάνετο (ἠρώτα H) Γ* ‖ *τίς] τί ἄρα Γ* ‖ [8] *αὕτη ἡ ἑ. ἡ] ἡ χαρὰ τῶν φωνῶν καὶ ὀργάνων G ἡ κραυγὴ τῆς φωνῆς ταύτης τῆς οὔσης H* ‖ *ἔλ. - ἐκ.] λέγουσιν αὐτῷ Γ*

ὅτι Καὶ σὲ οἱ θεοὶ ἤγαγον ἵνα εὐωχηθῇς ἐν τῇ πόλει ταύτῃ. ὁ γὰρ βασιλεὺς θυγατέρα μονογενῆ ἔχει, καὶ νῦν αὐτὴν ἐκδίδωσιν ἀνδρὶ πρὸς γάμον· τῶν οὖν γάμων ἡ χαρὰ καὶ ἡ (10 Th) πανήγυρίς ἐστιν αὕτη σήμερον ἣν εἶδες ἑορτήν. ὁ δὲ βασιλεὺς κήρυκας ἀπέστειλεν κηρύξαι πανταχοῦ πάντας παρατυχεῖν εἰς τοὺς γάμους, πλουσίους τε καὶ πένητας, δούλους τε καὶ ἐλευθέρους, ξένους τε καὶ πολίτας· εἴ τις δὲ παραιτήσηται καὶ μὴ παρατύχῃ εἰς τοὺς γάμους, ὑπεύθυνος ἔσται τῷ βασιλεῖ. Ἀββάνης δὲ ἀκούσας εἶπεν τῷ ἀποστόλῳ· Ἀπέλθωμεν οὖν καὶ ἡμεῖς, ἵνα μὴ προσκρούσωμεν τῷ βασιλεῖ, καὶ μάλιστα ξένοι ὄντες. Ὁ δὲ εἶπεν· Ἀπέλθωμεν. Καταλύσαντες δὲ ἐν τῷ ξενοδοχείῳ καὶ ὀλίγον ἀναπαέντες ἀπῆλθον εἰς τοὺς γάμους.

[5] cf Matth 22, 3—14

[1] *ἐν τ. π. τ. ἵνα εὐ. U καὶ σὺ add P. S μεθ' ἡμῶν add B* ‖ *συνευωχηθῇς P. S εὐφρανθῇς B* ‖ *ἐν τ. π. τ. om B* ‖ [2] *ἔχ. μον. B. X* ‖ unicam m ſ ‖ *νῦν om B* hodie m: *cf H* ‖ *αὐτῇ P. R. V* ‖ [3] *πρ. γ. ἀ. Y* ‖ *ἀνδρὶ om F. Q. S: del?? cf Γ* ‖ *πρ. γ. om B: cf Γ* ‖ [4] *παν.] προσκύνησις PU* | *ἣν ἴδες σήμ. U* ‖ *ἣν ε. ἑ. om S(V)* ſ: *del? cf Γ* ‖ *ὁρᾷς P* ‖ [4–8] *ὁ δὲ - βασ. scriptori tribuunt* m p ‖ [5] *κήρ. ἀπ. om P* ‖ *κηρύττει P* ‖ *πανταχοῦ om B* ſ m p: *cf Γ* ‖ *πᾶσιν B. (CD) τοῦ add CD: cf Γ* ‖ *παραγενέσθαι S (cf 8) ἀπαντῆσαι B* ‖ [6] *τε prius om A. B. SV: cf G et 7; 103, 11* ‖ *τε alt om A. D. FT. SV: cf G* ‖ [7] *τε om B. D. V: cf G* ‖ *εἴ τ. δὲ] ὃς δ' ἂν V καὶ ὃς ἂν S: cf Γ* ‖ *παραιτήσεται R om S* ſ: *cf Γ* ‖ *καὶ om S* ſ: *cf Γ* ‖ [8] *παραγένηται S: cf 5 et Γ* ‖ [9] *Ἀ. - ἀπ.] ὁ δὲ ἔμπορος πρὸς τὸν θωμᾶν φησί B: cf Γ* ‖ *ἀμβάνης V (cf 101, 5)* mercator Habban ſ ‖ *ἀκ. om S* ſ haec cum audisset m: *cf GH* ‖ *λέγει R. S* dicit ſ: *cf Γ* ‖ *οὖν om B. C. S* ſ m: *del? cf Γ* ‖ [10] *κινδυνεύσωμεν B* male dicatur nobis ſ ‖ *τῷ β. om B* ſ ‖ [11] *ξ. ὄ.] ὅτι ξ. ἐσμὲν B* (ſ?) ‖ *ὃ - ἀπ. om B* ſ: *cf Γ* ‖ [11–12] *κ. δὲ - γάμ.] ὡς δὲ καταχθέντες εἰς πανδοχίον μικρὸν ἀνεπαύσαντο ἀπίησαν ἐπὶ τὴν ἑστίασιν B* (ſ) | [11] *κ. δὲ] καὶ κ. A* ‖ *δὲ om R* ‖ [12] *πανδοχίω (R)S* ‖ *μικρὸν V: cf Γ* | *ἀναπαυθέντες D ἀναπαύσαντες A (cf G) ἀναπαυσάμενοι T. V: cf H et 151, 12*

[1] *ὅτι - ταύτῃ om Γ* ‖ [2] *γὰρ om Γ* ‖ *μον. om H(G)* ‖ *νῦν] σήμερον H om (G)* ‖ *ἐκδέδωκεν G* ‖ [3] *πρ. γ. om H* ‖ *γάμ. οὖν H al G* ‖ [4] *αὕτη - ἑορτ. om Γ* ‖ [5] *πανταχοῦ κηρύσσειν (G) H* ‖ *π. παρ.] τοῦ ἐλθεῖν π. Γ* ‖ [6] *τε καὶ prius om G* ‖ *τε alt om G* ‖ [7] *ξ. - πολ. om Γ* ‖ *εἴ] ὅς Γ* ‖ *παραιτ. κ.] ἀκούσας Γ* ‖ [8] *παραγίνηται G παραγίνεται H* ‖ *εἰς τ. γ. om G* ‖ *ὑπόδικος G: cf 107, 1* ‖ *ἔστιν H γενήσεται G: cf 107, 1* ‖ [9] *Ἀβ. - ἀποστ.] λέγει οὖν ὁ ἔμπορος τῷ θωμᾷ (βασιλεῖ G) Γ: cf B* ‖ *οὖν om Γ* ‖ [10] *ἡμ.] εἰς τοὺς γάμους add Γ* ‖ [11] *ὃ δὲ ε. ἀπ. om Γ: cf B* ‖ *δὲ] οὖν Γ* ‖ [12] *μικρὸν Γ: cf V* ‖ *ἀναπαύσαντες G ἀναπαυσάμενοι H (cf Δ) πορευθῶμεν εἶτα add G δι' ἡμερῶν τριῶν add Γ* ‖ *ἤλθωμεν H ἐλθόντες G*

καὶ ἰδὼν ὁ ἀπόστολος ἀνακεκλιμένους πάντας ἀνεκλίθη καὶ
6 B *αὐτὸς ἐν τῷ μέσῳ· ἀπέβλεπον δὲ εἰς αὐτὸν πάντες ὡς | εἰς*
ξένον καὶ ἐξ ἀλλοδαπῆς ἐλθόντα γῆς· Ἀββάνης δὲ ὁ ἔμπορος
11 Th *ὡς ἅτε δεσπότης εἰς ἄλλον τόπον ἀνεκλίθη.*
5 *Δειπνησάντων δὲ αὐτῶν καὶ πιόντων ὁ ἀπόστολος*
οὐδενὸς ἐγεύσατο· οἱ οὖν περὶ αὐτὸν ὄντες ἔλεγον αὐτῷ· Τί
194 T *ἦλθες ἐνθάδε μήτε ἐσθίων μήτε πίνων; Ὁ δὲ ἀπεκρίνατο*
αὐτοῖς λέγων· Διὰ μεῖζόν τι τῆς βρώσεως ἢ καὶ τοῦ πότου
ἦλθον ἐνθάδε, καὶ ἵνα τὸ θέλημα τοῦ βασιλέως τελέσω. οἱ
γὰρ κήρυκες τὰ τοῦ βασιλέως κηρύσσουσιν, καὶ ὃς ἂν μὴ

[1–2] *κ. ἰδ. - μέσῳ] καὶ ὁ θωμᾶς ἐν ἑτέρω κατεκλίθη τόπω B* et recubuit Iudas in medio ʃ: *cf Γ et 4* ‖ [1] *κ. ἰδ. - πάντ.] ἀνακληθῆναι S* (ʃ?): *cf Γ* ‖ [1–2] *ἀν. κ. - μ.] ὁ δὲ ἀπόστολος μέσον πάντων ἀν. S: cf Γ* | [2] *εἰς τὸ μέσον CD πάντων add Y αὐτῶν add R: cf Γ* ‖ *π. δὲ ε. α. ἀπ. B* ‖ *εἰς alt] ἅτε S (cf 4) om A. B. R V: cf Γ* ‖ [3] *ξ.] ὄντα add S* ‖ *ἐξ] ὡς ἐξ X (cf H) ἀπὸ V ἀπ' S (cf Γ) om A. B* ‖ *γῆς ἐλθ. R χώρας ἐλθ. (ἐληλυθότα S) CD. S: cf Γ* ‖ *ἀφιγμένον B* ‖ *γῆς om B. V* ‖ *ὁ ἔμπ. om SV: cf Γ* ‖ [4] *ὡς - δ. om S: cf Γ* ‖ *ὡς ἅτε] ὁ τοῦ θωμὰ B αὐτοῦ ὡς ὢν R* eius ʃ: *scr ὁ αὐτοῦ???* ‖ *δεσπ.] αὐτοῦ add V: cf* ʃ ‖ *ἐν ἑτέρω κατεκλήθη τόπω B: cf 1* ‖ [5] *αὐτῶν] πάντων (B). S om V: cf Γ* ‖ *ἀπ.] θωμᾶς B: cf Γ* [6] *οὐδ.]* omnino *add* ʃ: *<ὅλως>?? cf Γ* ‖ *ἐγεύετο B* (ʃ?) ‖ *ὄντες] οὗτος A om T* ‖ *λέγουσιν P* ‖ *τί] σὺ τl T. S: cf Γ* ‖ [7] *ἐνταῦθα (B) (cf G) ὧδε T* [7–8] *ὃ - λ.] φησὶ πρὸς αὐτοὺς ὁ θωμᾶς B* ‖ [7] *ὃ δὲ] ὁ δὲ ἀπόστολος S* Iudas ʃ: *cf Γ* ‖ [8–9] *διὰ - ἐνθ.] ὅτι μοι ἄφιξις ἐνταῦθα γεγένηται δι' ἕτερόν τι πολλῶ μεῖζον τῆς τῶν σητείων τροφῆς B* ‖ [8] *διὰ] ἐγὼ οὐ διὰ S οὐ διὰ τὸ T: cf Γ* ‖ *μ. τι om S* ‖ *ἢ om TX. P. U. SV: cf Γ* ‖ *καὶ om C* ‖ *τοῦ] τῆς R. V om S* ‖ *πόσεως R. SV: cf G* ‖ [9] *καὶ] ἀλλ' T. R. S τῆς τοῦ βασιλέως ἀναπαύσεως add B* quietis regis causa *add* ʃ ‖ *ἵνα - τελ.] ὅπως πειθαρχῆσαι τοῦτο δόξω B* ‖ *πληρώσω R: cf Γ* ‖ [10] *γὰρ om P* ‖ *κηρύσσ. τὰ τ. β. A. V* ‖ [10–107,1] *τὰ - κρ.] βοῶσιν ἔγκλημα φέρεσθαι κατὰ τῶν ἀπειθούντων B* ‖ [10] *τὰ τ. β. om S* ʃ: *cf Γ* ‖ *τὰ] κατὰ R: del? cf* ʃ *Γ* ‖ *καὶ om* ʃ: *cf G*

[1–2] *κ. ἰδ. - μέσῳ] ὁ δὲ ἀπ. εἷς τῶν δώδεκα μέσον πάντων ἀνεκλ. H ἀνεκλ. ὁ ἀπ. μέσω πάντων τῶν ἀνακειμένων G* ‖ [2] *ἀπ. - α. π.] καὶ πάντες προσεῖχον αὐτῶ H καὶ πάντων οἱ ὀφθαλμοὶ ἦσαν ἀτενίζοντες εἰς αὐτὸν G* | *εἰς alt om Γ* ‖ [3] *ξένω Γ* ‖ *ἐξ] ἀπὸ G ὡς ἀπὸ H: cf X et SV* ‖ *ἀλλοτρίας Γ* | *γῆς ἐληλυθότι (GH) et add ἦν (om H) γὰρ καὶ (κ. γ. H) τῶ ἴδη ὡραῖος (ἦν add H) G(H): cf 111, 8* ‖ *Ἀ. δὲ ὁ] ὁ δὲ G καὶ ὁ H* ‖ [4] *ὡς - δ. om Γ: cf S* ‖ [5] *δὲ α.] οὖν πάντων Γ: cf Δ et 107, 2* ‖ *ἀπ.] θωμᾶς Γ: cf B* ‖ [6] *οὐδὲν ἐγ. ὅλως G οὐδὲ ὅλως ἐγ. H: cf* ʃ ‖ *π. α. ὄ.] συνανακείμενοι Γ* ‖ [6–7] *τί ἦ. ἐ.] σὺ τί ἦ. ἐ. H συγκλύσεις λοιπὸν ἐνταύθα G: cf B* ‖ [7] *μὴ ἐ. Γ* ‖ *μηδὲ π. Γ* ‖ *ὃ δὲ] καὶ ὁ ἀπόστολος Γ* ‖ [8] *αὐτοῖς om Γ* ‖ *μ. τι] τὸ μ. Γ: cf T* ‖ *ἢ om Γ* ‖ *τῆς πόσεως G: cf Δ* ‖ [9] *ἦ. ἐ.] παρεγενόμην G(H)* ‖ *ἵνα καὶ Γ* ‖ *πληρώσω Γ* ‖ [10] *τὰ om Γ: cf S* ʃ ‖ *κηρύσσ.] οἱ κηρύσσοντες G* ‖ *κ. ὃς] ὡς G: cf* ʃ

ἀκούσῃ τῶν κηρύκων ὑπόδικος ἔσται τῇ τοῦ βασιλέως κρίσει. 150 W
Δειπνησάντων οὖν αὐτῶν καὶ πιόντων, καὶ στεφάνων καὶ
μύρων προσενεχθέντων, λαβόντες μύρον ἕκαστος, ὃς μὲν τὴν
ὄψιν αὐτοῦ κατήλειφεν, ὃς δὲ τὸ γένειον, ὃς δὲ καὶ ἄλλους 12 Th
τόπους τοῦ σώματος αὐτοῦ· ὁ δὲ ἀπόστολος τὴν κορυφὴν
ἤλειψεν τῆς ἑαυτοῦ κεφαλῆς, καὶ ὀλίγον τι εἰς τοὺς μυκτῆρας
ἐπέχρισεν ἑαυτοῦ, κατέσταξεν δὲ καὶ εἰς τὰς ἀκοὰς τὰς ἑαυτοῦ,
προσῆπτε δὲ καὶ τοῖς ὀδοῦσιν | αὐτοῦ, καὶ τὰ περὶ τὴν καρδίαν 7 B
αὐτοῦ συνέχρισεν ἐπιμελῶς· καὶ τὸν στέφανον δὲ τὸν προ-
σενεχθέντα αὐτῷ ἐκ μυρσίνης καὶ ἄλλων ἀνθέων πεπλεγμένον
λαβὼν ἐπέθετο τῇ ἑαυτοῦ κεφαλῇ, κλάδον δὲ καλάμου ἔλαβεν

---

[1] τῶν] τῶ A ‖ [2] αὐτῶν om X. R. SV: cf G et 106, 5 ‖ πι.] εὐφραν-θέντων S: cf Γ ‖ στεφ.] placentis (? pomis?) ʃ (? cf Noeldeke ap Lipsium II 2 p 423) σταφίδων coni Burkitt J of theol studies I (1900) p 287 acute sed cf 9 ‖ [3] λαβὼν V ‖ ἕκ. μῦρον S ‖ μύρ///ων U om P. V ʃ ‖ ἑκάστου V om ʃ ‖ ὃς] καὶ οἱ B (ʃ?) ‖ [3–4] τὰς ὄψεις B (ʃ) ‖ [4] αὐτοῦ om B: cf Γ ‖ ἤλειφεν D. V (cf 147, 13 et Γ) ἐχρίοντο B ‖ prius ὃς] ὃν V οἱ B ‖ [4–5] ὃς δὲ κ. ἄ τ.] ἕτεροι δὲ τὰ ἄλλα μέρη B: cf Γ ‖ [5] τ. σ. α. om B ʃ: cf Γ ‖ ὁ δὲ ἀπ.] ἰοῦδας δὲ B Iudas autem laudabat deum et ʃ ‖ τ. κ.] τῆς κεφαλῆς τὸ μέσον B (ʃ): cf Γ ‖ [6] ἤλειφεν (P). SV ἡλήψατο B signabat ʃ: cf 9 ‖ τ. ἑ. κ.] τ. κ. αὐτοῦ S om B (F. Y. R) ‖ ἑ.] αὐτοῦ X. P(U?): cf 7 ‖ [6–7] ὀλ. - ἐπ. ἑ.] τὰς ῥίνας μικρὸν ὑπέχριεν B ‖ [6] τι] al T om P. SV ‖ [7] αὐτοῦ ἐπέχρ. P. S (R) om T ‖ ἑ. prius] αὐτοῦ F. (U?) V αὐτῶ X om D: scr <τοὺς> ἑαυτοῦ? cf 6; 7; 8 ‖ κατ. - ἑ.] ἐπείληφεν δὲ καὶ τὰ ὦτα B ‖ ἑ. ἀκ. R ‖ alt τὰς om F. UY. QR. SV: cf 6; 7; 11; 104, 8 ‖ αὐτοῦ D. F. SV: cf 8; 9 ‖ [8] πρ. - ὀδ. α. om TX ʃ ‖ πρ.] προσήλειψε προσείη τὲ A προσήπτετο S προσήλειψε D προσέφερεν B om P ‖ δὲ om P ‖ α.] ἑαυτοῦ C. F. UY. Q (cf 7) om B. P ‖ τὰ om B. T. R ‖ περὶ om B. R ‖ καρδ.] δὲ add X. UY. V ‖ [9] ἑαυτοῦ A. C (cf 7; 8) om B. V ‖ κατέβρεχεν B signauit ʃ: cf 6 ‖ ἐπ. om B ʃ ‖ κ. τ. om B: cf Γ ‖ δὲ om R. SV ‖ [9–10] τ. πρ. - ἐκ om B ‖ [10–11] καὶ - λαβ. om B ʃ: cf Γ ‖ [11] ἐπ. - κεφ.] ἐπὶ τῆς κεφαλῆς ἐπικείμενος B ‖ ἐπέθηκεν (D.) T. P ‖ [11–108, 1] κλ. - καὶ] καὶ τῇ χ. φύλον καλ. B ‖ [11] κλ. δὲ] καὶ κλ. P. S: cf H

[1] τ. κηρ. om Γ ‖ ὑπεύθυνος Γ: cf 105, 8 ‖ ἐστὶν H γένοιται G: cf 105, 8 ‖ κρ.] τοῦτο δὲ ἔλεγεν ὑπὲρ τῆς πίστεως τοῦ κηρύγματος add G(H) ‖ [2] αὐτῶν om G πάντων add Γ: cf 106, 5 ‖ πι.] εὐφρανθέντων Γ: cf S ‖ [3] λ. μ. ἕκ. om Γ ‖ ὁ H ‖ μὲν] λαβὼν add Γ ‖ [3–4] κατ. τ. ὄ. (om αὐτοῦ: cf B) G(H) ‖ [4] ὃς δὲ καὶ] ἕτερος δὲ G ἕτεροι H: cf B ‖ [5] τ. σ α. om Γ*: cf B ʃ ‖ τ. κορ.] μέσον Γ*: cf B ʃ ‖ [6] τ: κεφ. ἤλ. (om ἑ.) Γ ‖ ὀλ. τι] εἰς τὴν καρδίαν καὶ (G)H: cf 8 ‖ [7–9] ἑ. κατ. - ἐπιμ. om Γ ‖ [9] τὸν prius om Γ ‖ [9–10] δὲ - αὐτῷ om Γ ‖ [10] ἐκ μ.] μύρσινον Γ ‖ [10–11] καὶ - λαβ. om Γ* ‖ [11] ἐπὶ τὴν κεφαλὴν αὐτοῦ (om G) ἐπιθεὶς Γ κατεῖχε add G (cf 108, 1) καθὼς πάντες add Γ ‖ [11–108, 1] κλ. - κατ.] καὶ καλαμον ἐν τ. χ. α. κατ. H om G: cf 11

ἐν τῇ χειρὶ αὐτοῦ καὶ κατεῖχεν. ἡ δὲ αὐλήτρια κατέχουσα ἐν τῇ χειρὶ αὐτῆς τοὺς αὐλοὺς περιήρχετο πάντας καὶ ηὔλει· ὅτε δὲ ἦλθεν καθ' ὃν τόπον ἦν ὁ ἀπόστολος, ἔστη ἐπάνω αὐτοῦ καταυλοῦσα πρὸς τὴν κεφαλὴν αὐτοῦ ὥραν πολλήν. ἦν δὲ Ἑβραία τῷ γένει ἡ αὐλήτρια ἐκείνη.

195 T 6 *Τοῦ δὲ ἀποστόλου εἰς τὴν γῆν ἀφορῶντος εἷς τις τῶν οἰνοχόων ἐκτείνας τὴν χεῖρα αὐτοῦ ἐράπισεν αὐτόν. ἐπάρας δὲ ὁ ἀπόστολος τοὺς ὀφθαλμοὺς αὐτοῦ καὶ προσσχὼν τῷ τύψαντι αὐτὸν εἶπεν· Ὁ θεός μου ἀφήσει σοι εἰς τὸν μέλλοντα αἰῶνα τὴν ἀδικίαν ταύτην, εἰς δὲ τὸν κόσμον τοῦτον δείξει αὐτοῦ τὰ θαυμάσια, καὶ θεάσομαι ἤδη τὴν χεῖρα ἐκείνην τὴν τύψασάν με ὑπὸ κυνῶν συρομένην. Καὶ εἰπὼν ταῦτα ἤρξατο ψάλλειν καὶ λέγειν τὴν ᾠδὴν ταύτην·* |

ἦν δὲ ἐκεῖ ἡ αὐλήτρια περιερχομένη πάντας τοὺς ἑστιάτορας, ἥτις πλησίον τοῦ ἀποστόλου ἐλθοῦσα ἔστη αὐλοῦσα πρὸς τὴν τούτου κεφαλήν.

6 *Αὐτοῦ δὲ εἰς τὴν γῆν ἀφορῶντος εἷς τῶν οἰνοχόων ἐκτείνας τὴν χεῖρα ἐράπισεν αὐτόν. ἐμβλέψας δὲ εἰς αὐτὸν λέγει· Ὁ κύριός μου ἀφήσει σοι τὴν ἁμαρτίαν εἰς τὸν μέλλοντα*

[1] *κ. κ. om* ʃ

Δ = A. Φ (Φ = CD. FTX. PUY. QR. SV) [1] *ἡ om* ʃ: *cf B et Burkitt J of theol studies I (1900) p 282* ‖ *αὐλήστρια V constanter (cf 5 et Γ)* quae erat in medio coetu *add* ʃ: *cf 15* ‖ [1–2] *τ. αὐλ. ante ἐν P* ‖ [2] *πάντ.] τοὺς ἑστιάτορας add P. V: cf Γ* ‖ *κ. ηὔλ. om A* ʃ unicuique quasi laudem canebat p: *del?? cf 14; 111, 6; 17* ‖ [3] *ὁ ἀπ. ἦν U ὁ ἀπ. ἐκαθέζετο P* ‖ *ἐπ. α. om S* ‖ [4] *αὐλοῦσα S (cf Γ et 147, 13) certe melius* ‖ [4] *τῇ κεφαλῇ F. U. S* ‖ *ὥρ. π. om* ʃ ‖ [6] *τ. δὲ ἀπ.]* et cum diu stetisset supra eum Iudas non tollebat uoltum ʃ ‖ *ἀφ.] καὶ μὴ ἀνανεύοντος add V: cf* ʃ ‖ *τις om T. V: cf 18* ‖ [7] *αὐτοῦ τ. χ. S* ‖ *αὐτοῦ om TX. V* ‖ *χεῖραν R: cf 112, 5; 113, 5* ‖ *ἔδωκε ῥάπισμα P* ‖ *αὐτὸν] τῷ ἀποστόλῳ P* ‖ [7–8] *ἐπ. - καὶ]* et Iudas ʃ ‖ [8] *προσέχων A* ‖ [8–9] *τ. τ. α.]* eum ʃ ‖ [9–10] *τ. ἁμαρτίαν ταύτ. ε. τ. μ. αἰ. R: cf 19* ‖ [10] *τοῦτ. τ. κ. SV: cf B* ‖ [11] *θαύματα A. F. Y: cf 109, 16; 151, 3; c 69m; 104m; 141m; et 150e; 152, 9 (c 78e?)* ‖ *ἤδη] ἰδεῖν A νῦν V om R. S* ‖ *χεῖρα in ras x χεῖραν A. V* ‖ *ἐκ. om P. R. V* ‖ [12] *κυνὸς A. D. X. SV* (ʃ) *κύνου R* canibus p: *cf 109, 17; 113, 5; 14* ‖ *ταῦτα εἰπ. P* ‖ [13] *καὶ - ταύτην] ἑβραϊστῇ SV: cf Γ* ‖ *κ. λ. om* ʃ

Γ = BGH [14] *ἡ om B: del?? cf Δ* ‖ *αὐλήστρια G αὐλίστρια H constanter fere: cf 111, 16 et Δ* ‖ [15] *ἔ. α.] ηὔλη GH: cf Δ* ‖ [16] *αὐτοῦ H: cf Δ* ‖ [18] *αὐτ. alt] ὁ ἀπόστολος add B: cf Δ* ‖ [19] *λ.] αὐτῷ add B* ‖ *τ. ἁμ. om B*

Η κόρη τοῦ φωτὸς θυγάτηρ, ᾗ ἐνέστηκε καὶ ἔγκειται τὸ 8 B 13 Th
ἀπαύγασμα τῶν βασιλέων τὸ γαῦρον, καὶ ἐπιτερπὲς ταύτης τὸ θέαμα, φαιδρῷ κάλλει καταυγάζουσα· ἧς τὰ ἐνδύματα ἔοικεν ἐαρινοῖς ἄνθεσιν, ἀποφορὰ δὲ εὐωδίας ἐξ αὐτῶν διαδίδοται· καὶ ἐν τῇ κορυφῇ ἵδρυται ὁ βασιλεύς, τρέφων τῇ ἑαυτοῦ ἀμβροσίᾳ τοὺς ἐπ' αὐτὸν ἱδρυμένους· ἔγκειται δὲ ταύτης τῇ κεφαλῇ ἀλήθεια, χαρὰν δὲ τοῖς ποσὶν αὐτῆς ἐμφαίνει· 151 W
ἧς τὸ στόμα ἀνέῳκται καὶ πρεπόντως αὐτῇ· τριάκοντα καὶ δύο εἰσὶν οἱ ταύτην ὑμνολογοῦντες· ἧς ἡ γλῶττα παραπετάσματι ἔοικεν τῆς θύρας ὃ ἐκτινάσσεται τοῖς εἰσιοῦσιν· ἧς ὁ αὐχὴν εἰς τύπον βαθμῶν ἔγκειται ὧν ὁ πρῶτος δημιουργὸς ἐδημιούργησεν, αἱ δὲ δύο αὐτῆς χεῖρες σημαίνουσιν καὶ ὑποδεικνύουσιν τὸν χορὸν 196 T
τῶν εὐδαιμόνων αἰώνων κηρύσσοντες, οἱ δὲ δάκτυλοι αὐτῆς τὰς πύλας τῆς πόλεως ὑποδεικνύουσιν· ἧς ὁ παστὸς φωτεινός, ἀποφορὰν ἀπὸ βαλσάμου καὶ παντὸς ἀρώματος διαπνέων,

---

αἰῶνα, εἰς τὸν νῦν δὲ κόσμον δείξει θαυμάσια εἰς ἐκείνην τὴν χεῖρα τὴν τύψασάν με, καὶ ἴδω αὐτὴν ὑπὸ κυνὸς συρομένην. Καὶ ἤρξατο ψάλλειν ἑβραϊστὶ ἐπὶ ὥραν μίαν.

---

[1]–110,[20] *ἡ κ. - σοφ. om SV*

Δ = A. Φ (Φ = CD. FTX. PUY. QR) [1] *κορυφὴ X. R* ecclesia mea ſ *ἡ add P* ‖ *φ.] ἡ add CD. FTX. U. QR* ‖ *θύγατερ P* ‖ *ἧ - ἔγκ.]* cuius est ſ ‖ *ἐν. κ. om T: del?? cf 12* ‖ *ἐνέστη X. UY. Q ἔνεστη P ἔνεστι D* (*recte??*) *ἔστιν* (*C*). *R αἰνετὴ F om T* ‖ [2]–110,[20] *τὸ γ. - σοφ.] καὶ τὰ ἑξῆς T*

Δ = A. Φ (Φ = CD. FX. PUY. QR) [2] *del τὸ et scr βασιλέων· γαῦρον καὶ?* (ſ) ‖ *ταύτης om P* ‖ [3] *κάλη κατακλύζουσα A* benefactis ornata (?) ſ [4] *ἐαρ. om* ſ ‖ [5] *τὴν ἑ. ἀμβροσίαν A om* ſ: *cf 110, 17* ‖ [6] *ἐπ' α.] ἑαυτῷ P* ‖ *ὑπ' X* (ſ): *idem coni Vsener recte ut uid* ‖ *αὐτῆς C. R* ‖ [7] *χαρὰ R* (ſ) ‖ in pedibus eius uersatur ſ ‖ [8] *ἠνέωκται R* (*euan Q*) ‖ *κ. πρ.]* et decet ſ ‖ *καὶ prius om A. R: del??* ‖ *αὐτῇ om CD. R* quo (*? Wright:* ut *uel* quoniam *Lipsius*) omnes laudes edit *add* ſ *ἧ λειτουργοῦσιν λευχημονοῦντες ἄγγελοι add C: cf Lipsius I p 306 aliquid certe intercidisse uid* ‖ [8]–110,[19] *τριάκ. - ἐπιθ. om C*

Δ = A. Φ (Φ = D. FX. PUY. QR) [8–9] *τριάκ. - ὑμν.]* XII apostoli filii et LXXII tonant in ea ſ ‖ [9] *ἧς] ς A ὧ ante ς add a* ‖ [10] *ὃ] ἕως A* ‖ *ἐ. τ. ε.]* sacerdos tollit et intrat ſ ‖ *ἐκτινάσις A* ‖ *ἰοῦσιν A. Y* ‖ [10–11] *εἰς - ἔγκ.]* sunt scalae arduae ſ ‖ [10] *ἧς ὁ α.] om cum lacuna A* ‖ [11] *βαθμοῦ R* ‖ *ἔγκ. num sanum? cf 1* ‖ *ὃν A. D. X. PUY. Q* quas ſ ‖ *ὁ om D. FX. PUY. QR* ‖ *αἱ] ἡ A* ‖ [12] *σημ. κ. om* ſ: *del?? cf 1; 149, 18* ‖ [12–13] *χ. - αἰ.]* locum uitae ſ ‖ *scr χῶρον? cf c 54 e* (*bis*) ‖ [13] *κηρύσσουσαι A* (*recte? cf 115, 15; c 64 m P ter; 116 i; al*) *om* ſ: *del?* ‖ *δὲ* <*δέκα*>*?* (ſ) ‖ [14] *τ. πόλ.]* caeli ſ | *ὑποδείκνυσιν F. U* ‖ [15] *ἀποφ. - διαπ. om* ſ ‖ *ἀ. β.] ἀποβάλλουσα μου P*

[16] *δὲ τὸν* (*om νῦν*) *B* ‖ *δὲ νῦν G* ‖ *κ.] τοῦτον add B: cf Δ*

14 Th ἀναδιδούς τε ὀσμὴν ἡδεῖαν σμύρνης τε καὶ φύλλον, ὑπέστρων-
ται δὲ ἐντὸς μυρσίναι καὶ ἀνθέων παμπόλλων ἡδυπνόων, αἱ
15 Th 7 δὲ κλειστάδες ἐν καλάμοις κεκόσμηνται. 7 περιεστοιχισμένην
δὲ αὐτὴν ἔχουσιν οἱ ταύτης νυμφίοι, ὧν ὁ ἀριθμὸς ἕβδομός
ἐστιν, οὓς αὐτὴ ἐξελέξατο· αἱ δὲ ταύτης παράνυμφοί εἰσιν
16 Th ἑπτά, αἳ ἔμπροσθεν αὐτῆς χορεύουσιν· δώδεκα δέ εἰσιν τὸν
ἀριθμὸν οἱ ἔμπροσθεν αὐτῆς ὑπηρετοῦντες καὶ αὐτῇ ὑποκεί-
μενοι, τὸν σκοπὸν καὶ τὸ θέαμα εἰς τὸν νυμφίον ἔχοντες, ἵνα
διὰ τοῦ θεάματος αὐτοῦ φωτισθῶσιν· καὶ εἰς τὸν αἰῶνα
σὺν αὐτῷ ἔσονται εἰς ἐκείνην τὴν χαρὰν τὴν αἰώνιον, καὶ
ἔσονται ἐν τῷ γάμῳ ἐκείνῳ ἐν ᾧ οἱ μεγιστᾶνες συναθροίζονται,
καὶ παραμενοῦσιν τῇ εὐωχίᾳ ἧς οἱ αἰώνιοι καταξιοῦνται, καὶ
ἐνδύσονται βασιλικὰ ἐνδύματα καὶ ἀμφιάσονται στολὰς λαμ-
πράς, καὶ ἐν χαρᾷ καὶ ἀγαλλιάσει ἔσονται ἀμφότεροι, καὶ
δοξάσουσι τὸν πατέρα τῶν ὅλων· οὗ τὸ φῶς τὸ γαῦρον ἐδέ-
ξαντο, καὶ ἐφωτίσθησαν ἐν τῇ θέᾳ τοῦ δεσπότου αὐτῶν, οὗ
152 W τὴν ἀμβροσίαν βρῶσιν ἐδέξαντο μηδὲν ὅλως ἀπουσίαν ἔχουσαν,
9 B ἔπιον δὲ καὶ ἀπὸ | τοῦ οἴνου τοῦ μὴ δίψαν αὐτοῖς παρέχοντος
17 Th καὶ ἐπιθυμίαν· ἐδόξασαν δὲ καὶ ὕμνησαν σὺν τῷ ζῶντι πνεύ-
ματι τὸν πατέρα τῆς ἀληθείας καὶ τὴν μητέρα τῆς σοφίας.

[1] *ἰδίαν A. F. P. Q ἡδίων X* || *σμ. - φ.*] salutis ʃ || *ὑπέστρωται F. PY. Q* (ʃ) || [2] *μυρσ. - ἡδ.*] turibulum, amore et fide et spe omnia oblectantibus; intus ueritas in humilitate ʃ || *μιρσύνες A* || *ἄνθη D: aliquid intercidisse uid uelut στέμματα* || *πολλῶν U. R πάμπολλα D* || *ἡδύπνοα D* || *αἱ*] *ἐν A* || [3] *κεστάδες A κλεὶς D* ianuae ʃ *παστάδες Thilone auctore Tischendorf recte ut uid: etiam κλισιάδες coni Thilo* || *καλάμω A* ueritate ʃ *θαλάμῳ uel (seruato κλεῖς) καλάθῳ coni Thilo* || *κεκόσμηται P* || [4] *παρανύμφιοι* (ʃ) *coni Thilo recte ut uid: an scr παράνυμφοι? cf 115, 13; 15* [4–5] *ὧν ὁ ἀ. ἕ. ἐ. om* ʃ || [5] *οἱ FX. PUY. QR* || *αὐτῆς D. F. R* || [5–6] *ε. ἑ. om* ʃ || [6] *αἳ Thilo recte* || *δώδ.*] uiui ʃ (*Wright, Lipsius:* uita *Noeldeke*) || *δέ om FX. PY. Q* || [6–7] *τ. ἀ. οἱ om* ʃ || [7] *αὐτῇ*] *αὐτοὶ D. X. Y. R* || *ὑποκ.*] *ὑπομένουσιν R (euan Q)* || [8] *τὸ om A* || *θέλημα U corr u (U?)* || [9] *θαύματος D* gloria ʃ: *cf 16* || [10] *χ.*] regnum ʃ || *αἰωνίαν A: cf c 76 m* || [11] *ἔσθονται P καθήσονται D* || *ἐν prius om P* || *γάμῳ*] gloria ʃ || [12] *παραμένουσιν A. (X.) P. (QR)* || *ἧς - κατ.*] in quam quidam intrant ʃ || *ἧς*] *οἷς A* || *αἱ A?* || [13] *βασ. ἐνδ.* (gloriam domini sui) *et στ. λ. permutat* ʃ || [14] *καὶ - ἀμφ. om* ʃ || *ἀγ.*] *ἐν ἀγ. UY. Q* || [15] *δοξάζουσι FX* || *τ. ὅλ.*] uiuum ʃ || *τὸ prius*] *τοτο A* || *τὸν σταυρὸν ἐδέξατο A* || [16–17] *κ. ἐφ. - ἐδέξ. om F. R* || [16] *θέᾳ*] *αὐτοῦ add D* || [17] *ἀμβ. om* ʃ: *cf 109, 5* || *ἐδέξατο A* || *μηδεμίαν D: scr μηδὲ? cf 103, 2* || *ἀπ.*] excrementum ʃ || [18] *οἴνου*] uita ʃ || *μὴ om* ʃ: *del??* || *ἐπάγοντος D* || [19] *ἐπεθυμίαν A σαρκός add D. FX. PUY. QR*

Δ = A. Φ (Φ = CD. FX. PUY. QR) [19] *δὲ om A* || [19–20] *κ. ὕ. - σοφ.*] patrem dominum omnium et unicum filium eius et laudauerunt spiritum, sapientiam eius ʃ

8 *Καὶ ὅτε ὕμνησεν καὶ ἐτέλεσεν τὴν ᾠδὴν ταύτην, πάντες
οἱ ἐκεῖ παρόντες εἰς αὐτὸν ἀπέβλεπον· καὶ ἡσύχαζεν· ἀπέβλεπον
δὲ καὶ τὸ εἶδος αὐτοῦ ἐναλλαγέν, τὰ δὲ ὑπ' αὐτοῦ λεχθέντα* 197 T
*οὐκ ἐνόουν, ἐπειδὴ αὐτὸς Ἑβραῖος ἦν καὶ τὰ λεχθέντα ὑπ' αὐτοῦ
ἑβραϊστὶ ἐλέχθη· ἡ δὲ αὐλήτρια πάντα ἤκουσεν μόνη, Ἑβραία
γὰρ ἦν τῷ γένει· καὶ ἀποστᾶσα ἀπ' αὐτοῦ ηὔλει τοῖς ἄλλοις,
εἰς αὐτὸν δὲ τὰ πολλὰ ἀφεώρα καὶ ἀπέβλεπεν· πάνυ γὰρ
ἠγάπησεν αὐτὸν ὡς ἄνθρωπον ὁμόεθνον αὐτῆς· ἦν δὲ καὶ τῇ
ἰδέᾳ ὡραῖος ὑπὲρ πάντας τοὺς ἐκεῖσε ὄντας. καὶ ὅτε ἐτέλεσεν
ἡ αὐλήτρια πάντας καὶ αὐλήσασα, ἄντικρυς αὐτοῦ ἐκαθέσθη,
ἀφορῶσα καὶ ἀτενίζουσα εἰς αὐτόν· αὐτὸς δὲ ὅλως εἰς οὐδένα* 18 Th
*ἀφεώρα οὐδὲ προσεῖχέν τινι, εἰ μὴ μόνον εἰς τὴν γῆν ἔχων
τοὺς ὀφθαλμοὺς αὐτοῦ προσεῖχεν, προσδεχόμενος πότε ἀνα-*

---

8 *Καὶ ὅτε ἐπαύσατο πάντες οἱ ἐκεῖ παρόντες ἠτένιζον εἰς αὐτόν, μὴ εἰδόντες ἅπερ ἐλάλει· καὶ ἔβλεπον τὸ εἶδος αὐτοῦ ἐνηλλαγμένον ἐν ἑτέρᾳ μορφῇ. ἡ δὲ αὐλήτρια Ἑβραία οὖσα τῷ γένει πάντα ἤκουεν· καὶ ἀποστᾶσα ἀπ' αὐτοῦ ἄλλοις ηὔλει. ὁ*

52 (49) Ταῦτα ὁ ἀπόστολος ἀκούσας εἶπεν· Ὦ μανιώδης μεῖξις, πῶς εἰς ἀναισχυντίας χωρεῖς; ὦ ἐπιθυμία ἀκατάσχετε, πῶς τοῦτον ἐκίνησας ταῦτα ποιῆσαι; ὦ ἔργον ὄφεως, πῶς ἐν
192 W τοῖς σοῖς ὀργίζῃ; Ἐκέλευσεν δὲ ὁ ἀπόστολος ὕδωρ αὐτῷ προσενεχθῆναι ἐν λεκάνῃ. τοῦ δὲ ὕδατος προσενεχθέντος εἶπεν· Ἔλθετε τὰ ὕδατα ἀπὸ τῶν ὑδάτων τῶν ζώντων, τὰ ὄντα ἀπὸ τῶν ὄντων καὶ ἀποσταλέντα ἡμῖν· ἡ ἀνάπαυσις ἡ ἀπὸ τῆς ἀναπαύσεως ἀποσταλεῖσα ἡμῖν, ἡ δύναμις τῆς σωτηρίας ἡ ἀπὸ τῆς δυνάμεως ἐκείνης ἐρχομένη τῆς τὰ πάντα νικώσης καὶ ὑποτασσούσης τῷ ἰδίῳ θελήματι, ἐλθὲ καὶ σκήνωσον ἐν τοῖς ὕδασι τούτοις, ἵνα τὸ χάρισμα τοῦ ἁγίου πνεύματος τελείως ἐν αὐτοῖς τελειωθῇ. Καὶ εἶπεν τῷ νεωτέρῳ· Ἄπελθε, νίψαι σου τὰς χεῖρας ἐν τοῖς ὕδασι τούτοις. Καὶ νιψαμένου

---

1 *κ. π. - ζ. κ.*] ueritatem quam loqueris et fidem dei quem nuntias et noram in ueritate te esse apostolum dei ſ ‖ 1–2 *πρ. κ.*] ego quoque ſ ‖ 3 *ὅς ἐ.* (ſ)] *ὅτι ἐ. τις P* ‖ *τῇ om D* (ſ?): *del?? cf 161, 1* ‖ *μάλ.*] *δὲ add V: cf 190, 5; c 154e* ‖ 4 *ἔχει V* ſ ‖ *ὃν Π* ‖ *κηρύσσεις* (*PU*)*V: cf 1* ‖ 5 *πάνυ om* ſ ‖ *ἠγάπων UV*(*Y*) ‖ *ἔπ.*] *παρεκάλουν P* ‖ *ἵνα om P* ‖ *σύνοικόν P* ‖ 6 *μου Π: cf 140, 15* ‖ *γενήσεται D* (*cf 114, 3*) *γενέσθαι P* ‖ *καθ.*] *non nulla add* ſ ‖ *ἣν σὺ α.*] *καθὰ καὶ σὺ P: cf c 154m* ‖ 7 *διδ.*] *ἡμᾶς add P* ‖ 8 *λ. ξ.*] cubui cum ea et ſ ‖ *α. ὁρ.*] *βλέπειν α. D* ‖ 9 *μετα U* ‖ aliis misceri ſ ‖ 10 *ὁ δὲ ἀπ. ἀκ. τ. V* ‖ *ἀκ. ὁ ἀπ. D* ‖ 10–13 *ὦ - ὀργ.*] *partim al et paulo plura* ſ ‖ 11 *ἀκατάσχετος P Thilo: recte??* ‖ 12 *ὦ ἔ. ὄ. πῶς τ. ἐ. τ. π. U* ‖ 12 *πῶς prius*] *ἡ P* ‖ *κινήσασα P ἐνίκησας D* ‖ *ὄφ.*] fraudis ſ ‖ 13 *ὕδατα V: cf 15* ‖ 14 *τ. δὲ - πρ.*] et attulerunt aquam ut super eam precaretur et laudauit et benedixit et ſ ‖ 15 *ἐλθέτω D om* ſ: *del??* ‖ *ὕδ.*] aqua quae data es ſ ‖ 15–16 *τὰ ὄ. - ἡμ.*] *al* ſ: *cf Lipsius I p 333* ‖ 16 *scr καὶ ἀπὸ τ. ὄ.?* ‖ *ἡ ἀν. om D:* gratia ſ ‖ 17 *τῆς om D* ‖ *ἡμ.*] *πηγὴ add D* ‖ 17–19 *ἡ δ. - θελ.*] *al* ſ ‖ 19 *σκ.*] *ἐνσκήνωσον P οἴκησον U: cf 165, 5; 203, 7* ‖ 20 *τούτ.*] *τοῖς σοῖς P* ‖ 20–21 *ἵνα - α. τελ.*] *al* ſ ‖ 20 *τὰ χαρίσματα U* ‖ 21 *αὐτῷ V* uobis ſ ‖ *εἰσεικισθῇ* (*l εἰσοικισθῇ*) *V τελειωθῶ Thilo* ‖ 22–169, 1 *νιψ. α.*] *ἅμα τῷ νίψασθαι αὐτὸν P*

αὐτοῦ κατεστάθησαν, καὶ εἶπεν αὐτῷ ὁ ἀπόστολος· Πιστεύεις εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ὅτι πάντα δύναται ποιῆσαι; Ὁ δὲ εἶπεν· Εἰ καὶ ἐλάχιστος τυγχάνω, πιστεύω. ἀλλὰ τοῦτο διεπραξάμην οἰόμενός τι καλὸν ποιεῖν· ἐδεόμην γὰρ αὐτῆς, ὥσπερ καὶ εἶπόν σοι, ἡ δὲ οὐκ ἠβουλήθη πεισθῆναί [229 T] μοι ἵνα ἑαυτὴν φυλάξῃ ἁγνήν. | [69 Th]

53 (50) Εἶπεν δὲ αὐτῷ ὁ ἀπόστολος· Δεῦρο ἀπέλθωμεν [38 B] εἰς τὸ πανδοχεῖον ὅπου τοῦτο τὸ ἔργον διεπράξω, καὶ ἴδωμεν τὸ γεγονός. Προηγεῖτο δὲ ὁ νεώτερος τοῦ ἀποστόλου εἰς τὴν ὁδόν· γενόμενοι δὲ ἐν τῷ πανδοχείῳ εὗρον αὐτὴν κειμένην. ἰδὼν δὲ αὐτὴν ὁ ἀπόστολος ἠθύμησεν· κόρη γὰρ ἦν εὔμορφος. καὶ ἐκέλευσεν αὐτὴν ἐνεχθῆναι ἐν τῷ μέσῳ τοῦ ξενοδοχείου. ἐπιθέντες δὲ αὐτὴν εἰς κράββατον ἐξήνεγκαν καὶ ἔθηκαν εἰς [193 W] τὸ μέσον τῆς αὐλῆς τοῦ πανδοχείου. ἐπέθηκεν δὲ αὐτῇ τὴν χεῖρα αὐτοῦ ὁ ἀπόστολος καὶ ἤρξατο λέγειν· Ἰησοῦ, ὃς πάντοτε φαίνῃ ἡμῖν, τοῦτο γὰρ βούλει, ἡμᾶς πάντοτε σὲ ἐπιζητεῖν, καὶ αὐτὸς ἡμῖν ἔδωκας ταύτην τὴν ἐξουσίαν τοῦ αἰτεῖσθαι καὶ λαμβάνειν, καὶ οὐ μόνον τοῦτο ἐπέτρεψας, ἀλλὰ καὶ τὸ εὔξασθαι ἡμᾶς ἐδίδαξας· ὁ οὐχ ὁρώμενος παρὰ τοῖς σωματικοῖς ὀφθαλμοῖς, τοῖς δὲ τῆς ψυχῆς ἡμῶν οὐδ' ὅλως ἀποκρυπτόμενος, καὶ τῇ μὲν ἰδέᾳ ἀπόκρυφος, τοῖς δὲ ἔργοις φανε-

17 cf Matth 7, 8 || 18 cf Matth 6, 9

1 *κατεστ.*] *εὐθέως ἰάθησαν καὶ ἀπεκατεστάθησαν ὑγιὴς ὡς τὸ πρότερον V καὶ ἐγένετο ὑγιὴς add P* factae sunt ut erant ante quam exaruerant ſ || 3 *εἰ - τ. om* ſ || *τυγχ.*] *εἰμι P* || *π. ἀ.*] non careo fide: immo quia credebam deo ſ || 4 *τι*] *ποτε add P* || *καλὸν om U* || *ποιῶν P* || 5 *καθάπερ P* || *ἠβουλήθην P ἐβουλήθη V* || 6 *ἁγν.*] propterea feci sic *add* ſ | 7 *αὐτῷ om U* || 8 *τοῦτο*] *καὶ P: cf 227, 22* || 8–9 *καὶ - γεγ. om* ſ || 9–10 *ε. τ. ὁ. om* ſ || 10 *αὐτ.*] mulierem ſ || *κειμ.*] mortuam ſ *νεκρὰν add P(V): cf 170, 9* || 11 *εὔμ. om* ſ || 12 *καὶ*] *πάνυ εἶτα V* || *αὐτ.*] tolli et *add* ſ || 13–14 *ἐπ. - πανδ.*] ubi attulerunt eam et posuerunt in lecto ſ || 13 *ἐν κραββάτῳ D* || *κράβαττον V* || 13–14 *ἐν τῷ μέσῳ D* || 14 *αὐτῇ om PUY* || 14–15 *ὁ ἀπ. τ. χ. α. D* || *τ. χ. α. in mg. U* || 15 *αὐτ.*] *ἐπ' αὐτὴν add P* || *ἤρξ.*] *εὔχεσθαι καὶ add V: cf 163, 21* || *λέγ.*] *οὕτως add V: cf 171, 14; c 156 i; al* || *Ἰ.*] *ἐπάκουσον ἡμῶν καὶ add Y* || 15–170,8 *ὃς - ἵνα*] *om Y*

D. Π (Π = PUV) 15–16 *ὃς - ἐπιζ.*] *al* ſ || 15 *ὡς D. PU ὁ V* || 16 *φ.*] *ὁρᾶν οἶδας P (cf 139, 4) ἐπακούεις V* || *ἡμῖν*] *ἡμᾶς P* || *τοῦτο*] *ἐπιτοῦτο P* || *ἐπιζ. β. ἡμ. (om π. σε) P* || *πάντ. β. ἡμ. D* || *πάντ. del?* || 17 *αἰτ.*] *σε add Π* || 18 *κ. λ. om* ſ || *τὸ*] *τοῦ PU* || 19 *ὁ om PU* || *οὐ π. τ. σωμ. ἡμῶν (cf 20) ὁρ. P* || *scr παρ' <ἡμῶν>?* (ſ) || 20 *ὀφθ.*] nostris *add* ſ || *μηδ' P* || *ἀπ.*] recedens ſ || 21 *τ. δὲ ἔ.*] gratia tua et operum administratione ſ || 21–170,1 *ἡμ. φαν. P*

ρούμενος ἡμῖν· καὶ ταῖς μὲν πράξεσί σου ταῖς πολλαῖς καθὼς χωροῦμεν ἐπεγνώκαμέν σε, αὐτὸς δὲ ἀμέτρως δέδωκας ἡμῖν τὰ δόματά σου εἰπών· Αἰτεῖτε καὶ δοθήσεται ὑμῖν, ζητεῖτε καὶ εὑρήσετε, κρούετε καὶ ἀνοιγήσεται ὑμῖν· Δεόμεθα οὖν ὑποψίαν ἔχοντες τῶν ἁμαρτημάτων ἡμῶν· αἰτοῦμεν δέ σε οὐ πλοῦτον, οὐ χρυσόν, οὐκ ἄργυρον, οὐ κτῆσιν, οὐκ ἄλλο τι τῶν ἀπὸ τῆς γῆς γινομένων καὶ πάλιν εἰς τὴν γῆν χωρούντων, ἀλλὰ τοῦτο δεόμεθά σου καὶ παρακαλοῦμεν, ἵνα ἐν τῷ ὀνόματί σου τῷ ἁγίῳ ἐγείρῃς ταύτην τὴν κειμένην ἐν τῇ σῇ δυνάμει εἰς δόξαν καὶ πίστιν τῶν παρεστώτων.

194 W 70 Th 54 (51) *Καὶ εἶπεν τῷ νεωτέρῳ σφραγίσας αὐτόν· Ἄπελθε καὶ λαβόμενος τῆς χειρὸς αὐτῆς εἰπὲ αὐτῇ· Ἐγὼ διὰ τῶν ἐμῶν χειρῶν σιδήρῳ σε ἐφόνευσα, καὶ ἐν ταῖς ἐμαῖς χερσὶν ἐπὶ τῇ πίστει Ἰησοῦ ἐγείρω σε. Προσελθὼν οὖν ὁ νέος πα-* 39 B *ρέστη αὐτῇ λέγων· Ἐπίστευσα ἐπὶ σὲ | Χριστὲ Ἰησοῦ. Καὶ ἀπιδὼν εἰς Ἰούδαν Θωμᾶν τὸν ἀπόστολον εἶπεν αὐτῷ· Ἔπευξαί μοι ἵνα ὁ κύριός μου εἰς τὴν βοήθειάν μου ἔλθῃ, ὃν καὶ ἐπι-* 230 T *καλοῦμαι. Καὶ ἐπιθεὶς τὴν χεῖρα αὐτοῦ τῇ αὐτῆς χειρὶ εἶπεν·*

[3] Matth 7, 7

[1] *μὲν om* ſ ‖ *σου om P* ‖ *πολλ.*] magnis *et add* tu quem ſ ‖ [2] *ἐγνώκαμεν U* ‖ *σε om* ſ ‖ [3] *δόγματα U δωρήματα PV: cf 141, 7* ‖ *εἰπ.*] tu qui dixisti ſ ‖ [3–4] *ζ. κ. ε. om PU* ‖ [4] *εὑρήσητε V* ‖ *ὑμ. om P* ‖ *οὖν*] *ὡς add P* ‖ [5–8] *ὑποψ. - δ. σου*] *καὶ ἡμεῖς V* ‖ [5] *τ. ἁμ. ἡμ. ἔχ. P* ‖ *ἁμ.*] delictorum et peccatorum ſ ‖ *ἡμ.*] ut spargas in nos gratiam per misericordiam tuam *add* ſ ‖ *αἰτ. δέ*] *ὃ δὲ αἰτ. U om P* ‖ *σε om P* ‖ [6] *οὐ χρ.*] *αἰτούμεθα καὶ χρ. P* ‖ [7] *γιν.*] *ἐγειρομένων P* ‖ [8] *σοι δεόμεθα P* ‖ *παρακ.*] *τὴν ἄφατόν σου χρηστότητα καὶ εὐσπλαγχνίαν add V* benignitatem tuam *add* ſ: ⟨*τὴν χρηστότητά σου*⟩?

D. Π (Π = PUVY) [9] *ἐγερεῖς P: cf 114, 3* ‖ *τὴν*] *νεκρὰν add P* ‖ *κειμ.*] *τακακειμένην UVY (cf 147, 13)* mortuam m ante te *add* ſ: *cf 169, 10* ‖ [9–10] *ἐν - δόξ.*] magnae tuae gloriae causa et laudis diuinitatis tuae ſ ‖ [10] *δόξαν* ⟨*τῆς σῆς θεότητος*⟩?? ‖ *πίστωσιν Y* confirmandae fidei ſ ‖ *τῶν*] *σοι add P* ‖ [11] *καὶ*] *ταῦτα αὐτοῦ προσευξαμένου add D* ‖ *σφ. α.*] *paulo plura* ſ | *αὐτῷ UV* ‖ [12] *εἰπὲ* (*εἶπον U: cf 188, 22*) *α. λαβ. τ. χ. α. UY* ‖ *λαβ. τ. χ. α. om P* ‖ *ἐπιλαβόμενος V* ‖ [13] *πεφόνευκά σε P* ‖ *καὶ*] sed ſ *πάλιν add D: cf 163, 13* ‖ [13–15] *ἐν - σε*] Iesus gratia sua suscitat te per fidem meam ſ | [14] *ἐπὶ*] *ἐν P* ‖ *πίστει*] *τοῦ add D. P κυρίου ἡμῶν add D* ‖ *Ἰ.*] *χριστοῦ add D. V* ‖ *ἐγερῶ PU ἐγειρῶ Y: cf 159, 4* ‖ *νεώτερος P(V): cf 167, 14* | *scr ἐπέστη?* (ſ) *cf 196, 13; 229, 7* ‖ [15] *αὐτῇ om P* ‖ [15–171,1] *Χρ. - Χρ. om V* ‖ [15] *ἰησ. χρ. Y* ‖ *Ἰ. om P* ‖ [15–16] *κ. ἀπ.*] *ἀπ. Y ἀπ. δὲ PU* ‖ [16] *Ἰ.*] *τὸν καὶ add P: cf 100, 4; 178, 14 et index* ‖ *εὖξαι P* ‖ [17] *μου prius om P* ‖ *μου alt*] *φθάσας add UY* ‖ *καὶ*] *νῦν add P*

Ἐλθὲ κύριε Ἰησοῦ Χριστέ· ταύτῃ μὲν παράσχου τὴν ζωήν, ἐμοὶ δὲ τῆς πίστεώς σου τὸν ἀρραβῶνα. Καὶ εὐθέως ἑλκύσαντος αὐτοῦ τὴν χεῖρα αὐτῆς ἀναπηδήσασα ἐκαθέσθη, ἀποβλέπουσα εἰς τὸν πολὺν ὄχλον τὸν παρεστῶτα· εἶδεν δὲ καὶ τὸν ἀπόστολον ἄντικρυς αὐτῆς ἑστῶτα, καὶ καταλιποῦσα τὸν κράββατον ἐκπηδήσασα πρὸς τοῖς ποσὶν αὐτοῦ ἔπεσεν καὶ τῶν ἐνδυμάτων αὐτοῦ ἥπτετο λέγουσα· Δέομαί σου κύριέ μου, ποῦ ἐστιν ἐκεῖνος ὁ ἄλλος ὁ συνών σοι, ὃς οὐκ ἐγκατέλιπέν με παραμεῖναι εἰς ἐκεῖνον τὸν χῶρον τὸν δεινὸν καὶ χαλεπόν, ἀλλὰ σοί με παρέδωκεν εἰπών· Σὺ ταύτην παράλαβε ἵνα τελειωθῇ καὶ μετὰ ταῦτα εἰς τὸν αὐτῆς χῶρον συναχθῇ;

55 (52) Ὁ δὲ ἀπόστολός φησιν πρὸς αὐτήν· Ἐξήγησαι ἡμῖν ποῦ παρεγένου. 195 W 71 Th Ἡ δὲ ἀπεκρίνατο· Σὺ ὁ σὺν ἐμοὶ ὤν, ᾧ καὶ παρεδόθην, βούλει ἀκοῦσαι; Καὶ ἤρξατο λέγειν· Ἄνθρωπός τις παρέλαβέν με ἀπεχθὴς τῇ ἰδέᾳ, μέλας ὅλος, ἡ δὲ τούτου ἐσθὴς πάνυ ῥερυπωμένη· ἀπήγαγεν δέ με εἴς τινα τόπον ἐν ᾧ πολλὰ χάσματα ὑπῆρχεν, καὶ πολλὴ δυσωδία καὶ ἀποφορὰ ἐχθίστη ἐκεῖθεν ἀπεδίδετο, ἐποίει δέ με εἰς ἕκαστον χάσμα παρακύψαι, καὶ εἶδον ἐν τῷ χάσματι πῦρ φλεγόμενον, καὶ τροχοὶ πυρὸς ἐκεῖσε ἔτρεχον, ψυχαὶ δὲ ἐνεκρέμαντο ἐν τοῖς τροχοῖς ἐκείνοις, ἀλλήλαις προσρηγνύμεναι· βοὴ δὲ καὶ ὀλολυγμὸς πλεῖστος ὑπῆρχεν ἐκεῖ, οὐδεὶς δὲ ἦν ὁ λυτρούμενος. ἔλεγεν δέ μοι ὁ ἀνὴρ ἐκεῖνος· Αὗται αἱ ψυχαὶ ὁμόφυλοί σού

[1] ταύτῃ] καὶ ταύτῃ V καὶ ταύτην P ‖ παρέχων D ‖ [2–3] ἑλκ. α. εὐ. U | [3] χεῖρα] αὐτοῦ καὶ κρατήσαντος τῆς add U ‖ αὐτῆς] χειρὸς add U ‖ ἀν. ἐκ.] ἀνέστη καὶ ἐκ. V subsiluit et adstitit ſ: cf 150, 17 ‖ [4] τ. παρ. πολ. ὄ. (om alt τ.) V ‖ [5] ἀπ.] τοῦ χριστοῦ add V domini nostri add ſ ‖ ἄντικρυ D: cf 119, 6 ‖ κατ. τ. κρ. om ſ ‖ [6] ἐκπ. om V ‖ προσέπεσε τ. ποσ. α. V ‖ [6–7] ἥ. τ. ἐνδ. α. V ‖ [7] ἁπτομένη ἔλεγεν P ‖ [8] ὁ ἄλλ. ἐκ. V ‖ ἄλλος ὁ] προβραχὺ P om U ‖ σοι] μετα σοῦ P ‖ ἐνεγκατέλιπέν UY ‖ με] τοῦ add V ‖ [9] χορὸν P loco ſ: cf 11; 174, 6; 109, 12 ‖ τ. δ. κ. χ.] quem uidi ſ ‖ [10] με] μοι U ‖ τελ.] in amore suo per fidem add ſ ‖ [11] ταῦτα] εἰσέλθῃ add V ‖ αὐτ.] meum ſ ‖ χορὸν P locum ſ: cf 9 ‖ συναφθῇ P om V ‖ [12] ἀπ.] Iudas ſ τοῦ χριστοῦ θωμᾶς add V ‖ ἔφη V εἶπεν P dicit ſ: scr λέγει? ‖ π. α.] αὐτῇ PUY ‖ διήγησαι V: cf 159, 21 ‖ [13] παρεγ.] et quid uideris add ſ ‖ [14] παρεδόθη P: cf c 144e ‖ καὶ] ἣ δὲ V ‖ λέγ.] οὕτως add V: cf 169, 15 ‖ [15] τις om U ‖ ἀπεχθὲς U ἀπὸχθὲς V(Y) τῇ χθὲς ἡμέρᾳ P turpis ſ ‖ ὅλως PV ‖ [16] με δὲ P ‖ [17] ὑπῆρχον V ‖ [17–18] κ. ἀπ. om U | [18] ἀπεδίδοτο PUY ‖ εἰς] ἕνα add V: cf 100, 2 ‖ [19] καὶ ε.] ε. δὲ PUY ‖ τῷ <πρώτῳ>? (ſ) ‖ πῦρ] tamquam ignem ſ ‖ [20–22] ψ. - λυτρ. om ſ ‖ [20] ἐκρέμαντο VY ‖ [21] ἀλλήλοις P ‖ [22] ο. δὲ] καὶ ο. PV ‖ [23]–172,[3] αὗται - ἄλλῳ] al ſ

εἰσιν, καὶ ἐν ἡμέραις ἀριθμοῦ παρεδόθησαν εἰς κόλασιν καὶ ἔκτριψιν, καὶ τότε ἄλλαι εἰσάγονται ἀντ' αὐτῶν, ὁμοίως δὲ πάλιν καὶ αὐταὶ ἐν ἄλλῳ· αὗταί εἰσιν αἱ μεταλλάξασαι ἀνδρὸς καὶ γυναικὸς τὴν συνουσίαν. Καὶ κατοπτεύσασα εἶδον βρέφη
46 B *ἐπ' ἄλληλα σεσωρευμένα καὶ παλαίοντα ἀλλήλοις | ἐπικείμενα. ὁ δὲ ἀποκριθεὶς εἶπέν μοι· Ταῦτά ἐστιν τὰ τούτων βρέφη, καὶ διὰ τοῦτο ἐνθάδε ἐτέθησαν εἰς μαρτύριον αὐτῶν.*

231 T 56 (53) *Ἀπήγαγεν δέ με εἰς ἄλλο χάσμα, καὶ παρακύψασα*
72 Th *εἶδον βόρβορον καὶ σκώληκας ἀναβρύοντας, καὶ ψυχὰς ἐκεῖ κυλιομένας, καὶ βρυγμὸν μέγαν ἐκεῖθεν ἐξ αὐτῶν ἀκουόμενον. καὶ εἶπεν πρός με ὁ ἄνθρωπος ἐκεῖνος· Αὗται αἱ ψυχαὶ γυναικῶν εἰσιν αἱ καταλείψασαι τοὺς ἄνδρας αὐτῶν καὶ εἰς ἄλλους μοιχεύσασαι καὶ εἰς ταύτην τὴν βάσανον ἐνεχθεῖσαι. Ἄλλο μοι χάσμα ἔδειξεν, εἰς ὃ παρακύψασα εἶδον ψυχὰς τὰς μὲν κρεμαμένας διὰ τῆς γλώττης, τὰς δὲ διὰ τῶν πλοκάμων, τὰς δὲ διὰ τῶν χειρῶν, τὰς δὲ διὰ τῶν ποδῶν κατὰ κεφαλῆς, καὶ καπνὸν καὶ θεῖον καπνιζομένας· περὶ ὧν ἀπεκρίνατό μοι ὁ ἀνὴρ ἐκεῖνος ὁ σὺν ἐμοὶ ὤν· Αἱ μὲν ψυχαὶ αὗται αἱ κρεμασθεῖσαι διὰ τῆς γλώσσης διάβολοί εἰσιν, καὶ ψευδεῖς λόγους καὶ αἰσχροὺς φθεγγόμεναι, καὶ μὴ αἰδούμεναι· αἱ δὲ διὰ τῶν τριχῶν κρεμάμεναι ἄχρωμοί εἰσιν αἱ μηδ' ὅλως αἰδούμεναι*

---

1 *ἐδόθησαν P* ‖ 2 *κ. τότε - αὐτῶν om PV* ‖ *ἀντι UY* ‖ 2–3 *ὁμ. - ἄλλῳ om Π: del?? (similia infra* ʃ) ‖ 3 *ἄλλῳ <τόπῳ>??* ‖ 3–4 *αὗται - συν.] τῶν τὴν οὐσίαν τῶν ἀνδρῶν μεταλαξάντων P: cf 12* ‖ 3 *αὗται] δέ add V* ‖ 4 *συν.] haud pauca add* ʃ ‖ 4–7 *καὶ κ. - αὐτῶν om* ʃ ‖ 4 *καὶ alt] ἔτει add V* rursus *add* ʃ: *scr Καὶ ἔτι?? cf 13* ‖ *εἶδεν U* ‖ 5 *ἀλλήλοις] ἀλλήλα D (delend suspic Tischendorf) καὶ add D* ‖ 6 *μοι εἶπεν PU* ‖ *εἰσι D* 8–173,11 *ἀπ. - αὐτῇ] al* ʃ ‖ 8 *ἀπήνεγκε D: cf 173, 12; 174, 4; 5* ‖ 9 *σκώληκα ἀναβρύοντα D* ‖ 10 *μέγα D* ‖ *ἐξ α. ἐκ. P* ‖ *ἐκ. om V* ‖ 12 *τῶν καταλειψάντων D (cf 109, 13) τῶν καταλειψασῶν Thilo: cf 3; 4* ‖ *ἑαυτῶν UVY* ‖ 13 *μοιχευθεῖσαι D* ‖ *ἐν.] εἶτα πάλιν add V* (ʃ??)*: uerum? cf 4* 13–173,19 *ἄλλο - παραδίδ. om Y*

D. Π (Π = PUV) 13–14 *ἔδ. δέ μοι καὶ ἄ. χ. P* ‖ 15 *δ. τ. γλ. κρ. P* ‖ 15–16 *τὰς δὲ δ. τ. χ.] ἑτέρας διατῶν χειρῶν P om V* ‖ 16 *τὰς δὲ] ἄλλας P* | *κ. κεφ.] ἐπικέφαλα PUV: cf 173, 6; An 61, 20; Ph 55, 2; 71, 1; cet (al 191, 1)* ‖ 17 *καπ. κ. θ.] θ. κ. πίσσαν V* ‖ *καπνὸν corruptum?* ‖ *μοι om P* ‖ 17–18 *ὁ - ὤν] ὁ σ. ἐ. λέγων ἀν. P ὁ ἀ. λέγων ὁ σ. ἐ. U ὁ ἀ. ὁ σ. ἐ. λέγων (cf 171, 13; 174, 2 et 156, 4; 160, 11) οὕτως ὅτι V: cf 160, 15; 171, 13; 210, 16* ‖ 18 *ψ. - κρεμ.] κρεμ. αὗται ψ. P* ‖ 19–20 *κ. ψ. - φθ.] οἱ ψ. φθεγγόμενοι λ. κ. α. P* ‖ 19 *καὶ om V: del??* ‖ 20 *κ. μὴ αἰδ. del? cf P* ‖ *μὴ] μηδ' ὅλως P: cf 21* ‖ *αἰδούμενοι P: cf 21 et q s* ‖ 20–21 *αἱ δὲ - αἰδ. om D* ‖ 21 *κρ.] οἱ add P* ‖ *αἱ - αἰδ.] καὶ μὴ αἰσχυνόμενοι P: cf 20* ‖ *αἱ] scr καὶ?*

καὶ γυμνοκέφαλοι ἐν τῷ κόσμῳ περιάγουσαι· αἱ δὲ διὰ τῶν
χειρῶν κρεμασθεῖσαι αὗταί εἰσιν αἱ τὰ ἀλλότρια ἀφελόμεναι
καὶ κλέψασαι, καὶ μετρίοις μὴ ἐπιδοῦσαι μηδέποτε μηδέν, μηδὲ
ἐπαρκήσασαι τοῖς τεθλιμμένοις, ἀλλὰ τοῦτο ἐποίουν τὰ πάντα
λαμβάνειν θέλουσαι, καὶ μηδὲ ὅλως τῆς δίκης καὶ τῆς νομο-
θεσίας φροντίδα ποιησάμεναι· αἱ δὲ διὰ τῶν ποδῶν διάστροφοι
κρεμάμεναι αὗταί εἰσιν αἱ κούφως μὲν καὶ προθύμως τρέχουσαι
ὁδοῖς πονηραῖς καὶ πορείαις ἀτάκτοις, νοσοῦντας μὴ ἐπι-
σκεπτόμεναι καὶ τοὺς ἐξιόντας τοῦ βίου μὴ προκομίζουσαι,
καὶ διὰ τοῦτο μία καὶ ἑκάστη ψυχὴ ἀπολαμβάνει τὰ πεπρα-
γμένα αὐτῇ.

57 (54) Πάλιν ἀπαγαγών με ὑπέδειξέν μοι ἄντρον πάνυ 196 W
σκοτεινόν, δυσωδίαν πολλὴν ἀποπνέον, πολλαὶ δὲ ψυχαὶ ἐκεῖθεν
παρέκυπτον βουλόμεναι τοῦ ἀέρος τι μεταλαμβάνειν, οἱ δὲ
τούτων φύλακες οὐκ εἴων αὐτὰς | παρακύπτειν. ὁ δὲ συνών 41 B
μοι εἶπε· Τοῦτό ἐστιν τὸ δεσμωτήριον τούτων τῶν ψυχῶν ὧν 73 Th
εἶδες· ἐὰν γὰρ πληρώσωσι τὰς κολάσεις αὐτῶν ὧν μία ἑκάστη
ἔπραξεν, ὕστερον ἄλλαι αὐτὰς διαδέχονται· εἰσὶν δὲ καί
τινες τελείως καταναλισκόμεναι, καὶ εἰς ἄλλας κολάσεις παρα-
δίδονται. Ἔλεγον δὲ τῷ ἀνδρὶ τῷ παραλαβόντι με ἐκεῖνοι οἱ
τὰς ψυχὰς φρουροῦντες τὰς οὔσας ἐν τῷ σκοτεινῷ ἄντρῳ· 232 T
Δὸς ἡμῖν αὐτήν, ἵνα εἰσαγάγωμεν αὐτὴν πρὸς τὰς ἄλλας, ἕως

[1] γ.] γυμνοὶ τῇ κεφαλῇ P ‖ ἐν - περ.] περιόντες τῷ βίῳ P ‖ περιοῦσαι UV περμοῦσαι ex corr U ‖ [2] κρεμάμεναι οὗτοι P ‖ οἱ P ‖ ἀφελούμενοι P ‖ [3] κλέψαντες P ‖ μὴ] μὲν U om P ‖ ἐπ. - μηδὲν] μηδέποτε τί ἐπιδιδόναι P ‖ [4] ἐπαρκέσασαι V ‖ [5] θέλοντες P ‖ μηδ' UV ‖ ὅλως] πω P | [6] ποιησάμενοι P ποιούμεναι U ‖ οἱ P ‖ διὰ] ἐκ P om U ‖ δίστροφοι U ἐπικέφαλα V (cf 172, 16) om D ‖ [7] κρεμάμενοι P κρεμασθεῖσαι D ‖ αὖτ. ε. om P ‖ οἱ P ‖ [7–8] τρέχοντες εἰς ὁδοὺς P ‖ [8] πονηροῖς D πονηρὰς P ‖ πορείας P πονηρίαις D ‖ ἀτάκτους P ‖ νοσ.] δὲ add PV: recte? cf 7 ‖ ἐπισκεπτόμενοι P ‖ [9] προκομίζοντες P: cf 109, 13 ‖ [11] αὐτῆς PU ‖ [12–174,5] πάλιν - δέξ. om V

D. II (Π = PU) [12] με om D: cf 172, 8; 174, 5 ‖ [13] ἀποπνέοντα P ‖ [13–15] πολλαὶ - παρακ. om ſ ‖ [13] π. δὲ] καὶ π. P ‖ ἐκεῖσε P ‖ [14] ἀέρου P ‖ μεταλαβεῖν P ‖ [15] τούτων om Π ‖ ὁ δὲ] καὶ ὁ P ‖ σ. om ſ ‖ [16] μοι ἄνθρωπος εἶπεν U εἶπεν μοι ἄνθρωπος P despice et uide add ſ ‖ δεσποτήριον U ‖ [16–17] ὧν ε.] de quibus tibi dixi ſ ‖ [17] γὰρ om ſ ‖ αὐτῶν om Π ‖ [17–18] ὧν - ἔπ.] cuiusque ſ ‖ [17–18] ἥμαρτεν μία καὶ ἑκ. Π: cf 10; 100, 2; 175, 4 | [18] ὕστ. om ſ πάλιν add D: cf 163, 13 ‖ διαδ. α. D: cf 174, 1; 2 ‖ καί om Π ‖ [19] ⟨εἰσὶν δὲ⟩ καί ⟨τινες⟩?? (ſ) ‖ παραδιδόμεναι U (ſ): recte??

D. II (Π = PUY) [20] δὲ] οὖν D om ſ: del? ‖ τῷ παραλ. με ἀ. (om alt τῷ) P: cf 207, 10 ‖ [21] ἐν τ. σκ. οὖσ. P ‖ [22] εἰσ. - ἄλλ.] uinciamus eam in loco suo ſ ‖ αὐτὴν alt om D

ὅτε καιρὸς ἐφίσταται εἰς κόλασιν αὐτὴν παραδοθῆναι. Ὁ δὲ ἀπεκρίνατο αὐτοῖς· Οὐ δίδωμι αὐτὴν ὑμῖν, ἐπειδὴ γὰρ φοβοῦμαι τὸν παραδόντα μοι αὐτήν· οὐ γὰρ ἐκελεύσθην ἐνθάδε αὐτὴν καταλεῖψαι· σὺν ἐμοὶ δέ ἀνάγω αὐτήν, ἕως ἂν ἐντολὴν περὶ ταύτης δέξωμαι. Καὶ παραλαβών με ἀνήγαγέν με εἰς ἄλλον χῶρον, ἐν ᾧ ἦσαν ἄνθρωποι οἳ ἐβασανίζοντο πικρῶς. ὁ δέ σοι ὅμοιος λαβών μέ σοι παρέδωκεν, λέξας σοι ταῦτα· Παράλαβε ταύτην, ἐπειδὴ μία ἐστὶν τῶν θρεμμάτων τῶν πλανηθέντων. Καὶ ληφθεῖσα ὑπὸ σοῦ νῦν ἔμπροσθέν σού 197 W εἰμι. ̓ δέομαί σου οὖν καὶ ἱκετεύω ἵνα μὴ ἀπέλθω εἰς ἐκείνους τοὺς τόπους τοὺς κολαστηρίους οὓς εἶδον.

58 (55) Ὁ δὲ ἀπόστολος εἶπεν· Ἠκούσατε ἃ διηγήσατο ἡ γυνὴ αὕτη· οὐκ εἰσὶν δὲ μόνον αὗται αἱ κολάσεις, ἀλλὰ καὶ ἄλλαι χείρονες τούτων· καὶ ὑμεῖς δὲ ἐὰν μὴ ἐπιστραφῆτε ἐπὶ τὸν θεὸν τοῦτον ὃν κηρύσσω, καὶ ἀπόσχησθε ἀπὸ τῶν προτέρων ἔργων ὑμῶν καὶ τῶν πράξεων ὧν διεπράξασθε 74 Th χωρὶς γνώσεως, εἰς ταύτας τὰς κολάσεις τὸ τέλος ὑμῶν ἕξετε. πιστεύσατε οὖν εἰς Χριστὸν Ἰησοῦν, καὶ ἀφίησιν ὑμῖν τὰ πρὸ τούτου πεπραγμένα ἁμαρτήματα, καὶ καθαρίσει ὑμᾶς ἀπὸ

18 cf Io 1, 1, 9

1 *παρ. α. D: cf 173, 18* ‖ *ὃ δὲ]* is qui ducebat me ſ ‖ 2 *ὑμ. α. D: cf 173, 18* ‖ *ἐπ.* (ſ) *om Π: cf 8* ‖ *φ. γ. Π* ‖ *del γὰρ? cf 8; 123, 4* ‖ 3 *με P* ‖ *οὐ γ.]* nec ſ ‖ *ἐνταῦθα P* ‖ 4 *ἀναγάγω U ἀναφέρω D: cf 172, 8; 173, 22* ‖ 5 *αὐτῆς P*

D. Π (Π = PUVY) 5 *με alt om PUY: del? cf 7* ‖ 6 *χορὸν P (cf 171, 11)* ‖ *οἳ ἐβ. π. om* ſ ‖ 7 *παραδέδωκε D* ‖ *ταῦτα σοι λ. P* ‖ 8 *ἐ. μ.] ἐπιδημία γάρ P: cf 2; c 170m* ‖ *τ. θρ. ἐστὶ D* ‖ 8–9 *τ. πλαν. θρ. (om alt τῶν) P* ‖ 10 *οὖν om PUY* ‖ *ἱκ.]* ut ego quoque per te credam et per preces tuas gratiam adipiscar et *add* ſ ‖ *εἰσέλθω VY* ‖ 11 *τ. κολ. τόπ. (om alt τοὺς) Π: cf 173, 20* ‖ 12 *ἀπ.]* Iudas Thomas ſ *τοῦ χριστοῦ θωμᾶς add V πρὸς τοῖς παρεστῶσιν ὄχλοις add D* ‖ *λέγει P (recte?* dicit ſ) *αὐτοῖς add UY* (ſ) *τῷ ὄχλῳ add P πρὸς πᾶν τὸ πλῆθος τοῦ λαοῦ add V* ‖ *ἠκ.] κατηκούσατε PUY (cf 147, 13) πάντως ἠκ. V ἀδελφοί add D* pueri mei *add* ſ ‖ 13 *ταύτῃ UY ὄντως τέκνα add V: cf* ſ ‖ 13–14 *οὐκ - τούτων om Y* ‖ 13 *μόναι PUV* ‖ *αἱ κολ. αὗται P* ‖ 14 *ἕτεραι P: cf 172, 15; 195, 4; c 150m χείροναι P* multo peiores ſ ‖ 15 *τ. θ. τ.]* ueritatem hanc ſ ‖ *ἀπόσχεσθε D ἀπέχεσθε V* ‖ 16 *πρώτων UY: cf 156, 3; 175, 5* ‖ *κ. τ. πρ. om P τῶν ἀτόπων add V* ‖ *ὧν δ.]* quae non prosunt uobis *et add* et a cogitationibus ſ ‖ *διεπράξατε P* ‖ 17 *ἕξ.] γενήσεται P* ‖ 18 *Χρ. Ἰ.] κύριον ἰησ. V τὸν κύριον ἡμῶν ἰησ. χρ. D* ‖ *del Χρ.? cf 175, 19; 176, 16; 186, 3; 6; al* ‖ 18–19 *πρὸ τ.] πρὶν ὑμῶν P* ‖ 19 *ἁμ. om P* ſ: *del? cf 173, 10; 156, 3*

πασῶν τῶν ἐπιθυμήσεων ὑμῶν τῶν σωματικῶν τῶν ἐν τῇ γῇ μενουσῶν, καὶ ἰάσεται ὑμᾶς ἀπὸ τῶν σφαλμάτων τῶν παρεπομένων καὶ σὺν ὑμῖν ἀπιόντων καὶ | πρὸ ὑμῶν εὑρισκομένων. 42 B *εἷς ἕκαστος οὖν ὑμῶν ἀποδύσασθε τὸν παλαιὸν ἄνθρωπον καὶ ἐνδύσασθε τὸν νέον, τὴν δὲ πρώτην ὑμῶν ἀναστροφὴν καὶ πολιτείαν καταλείψατε· καὶ οἱ κλέπτοντες μηκέτι κλεπτέτωσαν, ἀλλὰ κάμνοντες καὶ ἐργαζόμενοι ζήτωσαν· οἱ δὲ μοιχοὶ μηκέτι πορνευέτωσαν, ἵνα μὴ ἐκδότους ἑαυτοὺς τῇ αἰωνίᾳ κολάσει παραδώσωσιν· ἡ γὰρ μοιχεία παρὰ τῷ θεῷ πάνυ χαλεπόν ἐστιν παρὰ τὰ ἄλλα κακά. ἀπόθεσθε δὲ καὶ τὴν πλεονεξίαν καὶ τὸ ψεῦδος καὶ τὴν μέθην καὶ τὴν διαβολὴν καὶ κακὸν ἀντὶ κακοῦ μὴ ἀποδίδετε. ταῦτα γὰρ πάντα ξένα εἰσὶν τῷ θεῷ τῷ ὑπ' ἐμοῦ κηρυσσομένῳ καὶ ἀλλότρια· ἀλλὰ καὶ μᾶλλον ἐν τῇ πίστει πολιτεύσασθε καὶ τῇ πραότητι καὶ* 233 T *τῇ ἁγιωσύνῃ καὶ τῇ ἐλπίδι, ἐν ᾗ ὁ θεὸς χαίρει, ὅπως γένησθε* 198 W *αὐτοῦ οἰκεῖοι, προσδεξάμενοι παρ' αὐτοῦ τὰ χαρίσματα ἃ ὀλίγοι καὶ ἔνιοι δέχονται.*

59 (56) *Πᾶς οὖν ὁ λαὸς ἐπίστευσεν, καὶ τὰς ἑαυτῶν ψυχὰς πειθηνίους παρέσχον τῷ θεῷ τῷ ζῶντι καὶ τῷ Χριστῷ Ἰησοῦ, εὐωχούμενοι ἐν τοῖς ἔργοις αὐτοῦ τοῖς εὐλογημένοις*

[4] cf Col 3, 9; 10 Eph. 4, 22 || [6] cf Eph 4, 28 || [10] cf Eph 4, 25 Col 3, 8

---

[1] *πάντων P: cf 109, 13* || *ἐπιθυμιῶν D. P: scr ἐνθυμήσεων?* cogitationibus terrestribus ſ || *ὑμ.] καὶ add P* || *σωμ.] ἐνθυμήσεων add P* || [2–15] *τ. παρ. - χαίρει om Y*

D. Π (Π = PUV) [2] *τῶν alt]* nisi uos eorum paeniteat coram deo *add* ſ || [4] *εἷς om D: cf 173, 17* || *οὖν] δὲ D* || *ἀποδυσάσθω D* || [5] *ἐνδυσάσθω D* || *scr προτέραν (sic ep ad Eph)? cf 174, 16; 227, 18; 177. 4* || [7] *ζῆτε κ. ἐργ. P* || *μοιχεύοντες PV* || [8] *πορν.] μοιχοὶ ἔστωσαν P* (ſ) neu permittant se uoluptati praesenti *add* ſ || [9] *παραδώσουσιν U* || *π. τ. θ. om P* || [10] *χαλεπή PU(V)* || *ἐ.] κακὸν add D* || [12] *καὶ] τὸ add D* || *μὴ om D* || *ἀπ.* (ſ)] *ἀνταποδιδόναι D ἀποδῶτε U* || [13] *ἐστὶν U* || *ἀλλ.]* impura ſ || [14] *κ. μ. om* ſ || *καὶ prim om Π: del?* || *πίστει]* humilitate ſ || *πολιτεύεσθε P(V)* || *κ. τῇ] ἐν P* || *πρ.]* temperantia ſ || [15] *τῇ ἐλπ. κ. τῇ ἁγ. U δικαιοσύνῃ καὶ ἁγιωσύνῃ (ἁγ. in rasura) P* || *ἐν - χ.]* in deum ſ *om P*

D. Π (Π = PUVY) [15–17] *ὅπ. - δέχ.] ἵνα οἰκ. τοῦ παρ' ἐμοῦ κηρυττομένου θεοῦ γέν. καὶ τῶν αὐτοῦ χαρισμάτων καταξιωθῆτε P* || [16] *οἰκ.]* serui ſ || [17] *ὀλ. κ. om* ſ: *cf 149, 18* || [18] *καὶ om P* || [18–19] *τ. ἑ. ψ.]* se ſ || [19] *παρέχοντες P* || [19–20] *ζ. - Ἰ.] ὑπὸ τοῦ ἀποστόλου κηρυττομένω θωμᾶ P* || *ἰησ. χρ. V: cf 174, 18* || [20–176,1] *εὐωχ. - ἁγ.] ἐν τ. ἔ. τοῦ θεοῦ εὐωχ. κ. τ. ἁγ. α. πορευόμενοι διακ. P* || *αὐτ. - ὑψ.] scr τοῦ ὑψ. τοῖς εὐλ.* (ſ)

τοῦ ὑψίστου καὶ τῇ διακονίᾳ αὐτοῦ τῇ ἁγίᾳ. ἐκόμιζον δὲ
χρήματα πολλὰ εἰς διακονίαν τῶν χηρῶν· εἶχεν γὰρ ἐν ταῖς
πόλεσιν συνηθροισμένας, καὶ πάσας αὐτὰς διὰ τῶν ἰδίων δια-
κόνων ἀπέστελλεν τὰ ἐπιτήδεια, τά τε ἐνδύματα καὶ τὰ πρὸς
τὴν τροφήν. αὐτὸς δὲ οὐκ ἐπαύετο κηρύσσων καὶ λέγων αὐτοῖς
καὶ ὑποδεικνύων ὅτι οὗτός ἐστιν Ἰησοῦς ὁ Χριστὸς περὶ οὗ
75 Th αἱ γραφαὶ ἐκήρυξαν, ὃς ἐλθὼν σταυροῦται καὶ ἐγείρεται διὰ
τριῶν ἡμερῶν ἐκ νεκρῶν. ὑπεδείκνυεν δὲ αὐτοῖς δεύτερον
σαφηνίζων ἀπὸ τῶν προφητῶν ἀρξάμενος τὰ περὶ τοῦ Χριστοῦ,
ὅτι ἔδει αὐτὸν ἐλθεῖν καὶ ἐν αὐτῷ τελεσθῆναι πάντα τὰ προ-
43 B λεχθέντα περὶ αὐτοῦ. | διέδραμεν δὲ ἡ τούτου φήμη εἰς πάσας
τὰς πόλεις καὶ χώρας, καὶ πάντες οἱ ἔχοντες νοσοῦντας ἢ
ὀχλουμένους ὑπὸ πνευμάτων ἀκαθάρτων προσέφερον, οὓς δὲ
199 W καὶ ἐν τῇ ὁδῷ ἐτίθουν ἐν ᾗ ἔμελλεν διελθεῖν, καὶ πάντας ἐν
τῇ δυνάμει τοῦ κυρίου ἐθεράπευεν. τότε εἶπον πάντες ὁμο-
θυμαδὸν οἱ δι' αὐτοῦ ἰαθέντες μιᾷ φωνῇ· Δόξα σοι Ἰησοῦ
τῷ τὴν θεραπείαν ἐξ ἴσου παρασχόντι διὰ τοῦ σοῦ δούλου

[6] cf act 18, 28 || [9] cf Luc 24, 27 || [12] cf Luc 6, 17 act 5, 15

---

[1] τ. ὑψ. (ſ) *om D. PV* || ἁγ.] ἐν χριστῷ ἰησοῦ *et q s dein deficit V D. Π (Π = PUV)* [1] δὲ] quisque eorum *add* ſ || [2] χηρ.] καὶ πτωχῶν *add P* || [3] συν. (ſ)] συνηθροισμένον πλῆθος πτωχῶν καὶ χηρῶν *P(V)* || πάσαις αὐταῖς *U (recte ut uid)* quibus omnibus ſ || πάντας *PV: cf 109, 13* || αὐτ. *om PV* || [4] ἀπέστειλεν *U* || [4–5] τά τε - τρ.] ad alimentum et uestimentum ſ || [4] τε *om U* || ἐνδ.] λέγω *add P* || τὰ πρὸς *om D* || [5] τὴν *om P* || αὐτοῖς] τὸν λόγον τοῦ θεοῦ *add P* || [6] Ἰ. (ſ) *om PU (del?)* ἀληθῶς *add U* || [6–7] περὶ - ἐλθὼν *om P* || [7] ἐκήρ.] *haud pauca add* ſ || ὃς ἐ.] et uenit ſ || ὃς] ὡς *Thilo: recte??* || [7–8] στ. - νεκρ.] ὁ σταυρωθεὶς καὶ ταφεὶς καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστὰς καὶ ἐκ δεξιῶν τοῦ αὐτοῦ πατρὸς καθεζόμενος *P* || [8] ἐκ ν. *om UV* ſ: *del?* || [8–9] ὑπ. - Χρ.] ἀλλὰ καὶ ἀπὸ τ. πρ. τὰ π. χρ. αὐτοῖς ἀνεδίδασκεν *P* || [8] δεύτ. *om* ſ || [9] ἀρξ. ἀ. τ. πρ *D* || ἀπὸ] Mose usque ad finem *add* ſ: *cf eu Luc* || ἀρξ. - Χρ. *om* ſ || τὰ π.] ἕως *UV* αὐτοῦ *add U* || Χρ.] καὶ *add D* || [10] δεῖ *V* || π. τὰ] τὰ π. τὰ καὶ *P* || προλ.] ὑμῖν *add D unde* προλ. ἡμῖν *Thilo* || [11] περὶ] πάθη *P* || φ.] inter homines *add* ſ || [11–12] π. τ. *om* ſ || [12] π. κ. χ.] ciuitates m || νοσ.] ἀσθενεῖς *P* || [13] ἀκ. *om* ſ aut lunaticum aut debilem *add* ſ || πρ. - δὲ] quosdam adferebant in lectis ſ || πρ.] καὶ ἐθεράπευεν αὐτοὺς *add P* καὶ ἐθεραπεύοντο *add D: cf 15* || τοὺς *V* ἄλλους *P* || [14] καὶ *prius om P* || ἤμελλεν *V* || διέρχεσθαι *P* διιέναι *UV: cf 148, 5* || [14–15] ἐν τῇ - κυρ. *om P* || [15] τ. κυρ.] Iesu domini sui ſ ἰησοῦ *add V* || ἰᾶτο *P non nulla add* ſ || [16] ἰαθ.] λέγοντες *add UV* || μ. φ. *om P* | σοι δ. *D* || Ἰ.] χριστὲ ἰ. *P* κύριε ἰ. χριστέ *V* Christe *add* ſ || [17] τῷ] ὁ *P* || παρασχὼν *P* τοῖς πᾶσιν *add V:* ⟨πᾶσι⟩ παρασχόντι? || δούλου σου *D*

καὶ ἀποστόλου Θωμᾶ. καὶ ὑγιαίνοντες καὶ χαίροντες δεόμεθά σου γενέσθαι τῆς σῆς ἀγέλης καὶ ἐναριθμηθῆναι εἰς τὰ σὰ πρόβατα· δέξαι οὖν ἡμᾶς κύριε καὶ μὴ λογίσῃ ἡμῶν τὰ παραπτώματα ἡμῶν καὶ τὰ πρῶτα σφάλματα ἃ διεπραξάμεθα ἐν ἀγνοίᾳ ὄντες.

60 (57) *Ὁ δὲ ἀπόστολος εἶπεν· Δόξα τῷ μονογενεῖ τῷ ἀπὸ τοῦ πατρός, δόξα τῷ πρωτοτόκῳ τῶν πολλῶν ἀδελφῶν, δόξα σοι τῷ ἐπαμύντορι καὶ βοηθῷ τῶν εἰς τὸ καταφύγιόν σου ἐρχομένων· ὁ ἄυπνος καὶ τοὺς ἐν ὕπνῳ διεγείρων, ὁ ζῶν καὶ ζωοποιῶν τοὺς ἐν τῷ θανάτῳ κατακειμένους· θεὲ Ἰησοῦ Χριστέ, τοῦ θεοῦ τοῦ ζῶντος υἱέ, ὁ λυτρωτὴς καὶ βοηθός, ἡ καταφυγὴ καὶ ἀνάπαυσις πάντων τῶν καμνόντων ἐν τῇ σῇ ἐργασίᾳ, ἴασιν δὲ παρέχων ἐκείνοις τοῖς διὰ τὸ σὸν ὄνομα* 234 T *ὑποφέρουσιν τὸ βάρος τῆς ἡμέρας καὶ τὸν καύσωνα· εὐχαριστοῦμεν τοῖς παρὰ σοῦ χαρίσμασιν δοθεῖσιν ἡμῖν καὶ τῇ* 76 Th *παρὰ σοῦ βοηθείᾳ χαρισθεῖσιν ἡμῖν καὶ τῇ οἰκονομίᾳ σου τῇ ἐλθούσῃ ἀπὸ σοῦ εἰς ἡμᾶς.*

61 (58) *τέλεσον οὖν εἰς ἡμᾶς ταῦτα ἕως τέλους, ἵνα* 200 W *ἔχωμεν παρρησίαν τὴν ἐν σοί· ἔπιδε εἰς ἡμᾶς, ὅτι διὰ σὲ κατελείψαμεν τοὺς οἴκους ἡμῶν καὶ τὰ γονικὰ ἡμῶν, καὶ διὰ σὲ ξένοι γεγόναμεν ἡδέως καὶ ἑκόντες· ἔπιδε ἐφ᾽ ἡμᾶς κύριε,*

[6] cf Io 1, 14 ‖ [7] cf Rom 8, 29 ‖ [14] cf Matth 20, 12 ‖ [20] cf Matth 19, 27

[1–3] *δεόμ. - πρόβ.*] *τῇ σῇ παρακαλοῦμεν καὶ ἡμᾶς συναριθμηθῆναι ποίμνῃ καὶ τοῖς σοῖς μετόχους προβάτοις γενέσθαι P* ‖ [3] *οὖν om P* ‖ *μὴ λογ.*] *πάριδε P* ‖ *ἡμῖν U recte ut uid:* aduersus nos ſ ‖ [4] *ἡμῶν* (ſ) *om D. P* | *πρ.*] *cf 175, 5* ‖ *καὶ - σφ. om P* ‖ [4–5] *ἃ - ὄντες*] *ἃ καὶ ἐν ἀ. καὶ γνώσει διεπρ. P* ‖ [6] *ὁ δὲ ἀπ.*] *τότε ὁ ἀπ. V* tum, ubi Iudas Thomas uidit eos, sustulit uocem suam et ſ ‖ *ἀπ.*] *χαρᾶς πολλῆς πλησθεὶς add V* ‖ [6–7] *μον. - ἀδ.*] *al* ſ ‖ [7] *πατρ.*] *εἰς ἡμᾶς ὧδε ἐλθόντι add P* ‖ [8–9] *κατ. σου*] *σὸν κατ. P* ‖ [9] *ὁ ἄ.*] gloria tibi uigili ab omni aeternitate ſ ‖ *ἐν ὕ.*] homines ſ ‖ [10] *τοὺς - κατ. om* ſ ‖ [10–11] *Ἰ. Χρ. om* ſ ‖ [11] *υἱὲ τ. ζ. θ.* (*om alt τοῦ*) *Π: cf 207, 10* ‖ *τ. ζ. om* ſ ‖ [13] *ἴ.*] quietem ſ ‖ *τοῖς post ὄν. V om U* ‖ [14] *ὑπ.*] qui sustinuerunt ſ (*βαστάσασι eu Matth*) *post καύσ. P* ‖ *τ. ἡμ. om V* totius *add* ſ ‖ *κ. τ. κ.*] meridie (*uel* aestu) ſ ‖ *καύσ.*] *παγετὸν τῆς νυκτός D* (*cf genesis 31, 40; Ierem 43, 30*) *διὰ τὸ σὸν ὄνομα add U* ‖ [15] *π. σοῦ*] *παρ᾽ αὐτοῦ U* ‖ [15–16] *καὶ - ἡμῖν om PV* ‖ [16] *χ. ἡμ.*] infirmitatis nostrae ſ ‖ *scr χαρισθείσῃ?* ‖ [16–17] *τῇ ἐ. - ἡμ.*] paupertatis nostrae ſ ‖ [18–19] *τέλεσον - σοί om P* ‖ [18] *εἰς om U* ‖ *ταῦτα*] gratiam et misericordiam tuam ſ ‖ [18–19] *ἵ. ἔ.*] et da nobis ſ ‖ [19] *σοί*] respice domine te solum nos amare *add* ſ ‖ *εἰς*] *scr ἐφ᾽: cf 21 et q s* ‖ *ἡμᾶς ⟨κύριε⟩* (ſ)? *cf 21 et q s* | [20] *κατελείπομεν P: cf 178, 1; 3; 8* ‖ *καὶ - ἡμ.*] et domos gentilium nostrorum ſ *om D* ‖ *τὰ γ.*] *πᾶν γένος P* ‖ [21] *ἑκόντως V*

ὅτι τὴν ἰδίαν κτῆσιν κατελείψαμεν διὰ σέ, ἵνα σὲ τὴν ἀναφαίρετον κτῆσιν κτησώμεθα· ἔπιδε ἐφ' ἡμᾶς κύριε, ὅτι τοὺς διαφέροντας ἡμῖν κατὰ γένος καταλείψαμεν, ἵνα τῇ σῇ συγγενείᾳ καταμιγῶμεν· ἔπιδε ἐφ' ἡμᾶς κύριε τοὺς καταλείψαντας 44 B τοὺς πατέ|ρας ἑαυτῶν καὶ τὰς μητέρας καὶ τοὺς τροφέας, ἵνα τὸν σὸν πατέρα θεασώμεθα καὶ κορεσθῶμεν τῆς αὐτοῦ τροφῆς τῆς θεϊκῆς· ἔπιδε ἐφ' ἡμᾶς κύριε, διὰ σὲ γὰρ τὰς συζύγους ἡμῶν τὰς σωματικὰς κατελείψαμεν καὶ τοὺς καρποὺς ἡμῶν τοὺς ἐπιγείους, ἵνα κοινωνήσωμεν ἐκείνῃ τῇ κοινωνίᾳ τῇ παραμόνῳ καὶ ἀληθινῇ, καὶ καρποὺς ἀληθινοὺς ἀποκυήσωμεν, ὧν ἡ φύσις ἄνωθεν ὑπάρχει, ὧν οὐδεὶς ἀφελέσθαι ἐξ ἡμῶν δύναται, οἷς παραμένομεν καὶ αὐτοὶ ἡμῖν παραμένουσιν.

Πρᾶξις ζ' περὶ τοῦ στρατηλάτου.

62 Τοῦ δὲ ἀποστόλου Ἰούδα Θωμᾶ καταγγέλλοντος ἐν πάσῃ τῇ Ἰνδίᾳ τὸν λόγον τοῦ θεοῦ στρατηλάτης τις τοῦ βασιλέως Μισδαίου ἦλθεν πρὸς αὐτόν, καὶ ἔλεγεν αὐτῷ· 201 W Ἀκήκοα περὶ σοῦ ὅτι μισθὸν παρά τινος οὐ λαμβάνεις, ἀλλ' ὅπερ καὶ ἔχεις τοῖς δεομένοις παρέχεις· εἰ γὰρ μισθοὺς ἐλάμβανες, ἀπέστειλα ἂν χρῆμα ἱκανόν, καὶ αὐτὸς ἐνθάδε οὐ παρεγενόμην· ὁ γὰρ βασιλεὺς ἐκτος ἐμοῦ οὐδὲν διαπράττεται· πολλὰ γὰρ ὑπάρχοντά μοί εἰσιν καὶ πλούσιός εἰμι, εἷς τῶν

[1] *κατελείπαμεν P: cf 8* || *διὰ σέ om P* || *σὲ] σου P* || [2] *κτῆσιν]* uitae *add* ſ || [2–7] *ἔπιδε - θεϊκῆς om P* || [6] *πατ.]* summum (*uel* elatum?) *add* ſ || [7] *διὰ γάρ σε V ὅτι διὰ σὲ P: recte?? cf 1; 2; 177, 19* || [8] *κατελείπαμεν P: cf 1; 177, 20* || [8–9] *ἐπιγ. ὡς αὔτως (cf 203, 11; 214, 2 - 3; 216, 14 - 15; 230, 15) καρπ. ἡμ. (om alt τοὺς) P: cf 7 - 8; 207, 10* || [9–10] *κοιν. - ἀλ.] al* ſ || [9] *κοινωνήσοιμεν V: cf 10* || [10] *ἀληθινῇ] ἀληθῆ P* || *ἀληθινοὺς]* caelestes ſ || *ἀποκυήσοιμεν V: cf 9* || [10–11] *ὧν ἡ φ.]* qui ſ: *cf 11* || [11] *ὃν U ὢ V: scr οὓς??* quos ſ || [11–12] *ἀφ. - δ.] δ. ἀφ. ἐξ ἡμ. τὴν ἀπόλαυσιν D: recte (cf 10 - 11 ὧν ἡ φ.)??* || [11] *ἀφ' ἡμ. ἀφελ. P* || [12] *post παραμένουσιν deficit D*

PRUV [13] *π. τ. στ. πρ. ζ' P om V* || *ζ'] ἑβδόμη U ἑτέρα R* || [14] *Ἰ. om V τοῦ καὶ add P: cf 170, 16* || [15] *τ. λ. τ. θ. om RU* (ſ?): *del? cf 165, 9; 168, 1; cet* || [16] *μισδέου R μισγδαίου V om* ſ || *κ. ἔλ.* (ſ)] *λέγων P* || *λέγει V* || *αὐτῷ om P δοῦλε τοῦ ὄντως θεοῦ add V plura add* ſ (m) || [18] *ἀλλὰ καὶ ἅπερ V* || *scr ὅ τι?? cf c 139 i* || *καὶ om R: del?? cf 227, 22* || [19] *χρήματα ἱκανὰ V: recte? cf c 124 e; 130 m; 151 e* || *οὐ] μὴ add P* || [20] *παρ' ἐγενάμην R παραγέγονα P* || *ὁ γ.] καὶ γ. ὁ P: cf 215, 10* || [21] *γὰρ] δὲ καὶ V* || *εἰσὶ τὰ ὑπ. μου P: cf 137, 10; 227, 11; c 147 m* || *εἰμι] σφόδρα εἰμὶ P εἰμὶ σφόδρα V εἰμι, <καὶ εἰμι>?* (ſ) || [21–179, 1] *εἷς τ. πλ.] εἰς τὸν πλοῦτον τὸν R om PV* uir magnus ſ

πλουτούντων ἐν τῇ Ἰνδίᾳ· καὶ οὐδ' ὅλως ἠδίκησά ποτέ τινα· τὸ δὲ ἐναντίον μοι συνέβη· γαμετὴν ἔχω, καὶ ἔσχον ἐξ αὐτῆς θυγατέρα, καὶ πάνυ διάκειμαι πρὸς αὐτήν, ὡς καὶ ἡ φύσις ἀπαιτεῖ, ἄλλης δὲ γυναικὸς οὐ πεπείραμαι. ἔτυχεν δὲ γάμον γενέσθαι ἐν τῇ ἡμετέρᾳ πόλει, καὶ πάνυ μοι προσφιλεῖς ἦσαν οἱ τὸν γάμον ποιοῦντες· εἰσελθόντες οὖν ἠξίουν με καλοῦντες αὐτὴν καὶ τὴν θυγατέρα αὐτῆς. ἐπεὶ οὖν πάνυ μοι φίλοι ἦσαν, οὐκ ἠδυνήθην παραιτήσασθαι· ἀπέστειλα οὖν αὐτὴν καίπερ μὴ βουλομένην ἀπελθεῖν, πολλοὺς δὲ καὶ οἰκέτας συναπέστειλα αὐταῖς. ἀπῄεσαν οὖν κόσμον πολὺν κεκοσμημέναι αὐτὴ καὶ ἡ | θυγάτηρ αὐτῆς· 45 B

63 *ἑσπέρας δὲ γενομένης καὶ καιροῦ ἑστάντος ἀναλῦσαι ἀπὸ τῶν γάμων λαμπάδας καὶ δᾷδας ἔπεμψα εἰς ἀπάντησιν αὐτῶν· κἀγὼ ἐν τῇ ὁδῷ εἱστήκειν κατοπτεύων πότε ἔλθῃ καὶ θεάσομαι αὐτὴν σὺν τῇ θυγατρί μου. καὶ ἑστὼς φωνὴν ὀλολυγμοῦ ἤκουον· Οὐαὶ αὐτῇ ἐκ παντὸς στόματος ἠκούετο· οἱ δὲ δοῦλοι τὴν ἐσθῆτα ἔχοντες περιερρηγμένην ἤρχοντο πρός με ἀναγγέλλοντες τὰ γενόμενα. Εἴδομέν φησιν ἄνθρωπόν τινα καὶ παῖδα σὺν αὐτῷ· καὶ ὁ μὲν ἄνθρωπος ἐπέβαλεν αὐτοῦ τὴν χεῖρα ἐπὶ τὴν γυναῖκά σου καὶ*

[1] *ἐν τ. Ἰ. om PV* per omnem Indiam ſ ‖ *καὶ om P* ‖ *ὅλ.] δὲ add P* ‖ *π. τ. ἠδ. P* ‖ [2] *τὸ - σ.] καὶ τόδε σ. μοι τὸ ἐν. V* ‖ *τὸ - ἐν.] ἐν. δὲ τί P* ‖ *τὸ] scr τοῦτο?* (ſ) ‖ [3] *θυγατέραν V* ‖ *ὡς] ὃ RU* ‖ [4] *ἀπήτη U* praecipit ſ: *cf 209, 9* ‖ *πεπ.] ποτὲ add V* ‖ [5] *ὑπῆρχον P: cf 8* ‖ [6] *ἠξ. με] ἤτουν P: cf 115, 13; 137, 6; 205, 1; al* ‖ [6–7] *καλ. - θ. α.]* conuiuium parauerunt ei et filiae eius ſ ‖ *καλ. α.] τὴν ἐμὴν στῆλαι γυναῖκα P* ‖ [7] *α. θυγ. P: cf 11* ‖ *μοι] ὡς εἶπον add P: cf 119, 12* ‖ [7–8] *ἐτύγχανον φ. P: cf 5* ‖ [8] *παρ. τούτους οὐκ ἠδυνάμην P* ‖ *ἠδυνήθησαν V* ‖ *ἀπ.] ἑκατέρας P: cf c 129 i* ‖ [8–9] *αὐτ. - ἀπ.] ἀπ. ἔπεισα P* ‖ [8] *αὐταῖς R* ‖ [9] *καίπ.* (ſ) *om RU* ‖ *οὐ RU* ‖ *βουλευομέναις R* ‖ *συν.] ἀπέστειλα σὺν P: cf 114, 1* ‖ [10] *αὐτοῖς V: scr αὐτῇ?* (ſ) ‖ *ἀπῆλθον R* ‖ [11] *αὐτὴ] ἥ τε ἐμὴ γαμετὴ P* ‖ *ταύτης θ. P: cf 7* ‖ [12] *καὶ] τοῦ add P* ‖ *ἐνστάντος UV (recte??) ἐκστάντος R: scr ἐπιστάντος? cf 119, 4; 174, 1* ‖ *ἀν.] αὐτὰς add P* ‖ [13] *ἐκ P: cf 180, 21* ‖ [14] *ἑστήκην R ἱστάμην V* ‖ [15] *ἔ. - μου] τὴν ἐμὴν γαμετὴν (cf 11) ἅμα τῇ θυγ. μου θε. P* ‖ *θε.] ἀσπάσομαι U* et acciperem *add* ſ ‖ *ἑστ.] εὐθέως P* dum sto ibi ſ *ἐπὶ ὥραν ἱκανὴν add V* ‖ [16] *ὠλολύζουσαν P* et uocem fletus *add* ſ ‖ *οὐ. α. om P iterat* ſ ‖ *⟨καὶ⟩ Οὐαὶ?* (ſ) ‖ *αὐτὴν RV καὶ add RU(V)* ‖ *π.] δὲ add P* ‖ *στ.] οὕτως add P ταῦτά μοι add RUV* ‖ [18] *ἤ. - γεν.] ἥκασιν το συμβᾶν ἀπαγγέλλοντες P: cf 180, 5; 167, 8* ‖ *γεν.] ὅτι add V* ‖ *φ. ἴδωμεν V* ‖ *scr φασιν?? cf Io 153, 26; al* ‖ [19] *τινα om R* ‖ *κ. π. σ. α.]* et alter puer erat cum eo qui erat similis ei ſ: *cf 180, 17* ‖ [20] *τ. χ. αὐτοῦ V: cf 150, 19* ‖ *τὰς χεῖρας P* ‖ *γυναῖκαν V*

ὁ παῖς ἐπὶ τὴν θυγατέρα σου, αἱ δὲ ἔφυγον ἀπ' αὐτῶν· ἡμεῖς 202 W δὲ τοῖς ξίφεσιν ἐτρώσαμεν αὐτούς· τὰ δὲ ξίφη ἡμῶν εἰς γῆν ἔπεσον. καὶ αὐτῇ τῇ ὥρᾳ κατέπεσον αὐταὶ ταῖς ὀδοῦσι τρίζουσαι καὶ τὰς κεφαλὰς εἰς γῆν κρούουσαι· καὶ ταῦτα εἰδότες ἤλθομεν ἀναγγεῖλαί σοι. Ταῦτα δὲ παρὰ τῶν δούλων ἀκούσας ἐγὼ τὴν ἐσθῆτα περιέρρηξα, καὶ τὰς χεῖρας ἐπὶ τὴν ὄψιν ἐπάταξα, καὶ ὥσπερ ἐμμανὴς γενόμενος ἔτρεχον τὴν ὁδόν· καὶ ἀπελθὼν εὗρον αὐτὰς ἐρριμμένας ἐν τῇ ἀγορᾷ· καὶ λαβὼν αὐτὰς ἤγαγον εἰς τὴν οἰκίαν μου, καὶ μετὰ πολλὴν ὥραν ἐνήψαν, καὶ κατασταθεῖσαι ἐκαθέσθησαν.

64 ἠρξάμην οὖν ἐξετάζειν τὴν γυναῖκά μου· Τί ἐστιν τὸ συμβάν σοι; Ἡ δέ μοι ἔφη· Οὐκ ἔγνως ἃ διεπράξω ἐν ἐμοί; ἐδεόμην γάρ σου μὴ ἀπιέναι εἰς τὸν γάμον, ἐπειδὴ ἀνωμάλως εἶχον τῷ σώματί μου· καὶ ἀπιοῦσα κατὰ τὴν ὁδόν, ἐγγὺς γενομένη τοῦ ἀγωγοῦ ἐν ᾧ τὸ ὕδωρ ἔρρεεν, ἔβλεπον ἄνδρα 46 B μέλανα ἑστῶτα ἀντικρύς μου, τῇ κεφαλῇ αὐτοῦ ὑπογρυλίζοντά με, καὶ παῖδα ὅμοιον αὐτοῦ παρεστῶτα. καὶ εἶπον τῇ θυγατρί μου· Ἄπιδε εἰς τοὺς ἄνδρας τούτους τοὺς δύο τοὺς δυσειδεῖς, ὧν οἱ ὀδόντες αὐτῶν ὥσπερ γάλα, τὰ δὲ χείλη αὐτῶν ὡς ἀσβόλη. Καὶ καταλείψασαι αὐτοὺς πρὸς τὸν ἀγωγὸν ἀπήλθομεν. δύσεως δὲ γενομένης καὶ ἀπὸ τῶν γάμων ἀνα-

[1] *θυγατέραν RV* || *σου om V* || *ἔφ.*] cum horrore *add* ſ || [3] *ἔπεσαν U* (*cf q s*) *ἔπεσεν R* || *κατέπεσαν U καὶ add V* || *αὗται P* mulieres ſ || *τοῖς UV recte: cf 19; 107, 8* || [4] *εἰς*] *τὴν add P: cf 2-3* || [4–5] *καὶ τ. ε.*] *τ. οὖν ε. R αὐτὰ οὖν τ. ε. U ἡμεῖς δὲ τ. ε. V* || [5] *εἰδ.*] *θεασάμενοι V om RU* ſ: *scr ἰδόντες? del? cf 167, 8* || *ἀπαγγεῖλαι R: cf 179, 18* || [6] *διέρρηξα P: cf 179, 17* || *ταῖς χερσὶν* (*om ἐπὶ*) *P: cf 211, 8; c 137 e; cf etiam 132, 1* [7] *γεν. om RU* ſ: *del? cf 157, 21; Aa 39, 6; al* || *scr περιέτρεχον??* (ſ) *τ. ὁδ. om PRU* in platea ſ: *del??* ‹*εἰς*› (*uel* ‹*κατὰ*› *cf 14; 185, 18*) *τὴν ὁδόν?* || [9] *ἤγ. post μου P* || *ἡμέραν V* || [10] *ἀνένηψαν U* ad sese redierunt ſ || *κ. κ. ἐκ.*] et refeci (et) assidere iussi ſ || *κατ.*] *καὶ εἰς ἑαυτὰς γενάμεναι add P* || [11–12] *ἐξ. - σοι*] *πρὸς τ. γυν. μ. τὸ συμβ. ἐξ. P* || [11] *γυναῖκαν RV* || [12] *ἡ - ἔφη*] *καὶ φησίν P* || *μοι* (ſ) *om V* || *οἶδας P* || [13] *ἐδ. - γάμ.*] *οὐκ ἐπὶ τὸ μὴ ἀπ. ἡμᾶς παρεκάλουν σοι P* || *ἀπελθεῖν V: cf 14* || [13–14] *ἐπ. - μου*] *ἀν. γὰρ ἐπὶ τῷ ἀπιέναι εἶχον ἐκεῖ P* || [14] *καὶ*] *ὅμως οὖν P* || *κ. τ. ὁδ.*] *καὶ P* || *ἐγγ.*] *δὲ add RU: cf 181, 1* || [15] *τ. ἀγ. γεναμένων ἡμῶν P* || *εἶδον P* || [16] *μέλαινα P μέλαν RV* || *ἄντικρυ ἡμῶν P: cf 119, 6* || [16–17] *αὐτ. με ὑπ. κεφ. P* || [17] *μοι R* || *καὶ prius*] alterum *add* ſ: *cf 179, 19* || *παῖδα*] *αὐτοῦ add RU* || [17–18] *ε. τ. θ. μ.*] *πρὸς τὴν ἡμῶν θυγατέρα ε. P* || [18] *ἴδε P* | *τ. δύο τούτ. ἄ. τ.* (*om tertio τοὺς*) *P: cf 207, 10* || *δυσ.*] et filia mea dixit mihi: Vidi puerum *add* ſ || [19] cuius ſ || *αὐτῶν alt om RUV* eius ſ: *del?* || [20] carbones ſ || *καταλειπόντες P: cf 109, 13; 181, 1-2* || [21] *ἡλίου δὲ δύνοντος P* || [21–181,1] *ἀν. δι. ἡμ.*] *ἡμ. ἐπανιόντων P*

λύσασαι, διερχομένων ἡμῶν σὺν τοῖς νεανίσκοις, ἔγγιστα γενομένων τοῦ ἀγωγοῦ, ἡ θυγάτηρ μου πρότερον εἶδεν αὐτούς· καὶ διαλαθοῦσα προσέφυγέν μοι· καὶ μετὰ ταύτην κἀγὼ αὐτοὺς ἐθεασάμην ἐρχομένους κατέναντι ἡμῶν, καὶ ἐφύγαμεν ἀπ᾽ αὐτῶν· οἱ δὲ παῖδες οἱ ὄντες μεθ᾽ ἡμῶν κρούσαντες ἡμᾶς κατέβαλον ἐμέ τε καὶ τὴν θυγατέρα μου. Καὶ ταῦτα αὐτῆς διηγησαμένης 203 W *μοι ἐπῆλθον αὐταῖς πάλιν οἱ δαίμονες καὶ κατέβαλον αὐτάς· καὶ ἀπ᾽ ἐκείνης τῆς ὥρας προελθεῖν οὐ δύνανται ἔξω, ἐγκεκλεισμέναι οὖσαι ἐν ἑνὶ οἴκῳ ἢ δευτέρῳ. καὶ διὰ ταύτας πολλὰ ἐγὼ πάσχω καὶ ἀνιῶμαι· καταβάλλουσιν γὰρ αὐτὰς ὅπου ἐὰν εὕρωσιν καὶ ἀπογυμνοῦσιν. δέομαί σου καὶ ἱκετεύω ἔμπροσθεν τοῦ θεοῦ, βοήθησον καὶ ἐλέησόν με. τρία γὰρ ἔτη εἰσὶν ἀφ᾽ οὗ τράπεζα ἐν τῇ οἰκίᾳ μου οὐκ ἐτέθη καὶ ἡ γυνή μου καὶ ἡ θυγάτηρ μου εἰς τράπεζαν οὐκ ἐκάθισαν· καὶ μάλιστα διὰ τὴν θυγατέρα μου τὴν ἀθλίαν, ἣ οὐδ᾽ ὅλως τι ἀγαθὸν εἶδεν ἐν τῷ κόσμῳ τούτῳ.*

65 *Ταῦτα ἀκούσας ὁ ἀπόστολος παρὰ τοῦ στρατηλάτου*

---

[1] *ἡμ.] ἦμεν add RV* ‖ *σ. τ. ν.] μετὰ τῶν συνόντιων νεανίσκων ἡμῶν P* ‖ *ἔ.] ἔ. δὲ UV (cf 180, 14) καὶ ἔ. P* ‖ [1–2] *τ. ἀγ. γενόμενοι P* ‖ [1] *γ. om R* ‖ [2] *μου] ἡμῶν P* ‖ *πρώτη RU: cf 3* ‖ [3] *διελθοῦσα R θορυβηθεῖσα V* ‖ *κ. μ. τ.] εἶθ᾽ οὕτως P* post eam ſ ‖ *ἐγὼ RUV* ego quoque ſ ‖ [4] *ἐρχ. κ. ἡ.] πρὸς ἡμᾶς ἐ. P* ‖ *ἔναντι U* ‖ *ἐφύγομεν RV φυγάδαι γεγόναμεν P: scr ἔφυγον?* (ſ) ‖ [5] *ἀπ᾽] ἐξ P* ‖ *οἱ δὲ μ. ἡ. ὄ. π. (om alt οἱ) P* ‖ *δὲ del?* (ſ) ‖ *ἡμῶν· <οἳ δὲ>?* (ſ?) ‖ [5–6] *κρ. - μου]* et mulcarunt me et filiam meam et abiecerunt nos ſ ‖ [5] *ἡμᾶς om P* ‖ [5–6] *ἐ. τε κ. τ. σὴν θ. κατ. P* ‖ [6] *κατέβαλλον R: cf 7* ‖ *θυγατέραν RV* ‖ *μου] ἔρριψαν add RUV* ‖ [7] *ἐπελθόντες P* ‖ *αὐτὰς U om P πάλιν om PRU: del? cf* ſ *et 163, 13* ‖ *οἱ δ. om* ſ ‖ *καὶ om P* ‖ *κατέβαλλον R (cf 6)* iterum *add* ſ ‖ [8] *οὐ δ. ἔ.] ἔ. τῆς οἰκίας οὐ δ. P non nulla add* ſ ‖ *δύναται RV* ‖ *ἔξω] ἀλλ᾽ add R* ‖ [9] *ἐγκ. - δευτ. om P* inclusae sunt a me in conclaui intra alterum (conclaue) ſ ‖ [9–10] *καὶ - ἀν.]* propter risum qui per eas factus sum ſ: *cf 225, 7* ‖ [9] *διὰ τ.] τούτου ἕνεκεν P* ‖ [10] *π. ἐ. π] πάσχω ἐπὶ πολλὺ ἐ. V* ‖ *π. ἐ. om RU* ‖ *πάσχω κ. om P* ‖ *ἀν.] καὶ τῇ λύπῃ λίαν καταβαπτίζομαι add P (cf 15) πάνυ add V* ‖ [10–11] *κατ. - εὑρ.] καὶ γὰρ (cf 215, 10) ὅπου δ᾽ ἂν (cf 151, 1) εὑρ. α. καταβάλλωσιν P* ‖ [11] *κ. ἀπ.] ἀπογυμνοῦντες RU* ‖ *δ.] δ. οὖν U recte ut uid* (ſ) *καὶ δ. P* ‖ *σε U om P καὶ παρακαλῶ add P: cf 170, 8; 177, 1* ‖ [11–12] *ἱ. ἔ.] ἔ. ἱ. σε P* ‖ [12] *ἔ. τ. θ. om* ſ ‖ *βοήθ.] με add U* ‖ [13] *εἰσὶν om RU: del??* ‖ [14] *μου prius om RU* ‖ [15] *κ. μάλ.* (ſ)] *περισσοτέρως δὲ οἶδα (cf 139, 4) τῇ λύπῃ καταβαπτίζεσθαι P: cf 10* ‖ *τ. ἀ. μ. θυγ. (om alt τὴν) P: cf 207, 10* ‖ [15–16] *ἣ - τούτῳ] οὐδέπω γὰρ κατὰ τὸν ὧδε (cf 192, 6) ἔφθασεν κόσμον χαρῆναι P* quae nullam uoluptatem cepit ſ ‖ [16] *εἶδεν τι ἀγ. R* ‖ [17] *παρὰ] ἀπὸ RUV: cf 227, 3; 122, 6; 180, 5; c 130i; 137e*

*πάνυ ἐλυπήθη περὶ αὐτοῦ· εἶπεν δὲ πρὸς αὐτόν· Πιστεύεις
ὅτι θεραπεύει αὐτὰς ὁ Ἰησοῦς; Ὁ δὲ στρατηλάτης Ναί |*
47 B *φησιν· καὶ ὁ ἀπόστολος· Παράθου οὖν τῷ Ἰησοῦ σεαυτόν,
καὶ αὐτὸς αὐτὰς θεραπεύει, ποιούμενος αὐτῶν βοήθειαν.
Εἶπεν δὲ ὁ στρατηλάτης· Δεῖξόν μοι αὐτόν, ἵνα δεηθῶ αὐτοῦ
καὶ πιστεύσω εἰς αὐτόν. Εἶπεν δὲ ὁ ἀπόστολος· Οὐ φαίνεται
τούτοις τοῖς ὀφθαλμοῖς τοῖς σωματικοῖς, ἀλλ' ἐν τοῖς ὀφθαλ-*
204 W *μοῖς τῆς ἐννοίας εὑρίσκεται. Ἐπάρας οὖν τὴν φωνὴν αὐτοῦ
ὁ στρατηλάτης εἶπεν· Πιστεύω σοι Ἰησοῦ, καὶ δέομαί σου καὶ
ἱκετεύω, βοήθησον τῇ ὀλιγοπιστίᾳ μου ᾗ εἰς σὲ ἔχω. Παρε-
κελεύσατο δὲ ὁ ἀπόστολος Ξενοφῶντι τῷ διακόνῳ συναγαγεῖν
πάντας εἰς ἕν· συναθροισθέντος δὲ παντὸς τοῦ ὄχλου ὁ ἀπό-
στολος ἑστὼς ἐν μέσῳ ἔλεγεν·*

66 *Τέκνα μου καὶ ἀδελφοὶ οἱ εἰς τὸν κύριον πιστεύσαντες, παραμείνατε ἐν ταύτῃ τῇ πίστει, εὐαγγελιζόμενοι Ἰησοῦν τὸν ἐξ ἐμοῦ ὑμῖν καταγγελθέντα, ἔχοντες ἐν αὐτῷ τὰς ἐλπίδας· καὶ μὴ ἀπολειφθῆτε αὐτοῦ, καὶ οὐ καταλιμπάνει ὑμᾶς. καθευδόντων ὑμῶν ἐν τῷ ὕπνῳ τούτῳ τῷ καταβαροῦντι τοὺς καθεύ-*

9 cf Marc 9, 24

---

1 *περὶ α. ἐλ. P* ‖ *αὐτῶν UV* ‖ *πρὸς α.] αὐτῷ RU τῷ στρατηλάτι V ὁ ἀπόστολος add P* ‖ 1–2 *πιστ. - Ἰ.]* si credis domino meo Iesu Christo, posse eum sanare eas, uidebis earum salutem ſ si credideris. sanabitur filia coniunxque tua m ‖ 2 *θεραπεύσει P* ‖ *αὐτ.] τοῦτο P* ‖ *ὁ Ἰ.] ἰησοῦς ὁ χριστὸς P* ‖ 2–3 *ὁ δὲ - ἀπ.] al et plura* ſ ‖ 3 *σαυτὸν τῷ ἰησ. V* ‖ *ἑαυτὸν RU* ‖ 4 *θεραπεύσει τὴν βο. αὐτ. ποι. P* ‖ 5–6 *α. ἵ. - πιστ.]* quomodo possim orare eum et credere ſ ‖ 5 *αὐτοῦ] αὐτὸν U* ‖ 6 *ε. α.] αὐτῷ R* | *εἶπεν - ἀπ.] λέγει αὐτῷ ὁ ἀπ. V ὁ δὲ ἀπ. ἔφη RU* ‖ 6–8 *οὐ - εὑρ.] al et plura* ſ ‖ 6–7 *φ. - σωμ.] τ. ὀφθ. τ. σωμ. τούτ. ὁρᾶται P: cf 7 - 8* ‖ 7 *τ. σωμ. ὀφθ. (om alt τοῖς) V: cf 207, 10* ‖ *ἀλλὰ R* ‖ 7–8 *ὀ. τ. ἐνν. εὑ.] νοεροῖς οἶδεν φαίνεσθαι (cf 139, 4) ὀ. P* ‖ *τ. ἐνν. ὀφθ. V* ‖ 8 *τ. ἐνν.] τῶν πιστῶν R* | 9 *σοι Ἰ.] κύριε ἰησοῦ χριστὲ P plura add* ſ ‖ 10 *ᾗ - ἔ.]* et timori meo, nam ad te refugio ſ ‖ *ᾗ P ἣν U* ‖ 10–11 *ὁ δὲ ἀπ. π. V* ‖ 11 *ξεν. τῷ δ. αὐτοῦ (recte?* suo ſ) *ὁ ἀπ. R* ‖ Xanthippo ſ: *cf 183, 7; 184, 18* ‖ 12 *σ. - ὄ.]* cumque coegisset eos ſ qui cum uenissent m ‖ *παντὸς om P: del?* ‖ *λαοῦ R* ‖ 12–13 *στὰς ὁ ἀπ. ἐν μ. αὐτῶν V* apostolus uenit et stetit in medio eorum ſ ‖ 13 *ἐν μ. ἑστ. P* ‖ 14 *οἱ - πιστ.]* in domino nostro Iesu ſ ‖ *κύρ.] ἡμῶν ἰησοῦν χριστὸν add V* ‖ 15 *εὐ. Ἰ.] corrupta?* et confidite in domino nostro Iesu Christo ſ ‖ 16 *ἐξ] ὑπὸ R: cf 165, 9; 196, 19* ‖ *κατ. ὑμ. P* | *εἰς αὐτὸν P* ‖ 17 *αὐτοῦ] ποτε add P* ‖ 17–18 *κατ. ὑ. καθ. ὑμῶν] μὴ καὶ αὐτὸς καθ. ὑμῶν καταλείπῃ P* ‖ 17 *καὶ alt]* quia ſ ‖ *οὐκ ἐγκαταλιμπάνει R: cf 154, 11; 183, 7* ‖ *καθ.] ἀλλὰ καθ. V ⟨καὶ⟩ καθ.??* ‖ 18 *τ. καθ. om P τούτῳ τῷ κατ. ὑμᾶς ὕπνῳ (om alt τῷ) P: cf 207, 10* ‖ *βαροῦντι U* ‖ *τ. καθ. om P*

δοντας αὐτὸς ἄυπνος ὢν διαφυλάσσει· καὶ ἐν θαλάσσῃ πλεόν-
των ὑμῶν καὶ ἐν κινδύνῳ ὄντων καὶ οὐδενὸς βοηθεῖν δυνα-
μένου αὐτὸς περιπατῶν ἐπὶ τῶν ὑδάτων ὑπορθοῖ βοηθῶν.
ἐγὼ γὰρ ἤδη ἄπειμι ἐξ ὑμῶν, καὶ ἄδηλόν ἐστιν εἰ ἔτι ὄψομαι
ὑμᾶς κατὰ σάρκα. μὴ οὖν καὶ ὑμεῖς ἐξομοιωθῆτε τῷ λαῷ
Ἰσραήλ, οἵτινες ἀπιδόντες τοὺς ποιμένας πρὸς ὥρας καιρὸν
ἐσκανδαλίσθησαν. Ξενοφῶντα δὲ τὸν διάκονον καταλιμπάνω
πρὸς ὑμᾶς εἰς τὸν τόπον μου· καὶ γὰρ καὶ αὐτὸς ὥσπερ κἀγὼ
καταγγέλλει τὸν Ἰησοῦν· οὔτε γὰρ ἐγώ εἰμί | τι οὔτε αὐτός, 48 B
ἀλλὰ Ἰησοῦς· καὶ γὰρ κἀγὼ ἄνθρωπός εἰμι σῶμα ἐνδεδυμένος,
υἱὸς ἀνθρώπου ὡς εἷς ἐξ ὑμῶν· οὔτε γὰρ πλοῦτον ἔχω ὡς
ἐνίοις εὑρίσκεται, ὃς καὶ τοὺς κεκτημένους ἐλέγχει ἀποίητος
παντάπασιν ὑπάρχων καὶ καταλιμπανόμενος ἐπὶ τῆς γῆς ἀφ' ἧς 205 W
καὶ ἐγένετο· τὰ δὲ ἐκ τούτου τοῖς ἀνθρώποις συμβαίνοντα
παραπτώματα καὶ τὰς κηλῖδας τῶν ἁμαρτιῶν συναποφέρεται.
σπανίως δὲ πλούσιοι εὑρίσκονται ἐν ἐλεημοσύναις· οἱ δὲ ἐλεή-

[3] cf Io 6, 19 ‖ [6] cf exod 32 ‖ [16] cf Matth 5, 7

[1] ὢν] ὑμᾶς *add R* ‖ διαφ.] πάντας ἡμᾶς *add P*: <ὑμᾶς>? (ſ) *cf R* ‖ καὶ *om P* ‖ ἐν] τε τῇ τοῦ βίου τούτου *add P* ‖ θαλ.] ποτὲ *add V* ‖ [2] ἡμῶν *PV* ‖ ὄ.] ἡμῶν ὄ. *P* ὄ. ἡμῶν *R* ‖ [2–3] κ. οὐδ. - βοηθῶν] ἀεὶ βοηθεῖν οἶδεν ἡμᾶς *P*: *cf 139, 4* ‖ [3] ὑπ. βο.] ἐπέστη ἡμῖν βυ. *V* ‖ [4] ἤδη] αὐτὸς *RU om V* tum ſ ‖ ἐξ ὑ. ἄπ. *P* ‖ [4–5] ὄψ. - σ.] κ. σ. ὄψ. πάλιν ὑμ. *P* ‖ [6] ἀπ. τ. π.] τὸν ἴδιον ποιμένα καταλιπόντες *P*: *scr* ἀπιόντος (*cf 4*) τοῦ ποιμένος? (ſ) ‖ ἀπ.] Mose *add* ſ ‖ [6–7] πρὸς - ἐσκ.] τῇ τούτων παρεδόθησαν ἀπολείᾳ *P* ‖ [7] Ξεν.] λοιπὸν *R* Xanthippum ſ: *cf 182, 11* ‖ [7–8] εἰς τ. ἐμὸν καταλ. τόπ. ὑμᾶς (*om* πρὸς) *P* ‖ [8] κ. γ. κ.] κ. γ. *R* ‖ ὡς *P* ‖ [9] τ. ἰησ. κατ. *P*: *scr* καταγγελεῖ?? (ſ) *cf 182, 4; al* ‖ [9–10] οὔτε γ. - Ἰ. *om* ſ ‖ [9] εἰμί] ἀφ' ἑαυτοῦ οἶδα λέγειν *P*: *cf 139, 4* ‖ τι *om R* ‖ αὐτός] ἄλλος *U* ‖ [10] ἀλλὰ] ἀλλ' ὁ *P* ‖ κἀγὼ] ἐγὼ αὐτὸς *RUV* ‖ [10–11] σῶμα - ἐξ] σάκρα φορῶν ὡς καὶ ὑμεῖς καὶ ὡς εἷς οἶδα τυγχάνειν (*cf 139, 4*) *P* ‖ σῶμα - ἀνθ. *om* ſ: *del??* [10] σῶμα] θνητὸν *add V* ‖ ἐνδ.] καὶ *add V* καὶ παθεῖν ὑπὲρ αὐτὸν διψῶ καὶ λόγχαις τὸ τέλος πρὸς αὐτόν με διαβῆναι *add dein sine ullo lacunae indicio sequuntur illa* ἔτι δὲ νυκτὸς οὔσης *c 156 i R*

PUV [11] ο. γ.] καὶ ο. *V*: *scr* οὐδὲ γ.? ‖ ἔχωμεν *U* κέκτημαι *P* habeo ſ ‖ ὡς *alt*] *scr* ὃς? (ſ) ‖ [12] ἐ. ε.] ἔνιοι τοῦτον ἔχειν ὀρέγουσι *P* ‖ ἐλ.] οἶδεν ἐλέγχειν ὡς *P*: *cf 139, 4* ‖ ἀποίητον *P*: *scr* ἀνόνητος? (ſ): *cf 117, 11* ‖ [13] ὑπ.] ὄντα τῷ βίῳ *P* ‖ [13–15] κ. κατ. - συναπ.] *al V* ‖ [13–14] κ. κατ. - ἐγ.] κ. γὰρ ἀπὸ γῆς (γ *ex* τ: *l* τῆς γῆς *cf 170, 7*) ἔρχεται καὶ εἰς τὴν γῆν πάλιν ἀφείεται *P* ‖ [13] κ. κατ.] quoniam relinquit eum ſ: *scr* καὶ γὰρ καταλιμπάνει αὐτὸν?? ‖ [14] ἐκ - συμβ. (ſ) *om U* ‖ [15] κ. τ. κ. τ. ἁμ. *om P* ‖ συναπίονται *P* ‖ [16] σπ. δὲ] ἀλλὰ καὶ σπ. *P* (*cf 213, 26*) sunt quidam (tantum) qui sint diuites et benigni ſ ‖ πλούσιος εὑρίσκεται ἐλεήμων *P* ‖ [16–184, 2] οἱ δὲ - θεοῦ *om* ſ ‖ [16] οἱ δὲ ἐλ. *om V*

μονες καὶ ταπεινοὶ τῇ καρδίᾳ αὐτοὶ κληρονομήσουσιν τὴν βασιλείαν τοῦ θεοῦ. οὐ γὰρ τὸ κάλλος τοῖς ἀνθρώποις παράμονόν ἐστιν· οἱ γὰρ τούτῳ θαρροῦντες τοῦ γήρους καταλαμβάνοντος αἰφνιδίως καταισχυνθήσονται. πάντα οὖν καιρὸν ἔχει· καιρῷ οὖν φιλεῖται καὶ καιρῷ μισεῖται. ἔστω οὖν ἡ ἐλπὶς εἰς Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ τὸν ἀεὶ φιλούμενον καὶ ἀεὶ ποθούμενον. καὶ μέμνησθε ἡμῶν ὡς καὶ ἡμεῖς ὑμῶν. ἡμεῖς γὰρ αὐτοῖς ἐὰν μὴ τὸ τῶν ἐντολῶν φορτίον τελέσωμεν, οὐκ ἄξιοί ἐσμεν κήρυκες εἶναι τοῦ ὀνόματος τούτου, καὶ ὕστερον τιμωρίαν ἀποτίσομεν τῆς ἑαυτῶν κεφαλῆς.

67 *Καὶ συνευξάμενος αὐτοῖς, πολλὴν ὥραν παραμείνας τῇ εὐχῇ καὶ τῇ δεήσει, παραθέμενος αὐτοὺς τῷ κυρίῳ εἶπεν· Κύριε ὁ δεσπόζων πάσης ψυχῆς τῆς ἐν σώματι οὔσης· κύριε πάτερ τῶν ψυχῶν τῶν εἰς σὲ τὰς ἐλπίδας ἐχουσῶν καὶ προσδεχομένων τὰ ἐλέη σου· ὁ λυτρούμενος ἀπὸ τῆς πλάνης τοὺς ἰδίους ἀνθρώπους καὶ ἐλευθερῶν ἀπὸ τῆς δουλείας καὶ φθορᾶς τοὺς ὑπηκόους καὶ ἐρχομένους εἰς τὸ καταφύγιόν σου· σὺ γενοῦ ἐν τῇ ποίμνῃ τοῦ Ξενοφῶντος, καὶ ἀλείψας αὐτὴν ἐλαίῳ ἁγίῳ θεράπευσον ἀπὸ τῶν ἑλκῶν καὶ διατήρησον*

[1] cf Matth 11, 29; 5, 4 ‖ [4] cf Eccles 3, 1; 8

[1–2] *τὴν τ. θ. κληρ. β. P* ‖ [2–3] *οὐ - π. ἐ.*] neque est mihi ulla uenustas humana ſ ‖ [2] *οὐ γὰρ*] *ἀλλ' οὐδὲ V* ‖ [3] *ἐ. π. V ἐπὶ πολὺ παραμένει P: cf 154, 3* ‖ *οἱ - θαρρ. om P* ‖ *τ. γ. κ. om* ſ ‖ *τοῦ*] *γὰρ add P* | [4] *καταισχύνεται P non nulla add* ſ ‖ *οὖν*] enim ſ ‖ [4–5] *καιρ. ἔ.*] quae sunt mundi ſ ‖ [5] *οὖν prius om* ſ: *del?* ‖ *οὖν alt*] *δὲ V* ſ ‖ [6] *ἐλπὶς*] *ὑμῶν add V: recte?* ‖ *χρ. ἰησ. P* ‖ [6–7] *τ. ἀ. - ποθ.*] et adhaerescite nobis ſ ‖ [7] *καὶ prius*] *τὸν V* ‖ *ἀεὶ om P* ‖ *ποθ.*] *τὸν ἀεὶ προσδοκούμενον add V* ‖ *ἡμ. μ. V* | [7–8] *κ. ἡ. ὑ.*] seruis dei ſ ‖ [8–10] *ἡμ. - κεφ. om V* ‖ [8] *ἡμ. γ.*] *καὶ γ. P: scr καὶ γ. ἡμ.??* (ſ?): *cf 215, 10* ‖ *αὐτ. om P: scr αὐτοὶ? del?* ‖ *φ. τ. ἐντ. U* ‖ [9] *scr φορέσωμεν??* (ſ) ‖ *οὐκ - εἶναι*] dignum ſ ‖ *τ. ὀν. ε. P* ‖ *τούτου*] *τοῦ χριστοῦ P* ‖ [10] *καὶ*] *ἀλλὰ καὶ P: cf 213, 26* ‖ *ὕ. - ἑ.*] *τὴν τιμ. ὕστ. ἐκεῖ τ. ἑ. ἀποτ. P* ‖ *τῇ ἑ. κεφαλῇ Vsener om* ſ: *cf 191, 1 Burkitt J of theol studies I* (*1900*) *p 283* ‖ [11] *συν. - ὥρ.*] *ἐπὶ ὥρας πολλὰς αὐτ. ἐπευξάμενος P* ‖ [11–12] *παραμ. - δε. om P* ſ: *del?* ‖ [12] *παρ. αὐτ. om P* ‖ [13–14] *κ. ὁ - πάτερ*] domine omnium ordinum creaturae qui te exspectant et deus omnium ſ ‖ [13] *ὁ - οὔσ.*] *emendanda uid ex 147, 10* ‖ *σώμασιν U fort uerum: cf 147, 10* ‖ *κύρ. alt*] *καὶ ἅγιε V* ‖ [14] *ψ. - ἐχ.*] *εἰς σὲ τ. ἐ. ἐχόντων ψ. P: cf 109, 13 Burkitt l s* (*10*) *p 285* ‖ [15] *προσδ. - ὁ om P* ‖ *τὰ - ὁ om U* ‖ *τ. πλ.*] *παντὸς πειρασμοῦ P* ‖ [16] *ἀνθρ.* (ſ)] *αὐτοῦ δούλους τοὺς ἐν τῇ σκέπῃ τῆς σῆς καταφεύγοντας ἀντιλήψεως P: cf 17* ‖ *ἐλ. - δουλ.*] *τούτους ἐκ τ. κατεχούσης δουλ. λυτρούμενος P* ‖ [17–18] *τοὺς - σου om P* ‖ [17] *τοὺς* <*σοὺς*>*?? cf 150, 2; 191, 8; c 126e* ‖ [18] *Ξεν.*] Xanthippi ſ (*cf 182, 11*) *προστάτης add P ποιμὴν καὶ διδάσκαλος καὶ ἰατρὸς add V* ‖ [18–19] *ἀλ. - ἑλκ.*] *ἀντιλήπτωρ P* | [19] *ἐλ. ἀγ.*] oleo uitae ſ *om U* ‖ *ἑλκ.*] *καὶ τῶν νόσων add V*

αὐτὴν ἀπὸ τῶν λύκων τῶν διαρπαζόντων. Καὶ ἐπιθεὶς αὐτοῖς τὴν χεῖρα εἶπεν· Ἔσται ἐφ' ὑμᾶς ἡ εἰρήνη τοῦ κυρίου καὶ ἡμῖν συνοδεύσει.

Πρᾶξις η' περὶ τῶν ὀνάγρων.

68 Ἐξῆλθεν οὖν ὁ ἀπόστολος ἀπιέναι κατὰ τὴν ὁδόν· 206 W
καὶ πάντες δακρύοντες προέπεμπον αὐτὸν ἐνορκίζοντες αὐτὸν μνήμην αὐτῶν ἔχειν ἐν ταῖς δεήσεσιν αὐτοῦ καὶ μὴ ἐπιλανθάνειν αὐτῶν. ἀνελθὼν οὖν καὶ καθεσθεὶς ἐπὶ τοῦ ὀχήματος, πάντων τῶν ἀδελφῶν ἀπολειφθέντων, προσελθὼν ὁ στρατηλάτης διήγειρεν τὸν ἡνίοχον | λέγων· Ἐγὼ δέομαι καὶ 49 B
εὔχομαι ἄξιος γενέσθαι ὑπὸ τοὺς πόδας αὐτοῦ καθεσθῆναι, καὶ γενήσομαι αὐτοῦ ἡνίοχος κατὰ τὴν ὁδὸν ταύτην, ἵνα καὶ αὐτὸς γένηταί μου παραπομπὸς εἰς ἐκείνην τὴν ὁδὸν δι' ἧς ὀλίγοι πορεύονται.

69 Ὁδευσάντων οὖν αὐτῶν ὡσεὶ μίλια δύο ἐδεήθη ὁ ἀπόστολος τοῦ στρατηλάτου, καὶ ἀναστήσας αὐτὸν συγκαθεσθῆναι ἐποίησεν αὐτῷ, ἐπιτρέψας τῷ ἡνιόχῳ εἰς τὸν ἴδιον τόπον καθεσθῆναι. ἡνίκα δὲ ἀπήεσαν κατὰ τὴν ὁδόν, συνέβη ἐκ τοῦ πολλοῦ καύσωνος κεκοπιακέναι τὰ ὑποζύγια καὶ μὴ δυνάμενα ὅλως σαλευθῆναι. ὁ δὲ στρατηλάτης περίλυπος γενόμενος πάνυ ἠθύμει, ἐνθυμούμενος τοῖς ἰδίοις ποσὶν δρόμῳ

2 cf Matth 7, 19; act 20, 29 ‖ 13 cf Matth 7, 14

1 λ.] et latronibus *add* ſ ‖ τ. δ.] ne eum arripiant ex illius manu ſ ‖ δι.] *φθορέων καὶ δι. V* ‖ 2 *scr τὰς χεῖρας?? (cf 165, 16)* manum suam ſ ‖ *ἡμᾶς V* ‖ *ὑμῖν V* ‖ 3 *συν.] οἱ δὲ εἶπον ἀμήν add V: cf 146, 19; 165, 12* ‖ 4 *π. τ. ὀ. πρ. η' P om V* ſ ‖ 5 *ἀπόστ.] μετὰ τοῦ στρατηλάτου add P* ‖ *ἀπ. κ. τ. ὁ.] κ. τ. αὐτοῦ πόλιν ἀπ. βουλόμενος P* ‖ 6 *κ. π. δ.] πρ. δὲ π. α. μετὰ δακρύων P* ‖ *ἐν. α.] ὅρκοις α. καθυποβάλλοντες P* ‖ 7 *μν.] αὐτὸν ὑπὲρ add P* ‖ *ποιεῖσθαι P* ‖ 7–8 *αὐτ. ἐπιλαθέσθαι U* ‖ 7 *ἐπιλελεῖσθαι V* ‖ 8 *αὐτούς P* ‖ *ὀχ.]* ducis *add* ſ ‖ 9 *ἀπ.* (ſ)] *ὑποστρεψάντων P ἀπελθόντων εἰς τὰ οἰκεῖα V: cf 112, 8* ‖ 10 *ἤγειρεν V om* ſ | *δέ.] σου add U recte ut uid: cf 115, 8; 139, 11 al (circiter uiciens)* ‖ 11 *ἄξ. - καθ.* (ſ)] *ἵνα ὑ. τ. π. α. καθ. καταξιωθῶ P: cf 138, 12 et 203, 4* ‖ *αὐτοῦ]* filii dei Iesu Christi ſ ‖ 12 *κ. γεν.] ἔσομαι δὲ U* ‖ 13 *μου] ὁδηγὸς καὶ add V* ‖ 15 *οὖν] δὲ V: cf 187, 7* ‖ *ὡσεὶ* (ſ) *om PU* ‖ *μ. δύο]* passus mille ſ ‖ *ἐδεήθην P* ‖ 16–17 *καὶ - αὐτῷ] ἵνα αὐτῶ συγκαθεσθῇ P* ‖ 17 *τὸν ἡνίοχον P* ‖ 18 *κ. τ. ὁ.* (ſ) *om PU (cf 5; 180, 14)* et Iudas loquebatur cum duce *add* ſ ‖ 19 *καύματος P* uectione ſ ‖ *καὶ om U: recte?? καὶ <στῆναι>?* (ſ) ‖ 19–20 *μηδόλως δυν. V: cf 190, 13 - 14* ‖ 20 *scr δύνασθαι??* ‖ 21 *γενάμενος P* ‖ *ἐνθ.] ἐβούλετο δὲ P* ‖ 21–186,1 *δρ. χρ.* (ſ)] *ἀπελθεῖν P* ‖ 21 *δρόμον V*

χρήσασθαι καὶ ἕτερα ὑποζύγια ἀγαγεῖν πρὸς τὴν τοῦ ὀχήματος χρείαν· ὁ δὲ ἀπόστολος εἶπεν· Μὴ ταρασσέσθω σου ἡ καρδία μηδὲ δειλιάτω, ἀλλὰ πίστευσον εἰς Ἰησοῦν Χριστὸν
207 W ὃν κατήγγειλά σοι, καὶ θαυμάσια ὄψει μεγάλα. Ἀπιδὼν δὲ εἶδεν ἀγέλην ὀνάγρων νεμομένην παρὰ τὴν ὁδόν· καὶ εἶπεν τῷ στρατηλάτῃ· Εἰ ἐπίστευσας εἰς Χριστὸν Ἰησοῦν, πορευθεὶς εἰς τὴν ἀγέλην ἐκείνην τῶν ὀνάγρων εἰπέ· Λέγει ὑμῖν Ἰούδας Θωμᾶς ὁ ἀπόστολος τοῦ Χριστοῦ τοῦ νέου θεοῦ· Ἐλθέτωσαν ἐξ ὑμῶν τέσσαρες ὧν ἂν χρείαν ἔχωμεν.

[1] *αὐτῷ] ταύτην παρακαλέσαι add P* ‖ *εἰσαγ. - αὐτῷ om P: scr εἰσενεγκόντων οὖν ἠξίου α. σ. α.?* (ſ) ‖ [2] *αὐτῆς om P* ‖ [3] *παραιτησάμην P: cf 160, 12* ‖ *δ. π.] scr συνδειπνῆσαι? cf 204, 18; 209, 5* ‖ *π.] μετὰ P* ‖ [5] *διὰ - ἔχ.]* quia non libet mihi ſ: *cf 204, 11* ‖ *με ἔ.] ἐ. ἐμὲ τούτου χάριν οὐ βούλομαι P* ‖ [5–6] *κατὰ τὸ εἰ. ὁ χαρ. P* ‖ [6] *τὴν συνήθειαν U: recte?? cf 204, 10; 209, 6; 226, 13* ‖ *ἠβούλετο P: cf 209, 3; 211, 8* ‖ *συγκαθευδῆσαι P* ‖ *ἣ δὲ ἔ. om P* ei *add* ſ ‖ [7] *παρ.] με ἔασον P* ut dormire liceat soli *add* ſ ‖ [8] *ε. ἄ. ἀπ. P* ‖ *ἐκοιμήθην P* ‖ [10] *ἑαυτὸν P* ‖ [12] *κ. ε.] ε. δὲ U* ‖ *ἀπ'] ἐκ τοῦ U* ‖ [13] *π. δύο P* ‖ *οὓς] ἃς καὶ P: cf 227, 22* ‖ [14] *ε. τ. αὐτοῦ κ. εἰσήν. P* ‖ *καρδ.] scr καλιὰν* (nidum ſ): *cf 20* ‖ *ἡμ.] ἐφ' ἡμᾶς P: cf 196, 13; 229, 7* ‖ [15–16] *ὁ δὲ β. - ἀφ. om P* ‖ [16] *scr ἐνεχθῆναι? ἀχθῆναι??* ‖ *ἥρπ. δὲ πάλ. (om ὁ ἀ.) P* ‖ [18] *αὐτοῦ alt om P* ‖ *πλευρᾶς] πλευρὰν P* ‖ [19] *οὐκ ἠδ. α.] οὐδὲν (recte?* nihil m) *κακεῖνον (cf 208, 24; 217, 24; c 152m P solus) ἠδ. P* ‖ *μ. ἀδ. om* ſ ‖ [20–21] *καὶ π. - ἤμ. om P* ‖ [21] *καὶ] ὅτι P* ‖ [22] *ἔτι] τοῦτον P: ἔτι* <*τι*>*??* ‖ *τῷ στ. μ. προσαγ. P* ‖ [24] *οὗτος]* fortasse *add* ſ ‖ [25] *τοῦ om U: cf 189, 11; 228, 22*

92 Ὄρθρου δὲ γενομένου ἀπελθὼν ὁ Χαρίσιος ἐνεδύσατο, καὶ τὸ ἀριστερὸν ὑπόδημα εἰς τὸν δεξιὸν πόδα ὑπεδήσατο. καὶ ἐπισχὼν εἶπεν πρὸς τὴν Μυγδονίαν· Τί ἄρα ἐστὶν τοῦτο τὸ πρᾶγμα; ἰδοὺ γὰρ ὁ ὄνειρος καὶ ἡ τούτου πρᾶξις. Ἡ δὲ Μυγδονία πρὸς αὐτὸν ἔφη· Καὶ τοῦτο αὐτὸ οὐκ ἐστὶν φαῦλον, ἀλλὰ κάλλιστόν μοι δοκεῖ· ἀπὸ γὰρ φαύλου πράγματος εἰς τὸ κρεῖττον γενήσεται. Ὁ δὲ νιψάμενος τὰς χεῖρας εἰς ἀσπασμὸν Μισδαίου τοῦ βασιλέως ἀπήει.

93 Ὁμοίως δὲ καὶ ἡ Μυγδονία ὀρθρίσασα ἀπήει εἰς ἀσπασμὸν Ἰούδα Θωμᾶ τοῦ ἀποστόλου. κατέλαβεν δὲ αὐτὸν ὁμιλοῦντα μετὰ τοῦ στρατηλάτου καὶ τοῦ παντὸς ὄχλου· καὶ παρῄνει αὐτοῖς λέγων περὶ τῆς γυναικὸς τῆς δεξαμένης τὸν κύριον ἐν τῇ αὐτῆς

ψυχῇ, τίνος εἴη σύνοικος. τοῦ ἀρχιστρατηλάτου εἰπόντος ὅτι Γυνή ἐστιν Χαρισίου τοῦ συγγενοῦς Μισδαίου τοῦ βασι-
226 W λέως, Καὶ ὅτι Ἐστὶν ἀνὴρ ἀπόσκληρος καὶ πᾶν ὅ τι τῷ βασιλεῖ εἴπῃ τούτῳ πείθεται, Καὶ ὅτι Οὐ

ψυχῇ· καὶ ὁ στρατηλάτης· Καὶ τίνος αὕτη γυνή; Λέγει ὁ ἀπόστολος· Χαρισίου συγγενοῦς Μισδαίου τοῦ βασιλέως· Καὶ ὁ στρατηλάτης· Ὁ ἀνὴρ αὐτῆς σκληρός ἐστιν καὶ εἴ τι δὰν καὶ τῷ βασιλεῖ εἴπῃ, πείθεται τούτῳ· ἀλλ' οὐδὲ

59 B συγχωρεῖ αὐτὴν παραμεῖναι τῇ γνώμῃ ταύτῃ ᾗ ὡμολόγησεν· καὶ γὰρ πολλάκις ἐπὶ τοῦ βασιλέως ἐνεγκωμίασεν αὐτήν, λέγων μὴ εἶναι ἄλλην τοιαύτην εἰς ἀγάπην. πάντα οὖν ὅσα ἂν διαλεχθῇς αὐτῇ ξένα αὐτῆς τυγχάνει. Εἶπεν δὲ ὁ ἀπόστολος· Εἰ ἀληθῶς καὶ βεβαίως ἀνέτειλεν ὁ κύριος εἰς τὴν ταύτης ψυχήν, καὶ προσεδέξατο τὸν καταβληθέντα σπόρον, οὔτε τῆς προ-

[27] cf Matth 13, 3 ss

---

[2] *ὑπεδύσατο P* ‖ [3] *π. τ. μυγδ. εἶπεν P* ‖ *τοῦτό ἐστιν P* ‖ [4] *ὁ ὄν.* (ſ)] *κατὰ τὸν ὄνειρον P* ‖ *τούτου om* ſ: *del?* ‖ [4–5] *εἶπεν δὲ αὐτῷ ἡ μ. P* ‖ [5] *scr ἔ. πρ. α.? cf 205, 23* ‖ *κ. - φ.] οὐδὲ τοῦτο φ. ἐ. P* ‖ [6] *κάλλ.] καὶ τοῦτο add P* ‖ [7] *τὸ om P* ‖ *μεταβήσεται P* ‖ [9] *δὲ om P* ‖ [11] *ἀρχιστρατηλάτου U: cf 15; 214, 19* ‖ *π. τ. P* magna ſ ‖ [12] *λέγ.] πρότερον add U* ‖ [13] *κύρ.] θεὸν P*

[14–21] *U et P separatim dedimus. sic fere scr: ψ. κ. ὁ στ. Καὶ τίνος αὕτη γυνή; Λέγει ὁ στρατηλάτης (cf 11)· Χ. σ. Μ. τ. β., καὶ ὁ ἀνὴρ α. σκλ. ἐ., καὶ πᾶν ὅ τι ⟨ἂν⟩ (? cf c 129e) τῷ β. ε. τούτῳ πείθεται· ἀλλ' οὐδὲ* (ſ): *cf 215, 10*

[22] *ταύτῃ om P* ‖ [23] *γὰρ om P* ‖ *ἐ. τ. β. δὲ πολλ. P* ‖ *scr ἐνεκωμίασεν? (γ om sed sup scr P)* ‖ [24] *τοι.* (ſ) *ε. ἀ.] ἀ. ἔχουσαν ὡς αὐτὴν U* ‖ *εἰς ἀγ.]* et ipsa illum ualde amat ſ ‖ [24–25] *πάντα - τυγχ. om P* ‖ [25] *αὐτῇ]* eis ſ ‖ *αὐτῆς]* ab eis ſ

σκαίρου ζωῆς φροντίδα ποιήσεται οὔτε τὸν θάνατον φοβηθήσεται, οὔτε Χαρίσιός τι ταύτην καταβλάψαι δυνήσηται· μείζων γάρ ἐστιν ἐκεῖνος ὃν ὑπεδέξατο εἰς τὴν ἰδίαν ψυχήν, εἰ ἀληθῶς αὐτὸν ὑπεδέξατο.

94 Ταῦτα δὲ ἀκούσασα Μυγδονία εἶπεν τῷ ἀποστόλῳ· Ἀληθῶς κύριέ μου ἐδεξάμην τῶν σῶν λόγων τὸν σπόρον, καὶ καρποὺς ἐοικότας τοῦ τοιούτου σπόρου ἀποκυήσω. Λέγει ὁ ἀπόστολος· Ἐξομολογοῦνταί σοι κύριε καὶ εὐχαριστοῦσιν αἱ ψυχαί· γὰρ αὗται σοὶ ὑπάρχουσιν· εὐχαριστοῦσίν σοι τὰ σώματα ἃ κατηξίωσας γενέσθαι οἰκητήρια τῆς δωρεᾶς σου τῆς ἐπουρανίου. Εἶπεν δὲ καὶ πᾶσιν τοῖς παρεστῶσιν· Μακάριοι οἱ ἅγιοι ὧν αἱ ψυχαὶ οὐδέποτε ἑαυτῶν κατέγνωσαν· ταύτας γὰρ κτησάμενοι οὐ διαιροῦνται καθ᾽ ἑαυτῶν· μακάρια τὰ πνεύματα τῶν ἁγίων τὰ καὶ ὁλόκληρον τὸν ἐπουράνιον δεξάμενα στέφανον ἀπὸ τοῦ προσταχθέντος αὐτοῖς αἰῶνος· μακάρια τὰ σώματα τῶν ἁγίων, ὅτι κατηξιώθησαν ναοὶ θεοῦ 227 W
γενέσθαι, ἵνα Χριστὸς ἐνοικήσῃ ἐν αὐτοῖς· μακάριοί ἐστε ὅτι ἐξουσίαν ἔχετε ἀφιέναι ἁμαρτίας· μακάριοί ἐστε ἐὰν τὸ παραδοθὲν ὑμῖν μὴ ἀπολέσητε ἀλλὰ χαίροντες καὶ ἀπιόντες συναναφέρητε ἑαυτοῖς τοῦτο. μακάριοί ἐστε οἱ ἅγιοι, ὅτι ὑμῖν δέδοται αἰτῆσαι καὶ λαβεῖν. μακάριοί ἐστε οἱ πραεῖς, ὅτι ὑμᾶς κατηξίωσεν ὁ θεὸς κληρονόμους γενέσθαι τῆς βασιλείας τῆς ἐπουρανίου. μακάριοί ἐστε οἱ πραεῖς· ὑμεῖς γάρ ἐστε οἱ

[11] cf Matth 5, 3 ss ‖ [16] cf Cor 1, 3, 16; 17 ‖ [17] cf Matth 9, 6 Io 20, 23 ‖ [18] cf Matth 25, 14 ss ‖ [21] cf Matth 5, 5

[1] *ποιήσειεν P* ‖ [2] *δύναται U: scr δυνήσεται? cf 1; c 127m* ‖ [3] *μεῖζω U* ‖ [4] *εἰ] ἄρα γε καὶ add P: cf c 127m* ‖ [6] *μου om U* ‖ *τοῦτον τὸν λόγον τοῦ σπόρου σου U* per preces tuas semen uiuum uerbi ſ ‖ [7] *ἐοικ.* (ſ)] *καλοὺς P* ‖ *τοι.] σοῦ U om* ſ: *del?* ‖ *ἀποκυήσκω U* in domino meo Iesu *add* ſ ‖ [8] *εὐχ.] σοι add P* ‖ *αἱ] παρεστῶσαι πᾶσαι add P* nostrae hae ſ ‖ [9] *γὰρ - ὑπ. om P* quae sunt tuae. *et add* laudant te animi (*πνεύματα, cf 14*) nostri qui sunt uerae possessiones tuae domine ſ ‖ ⟨*καὶ*⟩ *γὰρ?* ‖ [9–10] *τὰ σ. ἃ] οὕστινας καὶ P* ‖ [10–11] *τ. ἐπ. σ. δωρ.* (*om alt τῆς*) *P* (*cf 173, 20; 174, 11; 175, 13; 177, 11; 178, 8; 9; 180, 18; 181, 5; 15; 182, 18; c 146m; al*) spiritus tui ſ ‖ [12] *scr ἁγνοὶ??* (ſ) *cf 14; 16; 201, 5* ‖ *οὐδ. αἱ ἑ.* (*αὐτῶν Usener*) *ψ. κατεγνώσθησαν P* ‖ [12–13] *ταύτ. - κ. ἑ.] οὐ γ. κ. ἑ. οἴδασι διαιρεῖσθαι P: cf 139, 4* ‖ [13] *κ. ἑ.] καταυτῶν U* de se ſ ‖ [13–14] *τὰ - ἐπ. om U* ‖ [14] *δεξάμενοι et add γὰρ τὸν U* ‖ [15] *ἀπὸ - αἰ. om P* ‖ *scr ἀγῶνος?* (ſ) *ὁλόκληρον ἤγαγον add U* ‖ [16] *θ.] κυρίου U* pura ſ ‖ [17] *ἐν α. ἐνοικεῖ P* ‖ *ὅταν P: cf 16; 20* ‖ [18] *ἐὰν] ///ἂν* (*in ras ἐ*) *P* ‖ *δοθὲν P* ‖ [19] *ὑμ.] τάλαντον add P* ‖ *ἀπολ.] κατωρύξηται P* ‖ *χ. κ. ἀ.] πολυπλάσιον τῷ παρέξαντι P* ‖ *ἀπι.] scr ἀγαλλιῶντες?* ‖ [20–208,6] *ἑ. τ. - ἀπαλλ. om P* ‖ [20–21] *μακ. - λαβ. post ἐν αὐτ.* (17) ſ

νικήσαντες τὸν πονηρόν. μακάριοί ἐστε οἱ πραεῖς, ὅτι ὑμεῖς ὄψεσθε τὸ πρόσωπον τοῦ κυρίου. μακάριοί ἐστε οἱ πεινῶντες ἕνεκεν κυρίου, ὅτι ὑμῖν τετήρηται ἡ ἀνάπαυσις· ὧν καὶ αἱ ψυχαὶ ἀπὸ νῦν ἀγαλλιῶνται. μακάριοί ἐστε οἱ ἡσύχιοι τῆς ἁμαρτίας καὶ τῆς ἀμοιβῆς τῶν ζώντων καθαρῶν καὶ τῶν ἀκαθάρτων ἀπαλλαγῆναι. Ταῦτα εἰπόντος τοῦ ἀποστόλου παντὸς τοῦ ὄχλου ἀκούοντος ἡ Μυγδονία μᾶλλον ἐστηρίζετο τῇ πίστει καὶ τῇ δόξῃ καὶ τῇ μεγαλειότητι τοῦ Χριστοῦ.

95 *Χαρίσιος δὲ ὁ τοῦ βασιλέως συγγενής τε καὶ φίλος ἦλθεν ἐπὶ τὸ ἄριστον καὶ οὐχ εὗρεν αὐτοῦ τὴν γαμετὴν ἐν τῇ οἰκίᾳ· καὶ ἐξήταζεν πάντας ἐν τῷ οἴκῳ αὐτοῦ· Ποῦ ἀπῆλθεν ἡ δέσποινα ὑμῶν; Ἀποκριθεὶς δὲ εἷς ἐξ αὐτῶν εἶπεν ὅτι Πρὸς τὸν ξένον ἐκεῖνον ἀπῆλθεν. Ὁ δὲ ταῦτα ἀκούσας παρὰ τοῦ δούλου αὐτοῦ ἠγανάκτησεν πρὸς τοὺς λοιποὺς αὐτοῦ* 228 W *οἰκείους, ὅτι οὐκ εὐθὺς αὐτῷ ἀνήγγειλαν τὸ γεγονός· καὶ καθεσθεὶς ταύτην ἐξεδέχετο. ἑσπέρας δὲ γενομένης εἰσιούσης αὐτῆς ἐν τῷ οἴκῳ εἶπεν αὐτῇ· Ποῦ ἦς; Ἡ δὲ ἀποκριθεῖσα εἶπεν· Εἰς τὸν ἰατρόν. Ὁ δὲ εἶπεν· Ἐκεῖνος ὁ ξένος ἰατρός ἐστιν; Ἡ δὲ εἶπεν· Ναί, ἰατρός ἐστιν ψυχῶν· οἱ γὰρ πολλοὶ τῶν ἰατρῶν σώματα ἰατρεύουσιν τὰ λυόμενα, οὗτος δὲ ψυχὰς* 60 B *τὰς μὴ φθειρομένας. | Ταῦτα ἀκούσας ὁ Χαρίσιος πάνυ ἐν ἑαυτῷ ἐχαλέπαινεν πρὸς τὴν Μυγδονίαν διὰ τὸν ἀπόστολον· οὐδὲν δὲ ἀπεκρίνατο αὐτῇ φοβούμενος· βελτίω γὰρ αὐτοῦ ὑπῆρχεν καὶ τῷ πλούτῳ καὶ τῇ γνώμῃ· ἀπῆλθεν δὲ ἐπὶ τὸ*

[1] cf Matth 5, 5 ‖ [2] cf apoc 22, 4 Matth 5, 6

[4] *ἀπὸ ⟨τοῦ⟩? cf 205, 25 al* ‖ [4–6] *ἡσύχ. - ἀπαλλ.*] temperantes, nam a peccato liberati estis ſ ‖ [4] *ἡσύχιοι ⟨ὅτι κατηξιώθητε⟩??* ‖ [5–8] *τ. ζ.* (*scr ζῴων τῶν?*) *- ἀκ. aliunde inlata uid* ‖ [7] *μ.*] *πλεῖον μ. P* ‖ *ἐστηρ.* (ſ)] *βεβαιότερον ἐπείθετο U* ‖ [8] *τ. π. - Χρ.*] in puritate et temperantia et omni mansuetudine ſ ‖ *κ. τ. δ. om P* ‖ [9] *συγγ. τε κ. om U: cf 204, 7; 215, 11* | [10–11] *ἦ. - α.*] *ἐλθὼν ἐν τῇ οἰκ. αὐτοῦ κ. μη εὑρὼν τ. α. γυναῖκα* (*recte? cf 224, 22*) *πάντ. περὶ ταύτης τοῦ οἴκου ἐξήτ. P* ‖ [11] *ἐξήτασεν U* ‖ *ἐν τῷ ο.*] *scr τοὺς οἰκέτας?* (ſ) ‖ [11–12] *ποῦ - ὑμ. om P* ‖ [12] *ὅτι om U* ‖ [13] *ἐκ. om U: cf 18; 211, 25* ‖ *ὁ δὲ om U: del? cf 21; 204, 21; 209, 4; al* ‖ [14] *λοιπ.*] *ἑτέρους P: cf 195, 4* ‖ [15] *ὅτι*] *ἐπειδὴ U* ‖ *ἀν. α. εὐθ. U* ‖ *εὐθ. om* ſ *καὶ πάραυτα add P: del??* ‖ *α. ἀν. τὸ γ.*] *τοῦτο α. ἀν. P* et iit lauatum et rediit cum etiam luceret *add* ſ ‖ [16] *ταύτην - γεν. om U* ‖ [17] *λέγει P* dixit ſ | [18] *πρὸς U: cf 211, 12* ‖ [19] *ἡ δὲ ε. om P* ‖ [20] *τῶν ἰ. om U* ‖ *ἰατρεύ.*] *θεραπεύουσιν U: cf 159, 18* ‖ [21–22] *ἐν ἑ. om P* ‖ [22] *πρ. τ. μυγδ. ἐχ. P* ‖ *δ. τ. ἀπ.*] et in peregrinum ſ ‖ [23] *ἀπεκ. - φ.*] *αὐτὴ ἀποκριθῆναι ἠδύνατο P* | *βελτία P: scr βελτίων?? cf 226, 19* ‖ [24] *τῇ τε γν. καὶ τ. πλ. P* ‖ *δὲ*] *κακεῖνος add P: cf 205, 19*

δεῖπνον, αὐτὴ δὲ εἰς τὸν κοιτῶνα αὐτῆς εἰσήει. ὁ δὲ εἶπεν τοῖς οἰκέταις· Καλέσατε αὐτὴν ἐπὶ τὸ δεῖπνον. Ἡ δὲ οὐκ ἐβούλετο.

96 *Ἀκούσας δὲ ὅτι οὐ βούλεται ἐξελθεῖν ἀπὸ τοῦ κοιτῶνος, εἰσελθὼν εἶπεν αὐτῇ· Τίνος ἕνεκεν οὐ βούλει συνδειπνῆσαί μοι, τάχα δὲ οὐδὲ συγκαθευδῆσαι κατὰ τὸ εἰωθός; καὶ περὶ τούτου μείζονα τὴν ὑποψίαν ἔχω· ἤκουσα γὰρ ὅτι ὁ μάγος ἐκεῖνος καὶ πλάνος τοῦτο διδάσκει, ἵνα μή τις συνοκήσῃ γυναικὶ ἰδίᾳ, καὶ ὃ ἡ φύσις ἀπαιτεῖν οἶδεν καὶ ἡ θεότης ἐνομοθέτησεν αὐτὸς ἀνατρέπει. Ταῦτα εἰπόντος τοῦ Χαρισίου ἡ Μυγδονία ἡσύχαζεν. λέγει πάλιν πρὸς αὐτήν· Κυρία* 229 W *μου καὶ σύμβιέ μου Μυγδονία μὴ πλανῶ λόγοις ἀπατηλοῖς καὶ ματαίοις, μηδὲ τοῖς ἔργοις τῆς μαγείας οἷς ἤκουσα τοῦτον διαπραττόμενον εἰς ὄνομα πατρὸς υἱοῦ καὶ ἁγίου πνεύματος· οὐ γὰρ ἠκούσθη ποτὲ ἐν τῷ κόσμῳ τούτῳ ὅτι νεκρόν τις ἤγειρεν· ὡς δὲ ἀκούω τὰ περὶ τούτου φημιζόμενα ὅτι νεκροὺς ἐγείρει. καὶ ὅτι οὐδὲ ἐσθίει ούτε πίνει, μὴ οὖν νομίσῃς ὅτι διὰ δικαιοσύνην οὔτε ἐσθίει οὔτε πίνει· τοῦτο δὲ ποιεῖ διὰ τὸ μηδὲν κεκτῆσθαι αὐτόν· τί γὰρ ἂν ποιήσειεν ὃς οὐδὲ τὸν ἡμερήσιον ἄρτον ἔχει; καὶ ἓν ἔνδυμα ἔχει διὰ τὸ πένητα εἶναι αὐτόν· τὸ δὲ μὴ λαμβάνειν παρά τινός τι*

---

[1] *δ. α. δὲ ε.] δειπνίσαι καὶ μυγδονία ἐπι P: cf 2; 208, 10* ‖ *αὐτῆς om U* ‖ *εἰσήει om P* ‖ *δὲ] χαρίσιος add P* ‖ [1–2] *τοῖς αὐτοῦ εἶπεν οἰκ. P* ‖ [2] *εἰς U: cf 208, 24* ‖ *δειπνίσαι P: cf 1* ‖ [4] *ὅτι - κοιτ.] τοῦτο ὁ χαρίσιος P* ‖ *ἀ. τ. κ. om* ſ: *del?* ‖ [5] *ε. ε.* (ſ)] *ἀπελθὼν λέγει P* ‖ [5–6] *σ. μοι] μεθ ἡμῶν σ. P* ‖ [6] *τάχα - εἰ. om P* ‖ [7] *π. τ. μ.] γὰρ μείζ. ἐπὶ τοῦτο μοι P* ‖ *ἔχω] ποιεῖς P* ‖ [8] *ὁ πλ. ἐκ. (om μάγ. et καὶ) P* ‖ *μή τ.] μηδεὶς U* ‖ [8–9] *γυν. προσομιλήσῃ P* ‖ [8] *scr συνοικήσῃ? (cf 191, 9) συγγένηται* (ſ?)?? ‖ [9] *ἀπ. οἶ.] διδάσκει U: scr ἀπαιτεῖ? cf 179, 4 et 139, 4* ‖ *ἡ θ.] θεὸς P* di ſ ‖ [10] *ἀν.] ἀφανίζει U: scr ἀφαιρεῖ?* (ſ) ‖ [10–11] *ἡ δὲ μυγδ. ἡσ. τ. χαρ. ταῦτα εἰπόντος P* ‖ [11] *λέγ. - αὐτ.* (ſ)] *ἀποκριθεὶς δὲ αὐτῇ εἶπεν U* ‖ *<καὶ> λέγει?* ‖ *αὐτ.] ὁ χαρίσιος add P: cf 1; 4; 210, 5* ‖ [12] *κ. σ. μου* (ſ) *om P* ‖ *πλ. λ. ἀπ.* (ſ)] *τοῖς ἀπ. ἐκείνου ἀπατῶ λ. P* ‖ [13–14] *τ. διαπρ.* (ſ)] *δι' αὐτοῦ πραττομένοις P* ‖ [14] *π. - πν.] τοῦ π. καὶ τοῦ υἱ. κ. τοῦ ἁγ. πν. U (cf 143, 3; 165, 16 et 231, 8; c 132e; 157e, ubi τὸ ὄν.)* dei sui ſ ‖ [15] *ποτὲ* (ſ) *om P* ‖ [16–17] *ὡς - ἐγ.* (ſ) *om P* ‖ [16] *scr φημίζεται?? del ὅτι?? cf 210, 23; Ph 2, 1* ‖ [17] *ἐγ.]* suscitare se adsimulat ſ ‖ *καὶ] ἄλλο add U* ‖ *scr οὔτε ἐ.? cf 18* ‖ *οὐδὲ π. P* ‖ *μὴ ο.] scr οὐ μὴ?? cf Ph 61, 4* ‖ *del οὖν??* ‖ [18] *οὐκ ἐ. U* ‖ [19] *ποιήσειεν] ποιήσῃ P: scr ποιήσῃ?? (cf Reinhold de graecitate patrum p 111)* edat ſ ‖ *ὃς om P* ‖ *μηδὲ et add αὐτὸν P* ‖ [20] *ἄ. ἔ.] κεκτημένος ἄ. P* ‖ *καὶ] ἀλλὰ καὶ P: cf 213, 26* ‖ [20–21] *ἓν - αὐτόν] διὰ τὸ πέν. α. πάνυ τυγχάνειν καὶ ἓν οἶδεν ἔχειν (cf 139, 4) ἱμάτιον P* ‖ [21] *τὸ - τι] καὶ οὐδὲν λαμβάνει παρουδενός U: cf 178, 17*

συγγινώσκων ἑαυτὸν τοῦ θερα-πεύειν.	*καὶ τοῦτο πάντως αὐτῷ ἐδόθη, συνήθεια.*

97 *Ταῦτα δὲ τοῦ Χαρισίου εἰπόντος ἡ Μυγδονία ὥσπερ πέτρα τις ἡσύχαζεν· ηὔχετο δὲ πότε διαφαύσει, ἵνα ἀπέλθῃ πρὸς τὸν ἀπόστολον τοῦ Χριστοῦ· ἀναχωρεῖ δὲ ἀπ' αὐτῆς, καὶ ἀπέρχεται ἐπὶ τὸ δεῖπνον ἀθυμῶν· ἐμερίμνα γὰρ κατὰ τὸ ἔθος συγκαθευδῆσαι αὐτῇ. ἐξελθόντος δὲ ἐκείνου κλίνασα τὰ γόνατα ηὔχετο λέγουσα· Κύριε θεὲ δέσποτα, πατὴρ ἐλεήμων, σωτὴρ Χριστέ, σὺ δός μοι δύναμιν ἵνα νικήσω τὴν ἀναίδειαν Χαρισίου, καὶ παράσχου μοι φυλάξαι τὴν ἁγιωσύνην εἰς ἣν σὺ χαίρεις, ἵνα κἀγὼ δι' αὐτῆς εὕρω ζωὴν αἰώνιον. Ταῦτα δὲ εὐξαμένης αὐτῆς ἔθηκεν ἑαυτὴν ἐπὶ τὴν κλίνην σκεπασθεῖσα.*

230 W 98 *Ὁ δὲ Χαρίσιος δειπνήσας ἐπέστη αὐτῇ· αὐτὴ δὲ ἐβόα*
61 B *λέγουσα· Οὐκ ἔχεις λοιπὸν χώραν πρὸς | ἐμέ· ὁ γὰρ κύριός μου Ἰησοῦς κρείττων σού ἐστιν ὁ σὺν ἐμοὶ ὢν καὶ ἐν ἐμοὶ ἀναπαυόμενος. Ὁ δὲ γελάσας εἶπεν· Καλῶς χλευάζεις ταῦτα λέγουσα περὶ ἐκείνου τοῦ φαρμακοῦ, καὶ καλῶς αὐτοῦ καταγελᾷς λέγοντος ὅτι Ζωὴν οὐκ ἔχετε παρὰ τῷ θεῷ ἐὰν μὴ ἁγνίσητε αὐτούς. Ταῦτα εἰπόντος αὐτοῦ ἐπεχείρει πρὸς αὐτὴν καθευδῆσαι· ἡ δὲ μὴ ὑπομένουσα ἀλλὰ πικρῶς κραυγάζουσα ἔλεγε· Ἐπικαλοῦμαί σε κύριε Ἰησοῦ, μὴ ἐγκαταλίπῃς με· πρὸς σὲ γὰρ τὴν καταφυγὴν ἐποιησάμην· ὡς γὰρ ἀνέμαθον ὅτι σὺ εἶ ὁ ἐπιζητῶν τοὺς ἐν ἀγνοίᾳ ἐπειλημμένους καὶ ῥυόμενος τοὺς ἐν τῇ πλάνῃ κατεχομένους· νυνὶ δὲ ἐγὼ σοῦ δέομαι οὗ τὴν*

[1] *et* [2] *U et P separatim dedi: scr καὶ τοῦτο πάντως ποιεῖ συγγινώσκων ἑαυτῷ μηδένα θεραπεύειν ἐν ἀληθείᾳ??* (ſ) ‖ [3] *τ. Χ. εἰπ.* (ſ)] *εἰπ. αὐτοῦ U* ‖ *ὡς P: cf c 128m* ‖ [4] *τις om U: cf 160, 7* ‖ [4–5] *πρ. τ. ἀπ. παραγένηται P* ‖ [5] *τ. Χρ. om P* dei ſ ‖ [5–7] *ἀναχ. - αὐτῇ] πάνυ δὲ ὁ χαρίσιος ἀθυμήσας ἀπέρχ. ἀπαὐτῆς μάλιστα δια το μὴ παραδέχεσθαι συγκ. μεταὐτῆς P* | [7] *scr εἰωθὸς? cf 205, 6; 209, 6* ‖ [8] *προσηύχετο U: cf 4; 12; 113, 9; 147, 7; al* ‖ *π. ἐλ. om* ſ *καὶ add P* ‖ [9] *σωτ.] ἰησοῦ add P* ‖ *Χρ.] καὶ ἅγιον πνεῦμα add P* ‖ [9–10] *τ. ἀν. χαρ. νικ. P* ‖ [10] *διαφυλάξαι U* ‖ [11] *εἰς ἣν] ἐνῶ U: scr ἐν ᾗ? cf 200, 9* ‖ *σὺ om P* ‖ *χαίρειν οἶδας P: cf 139, 4* ‖ [12] *εὐξαμένη (om αὐτῆς) U: cf 20; 146, 16; al* ‖ *ἐμαυτὴν P: cf 211, 3* ‖ [13] *σκεπ. om P* ‖ [14] *ἐπ. - δὲ om P* ‖ [15] *οὐ τοῦ λοιποῦ (cf c 131e) χ. ἔχ. μετ' ἐμοῦ P: cf 20* ‖ [16] *κρ. σ.] ὑπὲρ σὲ U* ‖ [19] *θ.] καὶ add U* ‖ [20] *ἁγνήσηται αὐτοὺς U παρ' αὐτοῦ ἁγνισθῆτε P: scr ἁγνίσητε ἑαυτούς??* puri sitis ſ ‖ *εἰπὼν (om αὐτοῦ) U: cf 12* ‖ [22] *εἶπεν U* ‖ *σου U* ‖ *Ἰ.] μου add U* | *με ἐγκ. U: cf 211, 12* ‖ *πρὸς] εἰς U* ‖ [23] *ὡς γ.] καὶ γ. ὡς P: cf 215, 10* | *ὅτι om P: cf 209, 16* ‖ [24] *τοὺς - ἐπ.]* qui te non nouerunt ſ ‖ *ἐπιλελησμένους U* ‖ [25] *τῇ om U: del? cf 24* ‖ *ν. δὲ ἐ.] καὶ νῦν P* ‖ *δ. σου P*

φήμην ἤκουσα καὶ ἐπίστευσα, σὺ ἐλθὲ εἰς τὴν βοήθειάν μου, καὶ ῥῦσαί με ἀπὸ τῆς ἀναισχυντίας Χαρισίου, ὥστε μὴ κατεξουσιάσῃ μου ἡ τούτου μιαρότης. Καὶ τύψασα ἑαυτῆς τὰς χεῖρας ἔφυγεν ἀπ' αὐτοῦ γυμνή· καὶ ἐξιοῦσα κατέσπασεν τὸ βῆλον τοῦ κοιτῶνος, καὶ τοῦτο περιβαλομένη ἀπῄει πρὸς τὴν ἑαυτῆς τροφόν, κἀκεῖ παρ' αὐτῇ ὕπνωσεν.

99 *Ὁ δὲ Χαρίσιος δι' ὅλης τῆς νυκτὸς ἐν ἀθυμίᾳ ὑπῆρχεν, τὰς χεῖρας αὐτοῦ πατάσσων κατὰ τῆς ὄψεως· ἐβούλετο δὲ αὐτῇ τῇ ὥρᾳ ἀπελθεῖν καὶ ἀνενέγκαι τῷ βασιλεῖ περὶ τῆς βίας τῆς περιστάσης αὐτῷ· ἐνεθυμεῖτο δὲ ἐν ἑαυτῷ λέγων· Ἐὰν ἡ πολλή ἀθυμία ἡ περὶ ἐμὲ οὖσα ἀναγκάσῃ με ἀπελθεῖν* 231 W
ἄρτι πρὸς τὸν βασιλέα, τίς εἰσφέρει με εἰς αὐτόν; ἐγὼ γὰρ ἐπίσταμαι ὅτι

ἡ ἐμὴ κακηγορία κατέστρεψέν με τῆς ὑψαυχενίας μου καὶ τῆς ἀλαζονείας καὶ τῆς μεγαλωσύνης καὶ εἰς ταύτην με τὴν σμικρότητα κατέβαλεν καὶ τὴν ἀδελφήν μου Μυγδονίαν ἀπεχώρισεν ἀπ' ἐμοῦ,

ἡ ἀλαζονεία καὶ ἡ ὑπερηφανεία μου εἰς ταύτην ἤγαγέ με τὴν ἀτιμίαν ἵνα ἡ ἀδελφή μου Μυγδονία τὴν εἰς ἀλλήλους κοινωνίαν ἀρνησαμένη ἀφήσει με·

εἰ καὶ αὐτὸς ὁ βασιλεὺς πρὸ τῶν θυρῶν εἱστήκει τῇ ὥρᾳ ταύτῃ, οὐκ ἂν ἐξελθὼν ἀπόκρισιν αὐτῷ ἔδωκα. ἀλλ' ἀναμείνω ἕως ὅτε διαφαύσει· οἶδα δὲ ὅτι εἴ τι ἂν αἰτήσω τὸν βασιλέα παρέχει μοι. ἐρῶ δὲ περὶ τῆς μανίας τοῦ ξένου ἐκείνου, ἥτις τυραννίδι χρησάμενος καταβάλλει τοὺς μεγά-

[2] *κατεξουσιάζει U* ‖ [3] *τύψ. ἑ.] ῥίψασα ἑαυτὴν olim Vsener κύψασα ἑαυτὴν A Schoene coniectan (Kiliae 1894) p 10: scr δήσασα αὐτοῦ??? τύψ.]* cum deligasset *uel* comprehendisset ſ: *cf 8 et 9* ‖ [3] *ἐμαυτὴν P* (*cf 210, 12*) illius ſ ‖ [3-4] *τ. χ.* om *P* ‖ [4] *τὸ] τὴν U* ‖ [5] *περιβαλλομένη PU: cf 226, 7* ‖ [5-6] *πρ. τ. ἑ. ἀπ. P* ‖ [6] *παρ' α.* (ſ) *del Vsener* ‖ [8] *κ. τ. ὄ.]* inter se ſ ‖ [9] *καὶ] πάντα add P* ‖ *τῷ β. ἀπαγγεῖλαι P: cf 124, 7* ‖ [9-10] *περὶ - ἐνεθ.* (ſ)] *ἔλεγεν P* ‖ [10] *δὲ] πάλιν add P: cf 163, 13; 225, 20; c 128 i; et 183, 13 - 14; 228, 9 - 10* ‖ *λέγ. om P* ‖ [12] *με εἰσφ.* (*cf 210, 22*) *πρὸς U: cf 208, 18* (*sed 218, 12 - 14 P solus*) ‖ *ἐ. γ.* (ſ)] *ἀλλὰ ἐ. P* ‖ [14-20] *U et P separatim dedi. sic fere scr: εἰ μὴ κακομοιρία (??? κακοπραγία??) κατέστρ. με τ. ὑψ. μου κ. τ. ἀλ. καὶ τῆς ὑπερηφανείας (?) κ. τ. μεγ. εἰς ταύτ. τ. ἀτιμ. καὶ σμικρ., κ. τ. ἀδ. μου Μ. ἀπεχ. ἀπ' ἐμοῦ,* (ſ) ‖ [22] *ἀλλὰ U* ‖ *παραμενῶ U: scr ἀναμενῶ? cf 24* ‖ [23] *ὅτε] οὗ P: cf 173, 22; 189, 3; c 141e; 150i; 151e* ‖ *εἴ τι ἂν] ὃ ἐὰν U: cf 122, 13; 137, 10; 206, 19* ‖ [24] *παρέξει P: cf 138, 1* ‖ *εἴπω P: cf 22 et 114, 3* ‖ *scr μαγείας?* (ſ) ‖ [25] *ἥτις U ὅστις P (recte??)* quomodo ſ: *scr πῶς??* ‖ *τυραννίαν P: cf 162, 11* ‖ [25-213, 1] *κατ. - βάθος] τ. ἐπ. τῆς χώρας ἡμῶν κατ. P: cf 149, 18*

λους καὶ ἐπισήμους εἰς βάθος. οὐ γάρ τοῦτό με λυπεῖ ὅτι ἐστερήθην τῆς κοινωνίας αὐτῆς, ἀλλὰ περὶ αὐτῆς λυποῦμαι, ὅτι ἡ παμμεγέθης ψυχὴ αὐτῆς ἠλαττώθη. γυνὴ εὐσχήμων οὖσα, ἣν οὐδείς ποτε τῶν οἰκείων κατέγνω, γυμνὴ ἔφυγεν ἀπὸ τοῦ ἰδίου κοιτῶνος ἔξω τρέχουσα· καὶ οὐκ οἶδα ποῦ ἀνεχώρησεν· καὶ τάχα ἐμμανὴς γενομένη ὑπὸ τοῦ φαρμακοῦ ἐκείνου μανεῖσα εἰς τὴν ἀγορὰν ἐξῆλθεν ζητοῦσα ἐκεῖνον· οὔτε γάρ τι ἐράσμιον αὐτῇ φαίνεται ἀλλ' ἐκεῖνος καὶ τὰ ὑπ' αὐτοῦ λεχθέντα.

100 *Καὶ ταῦτα εἰπὼν ἤρξατο ὀδυρόμενος λέγειν· Οὐαί μοι σύμβιε, ἔπειτα καὶ σοί· ἐστερήθην γάρ σου τάχιον. οὐαί μοι προσφιλεστάτη· παντὸς γὰρ τοῦ γένους μου βελτίων ὑπάρ-*
62 B *χεις· οὔτε υἱὸν οὔτε | θυγατέρα ἐκ σοῦ ἔσχον ἵνα ἐπ' αὐτοῖς ἐπαναπαύσωμαι· οὐδὲ πλήρης ἐνιαυτὸν συνῴκησάς μοι,*

232 W *βάσκανος δὲ ὀφθαλμὸς ἀφήρπασέν σε ἀπ' ἐμοῦ· ὡς εἴθε ἡ τοῦ θανάτου βία εἰλήφει ἄν σε, καὶ κατεψηφισάμην βασιλεῦσιν καὶ ἐξάρχοις· ἀλλὰ ὑπὸ ξένου παθεῖν με τοιοῦτον· καὶ τάχα δοῦλος ὢν ἀπέδρα τῷ ἐμῷ κακῷ καὶ τῆς ψυχῆς*

ποῖος δὲ τοῦτο βάσκανος πεποίηκεν ὀφθαλμός; ποῖος πονηρὸς τοῦτο γενέσθαι παρέπεισε δαίμων; εἴθε θάνατον μᾶλλον ταύτης ἂν εἶδον ἐγὼ ἢ τοῦτό μοι τὸ δρᾶμα γενέσθαι ἰδεῖν καὶ μᾶλλον ὑπὸ ξένου καὶ δούλου τοῦτο συμ-

[1] *λυπ.] μόνον add P τοσοῦτον add U* ‖ [2] *τ. α. ἐστέρημαι κ. P* ‖ *π. α.] μᾶλλον add P* ‖ [3] *παμμ. om P* ‖ *ταύτης ἠλ. ψ. P non nulla add* ſ ‖ *εὔσχημος P om* ſ ‖ [4] *ποτε] πώποτε P: cf c 128i* ‖ *κατ.]* uidit morosam ſ ‖ [4–5] *ἔξω τ. ἰδ. κ. αὐτῆς ἔφ. (om ἀπὸ) P* ‖ [5] *κοιτ.] αὐτῆς add P: cf 204, 9* ‖ *τρέχ. om P* ‖ *κ. οὐκ ο.] μὴ γινώσκων P* ‖ [6] *ἀνεχ.] αὕτη ἀπῆλθεν P* ‖ *καὶ τ.* (ſ)] *μάλιστα P* ‖ *ἐμμ. γεν. om P* ‖ *ὑπὸ* (ſ)] *κατὰ P* ‖ [7] *μαν. del?* ‖ *ἐκεῖνον]* sed nescio quo abierit *add* ſ ‖ [8–9] *οὔτε - λεχθ.] om P* nam nihil erat quod cerneretur in ea ſ ‖ [8] *scr οὐδὲ?* ‖ *scr ἀλλ' <ἢ>? cf 103, 2* ‖ [10] *ὀδ.] ὀδυρᾶσθαι καὶ U: cf 225, 12* ‖ [11] *σ. ἔπ. κ.] κυρία μου μυγδονία πῶς τοῦτο μοι συνέβη ἵνα οὕτως (cf c 129m) P* ‖ *σύμβιέ <μου>? cf 209, 12* ‖ *ἔπ. κ. σοί] scr ἕνεκέν σου??* (ſ) ‖ *τάχ. στερηθῶ (om γάρ σου) P* ‖ [12] *προσφ.* (ſ) *om P* ‖ *γὰρ τοῦ om P* ‖ *μου β. ὑπ.* (ſ)] *μόνη μοι φιληθεῖσα P* ‖ [13] *οὔτε prius] γὰρ add P* ‖ *θυγατέραν P* ‖ *ἐκ σ. ἔ.] σχεῖν παρα σ. ἠξιώθην P* ‖ *ἐπ'] κἄν (cf 227, 1) ἐν P: del? cf 191, 14; 15; 220, 9; 224, 6; c 134m* ‖ [14] *ο.] ἀλλ' ο. P οὔτε γὰρ U* ‖ *scr πλήρη?? cf 118, 10; c 147i* ‖ *κατῴκησας P: scr συγκατῴκησάς??*

[15]–213,[21] *U et P separatim posui*

U [15–16] *βάσκ. - ἐμοῦ] ita fere* ſ ‖ [16] *ὡς om* ſ: *del?* ‖ [17–18] *scr εἴληφέν σε? εἰλήφει σε? cf 226, 12* ‖ [18] *scr συνεψηφισάμην <ἂν ἐμαυτὸν>?* (ſ) ‖ [19] *ἀλλὰ <μὴ>??* (ſ) ‖ [20] *ὑπὸ - τοι.]* hic peregrinus ſ ‖ [21] *<ὅς> καὶ?* (ſ) ‖ [22]–213,[1] *καὶ - κακ. om* ſ

μου τῆς κακίστης. μὴ γένοιτο δέ μοι ἐμπόδιον ἕως ἂν τοῦτον ἀπολέσω καὶ ἐκδικήσω τὴν νύκτα ταύτην· καὶ μηδὲ εὐάρεστος γένωμαι ἔμπροσθεν Μισδαίου τοῦ βασιλέως ἂν μὴ τὴν ἐκδίκησιν ποιήσῃ μοι διὰ τῆς τοῦ ξένου κεφαλῆς καὶ περὶ Σιφόρου τοῦ στρατηλάτου, ὃς καὶ πρόφασις γέγονεν. διὰ γὰρ τούτου ἐνθάδε ὤφθη, καὶ παρ' αὐτῷ κατάγεται· καὶ πολλοί εἰσιν οἱ εἰσιόντες καὶ ἐξιόντες, οὓς διδάσκει νέαν διδαχήν, τοῦτο λέγων, ὅτι οὐδεὶς δύναται ζῆσαι ἐὰν μή τις ἀπαλλαγῇ πάντων τῶν ὑπαρχόντων καὶ γένηται ἀποτεταγμένος ὥσπερ καὶ αὐτός· καὶ σπουδάζει πολλοὺς κοινωνοὺς ἑαυτῷ ποιῆσαι.

βῆναι. οὐ μὴ τοῖς ἐμοῖς ποσὶν ἀνάπαυσιν δώσω ἕως οὗ τοῦτον καὶ τὸν ἀγαγότα αὐτὸν ὧδε ἀπολέσω· εἰ μὴ γὰρ ὁ δεινὸς ὧδε τοῦτον ἤγαγε στρατηλάτης, οὐκ ἂν τῷ ἐμῷ οἴκῳ τοῦτο συνέβη. ἀναγγείλω περὶ τούτου τῷ βασιλεῖ Μισδαίῳ, καὶ οἶδα ὅτι ὡς πάντοτέ μου ἀκούει καὶ περὶ τούτου πάντως ποιήσει μου τὴν ἐκδίκησιν.

101 Ταῦτα διανοουμένου τοῦ Χαρισίου διέφαυσεν· καὶ ἐννυχεύσας ἐνεδύσατο ἐσθῆτα εὐτελῆ, καὶ ὑποδησάμενος ἀπήει σκυθρωπὸς ἐν ἀθυμίᾳ ὑπάρχων εἰς ἀσπασμὸν τοῦ βασιλέως. ἰδὼν δὲ αὐτὸν ὁ βασιλεὺς εἶπεν· Τίνος ἕνεκεν περίλυπος εἶ καὶ ἐν τοιούτῳ σχήματι ἦλθες; ὁρῶ δὲ καὶ τὸ πρόσωπόν σου ἐνηλλαγμένον. Ὁ δὲ Χαρίσιος λέγει πρὸς τὸν βασιλέα· Καινόν σοι ἔχω ὑφηγήσασθαι πρᾶγμα καὶ ἐρημίαν νέαν, ἣν Σιφὼρ

U 1–2 *μὴ - ἐμπ.*] numquam habebo quietem nec umquam inhibebor ſ ‖ 3–5 *τὴν - γέν.*] me ab illo. hac nocte non adero ſ ‖ 6 *ἂν* sed si ſ ‖ 7 *scr μου ποιήσῃ??* ‖ 7–8 *διὰ - κεφ.*] nec poena adficiet hunc peregrinum ſ ‖ 9 *στρατηλάτου ⟨ἀναγγελῶ⟩?* (ſ) ‖ 10 *γέγονεν ⟨ἀπωλείας αὐτῇ⟩?* (ſ) ‖ 11–12 *διὰ - καὶ*] nam ſ ‖ 15 *διδαχ.*] puritatis *add* ſ ‖ 17 *τις om* ſ: *del??* ‖ 19 *ἀποτ.*] asceticus et mendicus peregrinans ſ ‖ 20 *πολλ. om* ſ: *del?*

P 3 *scr ἀγαγόντα?* ‖ 7 *ἀναγγ.*] *cf 211, 22; 24*

23 *ἀπῆλθεν P: cf 133, 4 al; 103, 1 al; 215, 17* ‖ 24 *ἀπθρωπῶς* (*ἀπ inductum*) *P* ‖ *ἐν ἀ. ὑπ.*] *οὕτως πως P* ‖ *εἰς - βασ.*] *τὸν βασιλέα ἀσπάσασθαι P* ‖ 26 *τοι. σχ.*] *τῷ σχ. τούτῳ U* hoc misero habitu ſ haec uilitas m ‖ 26–27 *ὁρῶ - ἐν.*] *ἀλλὰ καὶ τ. πρ. σ. ἐν. ὁρῶ P: cf 183, 16; 184, 10; 202, 2; 209, 20; 214, 9; 217, 1; c 123i; 137m; 150e (bis); 152e; 162m* ‖ 27 *πρ. τ. β. λ. P* ‖ *ἔφη U* dicit ſ ‖ 28 *ν. ἐρ. P*

233 W ἤγαγεν ἐν τῇ Ἰνδίᾳ, ἄνδρα τινὰ Ἑβραῖον μάγον, ὃν ἔχει κα-
θεζόμενον ἐν τῷ ἰδίῳ οἴκῳ, ὃς οὐκ ἀφίσταται αὐτοῦ· πολλοὶ
δέ εἰσιν οἱ εἰσιόντες πρὸς αὐτόν· οὓς καὶ διδάσκει νέον θεὸν
καὶ νόμους νέους ἐντίθησιν αὐτοῖς τοὺς μή πω ἀκουσθέντας,
λέγων· Ἀδύνατόν ἐστιν ὑμᾶς εἰς τὴν αἰώνιον ζωὴν εἰσελθεῖν
ἣν ἐγὼ καταγγέλλω ὑμῖν, ἐὰν μὴ ἀπαλλαγῆτε ὑμεῖς τῶν ἰδίων
γυναικῶν, ὁμοίως καὶ αἱ γυναῖκες τῶν ἰδίων ἀνδρῶν. Ἔτυχεν
δὲ καὶ τὴν κακότυχον γυναῖκά μου ἀπελθεῖν πρὸς αὐτὸν καὶ
κατήκοον γενέσθαι τοῖς λόγοις αὐτοῦ· οἷς καὶ ἐπίστευσεν καὶ
διὰ τῆς νυκτὸς καταλιποῦσά με προσέδραμεν τῷ ξένῳ. ἀλλὰ
μετάπεμψαι τόν τε Σιφόρα καὶ ἐκεῖνον τὸν μάγον τὸν ἐν
αὐτῷ κρυπτόμενον, καὶ ἐπίθες τῇ κεφαλῇ αὐτῶν, ἵνα μὴ πάν-
τες οἱ τοῦ ἔθνους ἡμῶν ἀπολοῦνται.

102 Ταῦτα δὲ ἀκούσας Μισδαῖος ὁ φίλος αὐτοῦ λέγει
αὐτῷ· Μὴ λυποῦ μηδὲ ἀθύμει· ἐγὼ γὰρ μεταπεμψάμενος αὐτὸν
ἐκδικήσω σε, καὶ σὺ τὴν σεαυτοῦ γυναῖκα πάλιν ἕξεις καὶ τοὺς
63 B ἄλλους τοὺς μὴ δυναμένους ἐγὼ ἐκδικήσω. Ἐξελθὼν δὲ ὁ
βασιλεὺς ἐκαθέσθη ἐπὶ τοῦ βήματος· καθεσθέντος δὲ αὐτοῦ
ἐκέλευσεν Σιφόρα τὸν ἀρχιστρατηλάτην κληθῆναι· ἀπελθόντες
οὖν εἰς τὴν οἰκίαν αὐτοῦ εὗρον αὐτὸν καθεζόμενον ἐν δεξιᾷ

[1] ἐν τ. Ἰ. ἄ.] ὁ στρατηλάτης P ‖ ἑβ. τ. P ‖ ὃν ἔ. κ.] καὶ δοῦλον P ‖ [2] ἰδ. ο.] ο. αὐτοῦ ἀγαγὼν P ‖ [2–3] αὐτοῦ - διδ.] πάντας τοὺς τῆς χώρας ἡμῶν οἰκήτορας ἐκ τῶν <ἰδίων?> ἐθῶν ἀποσπῶν καὶ τῆς ἰδίας θρησκείας ὡς αὔτως (*cf* 178, 8 - 9) καὶ πρός (*scr* εἰς?) τινα P ‖ [4–6] καὶ ν. - ὑμῖν] πιστεύειν αὐτοὺς πείθων ἐπαγγέλλων καὶ τοῦτο ὅτι P ‖ [4] *scr* τί-θησιν? ‖ [5] ἀδ. - εἰσ.] non potestis filii fieri huius uitae aeternae ʃ ‖ [6] ὑμῖν *om* ʃ: *del?? cf* 186, 4; 202, 8 *et* 168, 1 *al* ‖ ὑμεῖς *om* P ‖ [7] αἱ *om* U ‖ ἀνδρ.] οὐ μὴ τύχητε τῆς αἰωνίου ζωῆς *add* P ‖ [8] ἐμὴν γαμετὴν (179, 11; 15; 216, 14 - 15; P *solus: sed cf* 208, 10) πρ. α. ἀπ. P ‖ [9] πιστεύσασα *et add* ἀπέστη μου τῆς κοινωνίας ἀλλὰ P ‖ [10] δ. τ. ν.] τῇ νυκτὶ ταύτῃ P: *cf* 100, 9 ‖ ἐάσασά U: *uerum? cf* 229, 10 *et* 171, 5 ‖ τ. ξ. πρ. P *om* ʃ ‖ προσπελὰ U ‖ ἀλλὰ] καὶ παρακαλῶ P ‖ [11] μεταπεμψάμενος P ‖ τόν τε *om* U: *del?* ‖ [11–12] τ. ἐν α. κρ. μάγ. (*om* ἐκ. τὸν) P ‖ [11] ἐκ. *del?* (ʃ) ‖ [11–12] κεκρυμμένον παρ' αὐτῷ U laqueos ei ponentem ʃ ‖ [12] ἐπ. τ. κ. α.] ἀμφοτέρους εἰ δυνατὸν ἄνελε P poena eos adfice ʃ: *cf* 184, 10?? 218, 13? ‖ ἵνα] *scr* εἰ δὲ? (ʃ) ‖ [13] ἀπώλονται U: *cf* 114, 3 ‖ [14] ὁ] ὁ βασιλεὺς ὁ καὶ P: *scr* ὁ συγγενὴς καὶ?? (*cf* 208, 9; 215, 11) a propinquo suo Charisio ʃ ‖ ἔλεγεν U ‖ [16] σὺ *om* P ‖ π. ἕ. γ. P ‖ πάλιν (ʃ) *om* U: *cf* 163, 13 ‖ [16–17] κ. τ. - ἐκδ. *om* P nam si ego ulciscor alios qui se non possunt ipsi ulcisci, te praesertim ʃ ‖ [17–18] ἐξ. - δὲ α. *om* ʃ ‖ [18] βήμ.] δικαστηρίου U ‖ κ. δὲ α. *om* U: *del?* ‖ [19] κελεύσας U ‖ κλ. τ. σίφορα P ‖ ἀρχ. *om* P: *scr* στρατηλάτην? *cf* 178, 13 *al*; 206, 11; 213, 9 ‖ [20] οὖν] δὲ P ‖ αὐτοῦ *om* U ‖ εὗραν U

τοῦ ἀποστόλου, καὶ Μυγδονίαν πρὸς τοῖς ποσὶν αὐτοῦ, σὺν παντὶ τῷ ὄχλῳ κατακούουσαν αὐτοῦ. καὶ προσελθόντες οἱ ἀποσταλέντες παρὰ τοῦ βασιλέως τῷ Σιφόρῳ λέγουσιν· Σὺ ἐνθάδε καθέζῃ ἀκούων ματαίων λόγων, καὶ Μισδαῖος ὁ βασιλεὺς ἐν τῇ ὀργῇ αὐτοῦ σκέπτεταί σε ἀπολέσαι διὰ τὸν μάγον τοῦτον καὶ πλάνον ὃν εἰσήγαγες εἰς τὸν οἶκόν σου. Ταῦτα ἀκούσας ὁ Σιφὼρ ἠθύμησεν, οὐ διὰ τὴν ἀπειλὴν τὴν τοῦ 234 W *βασιλέως πρὸς αὐτόν, ἀλλὰ περὶ τοῦ ἀποστόλου, ὅτι ἐναντίως ἔγνω ὁ βασιλεὺς περὶ αὐτοῦ· καὶ εἶπεν τῷ ἀποστόλῳ· Ἐγὼ περὶ σοῦ λυποῦμαι· εἶπον γάρ σοι ἀπ' ἀρχῆς ὅτι ἡ γυνὴ ἐκείνη γυνή ἐστιν Χαρισίου τοῦ συγγενοῦς καὶ φίλου τοῦ βασιλέως, καὶ οὐ συγχωρεῖ αὐτὴν ποιῆσαι ὃ ἐπαγγέλλεται, καὶ πάντα ὅσα ἂν αἰτήσῃ τὸν βασιλέα παρέχει αὐτῷ. Ὁ δὲ ἀπόστολος τῷ Σιφόρῳ λέγει· Μηδὲν φοβοῦ ἀλλὰ πίστευσον Ἰησοῦ τῷ ἀπολογουμένῳ ὑπὲρ ἡμῶν ἁπάντων· πρὸς γὰρ τὴν καταφυγὴν αὐτοῦ συνηθροίσμεθα. Ταῦτα δὲ ἀκούσας ὁ Σιφὼρ καὶ περιβαλὼν τὸ ἱμάτιον αὐτοῦ ἀπῄει πρὸς Μισδαῖον τὸν βασιλέα.*

103 *Ὁ δὲ ἀπόστολος ἐξήταζεν τὴν Μυγδονίαν· Τίς ἡ αἰτία ἡ γενομένη τοῦ ὀργισθῆναι τὸν σὸν ἄνδρα καὶ ταῦτα ἡμῖν κατασκευάσαι; Ἡ δὲ εἶπεν· Ἐπειδὴ οὐκ ἐξέδωκα ἐμαυτὴν τῷ ὀλέθρῳ αὐτοῦ. ἐβουλήθη γὰρ οὐδὲ ὑποτάξαι με καὶ ὑποβαλεῖν ἐκείνῳ ᾧ λατρεύει πάθει· καὶ ἐλυτρώσατό με ἐκεῖνος ᾧ*

14 cf Luc 8, 50

1 *πρὸς] ἐν P: cf 217, 21; 218, 1* ‖ 1–2 *καὶ πάντα τὸν ὄχλον αὐτοῦ κατακούοντα P* ‖ 2 *π. τῷ]* magna ſ ‖ *κ. α.]* et audiebant eum ſ et (Mygdoniam) audientem uerbum dei m ‖ 3 *εἶπον U* dicunt ſ ‖ 4 *μ. λ. ἀκ. P* ‖ 5 *α. ὀργῇ P* ‖ *ἀπ.] καὶ add U* ‖ 5–6 *πλ. κ. μ. τ. U: cf 209, 8* ‖ 7–8 *τὴν πρ. α. τ. β. ἀπ. (om alt τὴν) P* ‖ 9 *λέγει P recte?* dixit ſ ‖ 10 *ε. γ.] καὶ γ. ε. P: cf 15; 181, 10; 183, 13; 184, 8; 194, 8; 210, 23; 217, 24; c 141e (P: sed 206, 23 U; 183, 8; 10 PRUV)* ‖ *ἀπ' ἀ. om P* ‖ 11 *συγγ. κ. om U: cf 214, 14* ‖ 12 *ἐπ.] παρακελεύεται P: cf 206, 21 s* ‖ 13 *αἰτήσητε P* ‖ *ἀκούῃ αὐτοῦ P* ‖ 14 *εἶπεν U* dicit ſ ‖ *μηδ. φ. om P: scr μὴ φ.?* noli timere m ſ: *cf 229, 9* ‖ *Ἰ.] εἰς χριστὸν P* ‖ 15 *ὑπ. ἡμ. ἀπολ. P* ‖ 15–16 *ἡμ. - συνηθρ.]* et me et te et omnibus eis qui ad eum confugiunt et ad concilium eius conueniunt ſ ‖ 15 *ἀπ.] om P* ‖ *πρ. γ.] καὶ γ. πρ. P: cf 10* ‖ 16 *ὁ σίφωρ ἀκ. P* ‖ 16–17 *κ. π. τὸ ἱμ.] ἐνδυσάμενος U: cf 211, 5; 231, 9* ‖ 17–18 *τ. β. μισδ. P* ‖ 19 *ἐξήτασεν U* ‖ 19–21 *τίς - κατασκ.] δια τὴν παρὰ τοῦ ἀνδρὸς αὐτῆς γενομένην ὀργήν P* ‖ 21 *δὲ] ἀποκριθεῖσα add P* ‖ 21–216, 1 *ἐπειδὴ - χειρ. α.* (ſ)] *διὰ τὸ μὴ ἔκδωτον ἐμάυτὴν ποιήσασα (scr ποιῆσαι?) κατὰ τὴν προτέραν τῆς σαρκὸς κοινωνίαν συγκαθευδῆσαι γὰρ τῇ παρελθούσῃ ἐβούλετό με νυκτὶ P* ‖ 22 *⟨μετ'⟩ αὐτοῦ?* (ſ)

τὴν ψυχήν μου παρεθέμην ἀπὸ τῶν χειρῶν αὐτοῦ. κἀγὼ γυμνὴ ἀπέφυγον αὐτὸν καὶ πρὸς τὴν τροφόν μου ἐκαθεύδησα. τὸ δὲ συμβὰν αὐτῷ οὐκ ἐπίσταμαι διὰ τί ταῦτα ἐτεχνάσατο. Ὁ ἀπόστολος λέγει· Ταῦτα ἡμᾶς οὐ βλάψει, ἀλλὰ πίστευσον εἰς τὸν Ἰησοῦν, καὶ αὐτὸς ἀνατρέψει τὴν ὀργὴν Χαρισίου καὶ τὴν μανίαν καὶ τὸν οἶστρον ἐκείνου. καὶ αὐτός σοι σύνοδος γένηται ἐν τῇ φοβερᾷ λεωφόρῳ, καὶ αὐτός σε ὁδηγήσει εἰς τὴν βασιλείαν αὐτοῦ· εἰσάξει δέ σε εἰς τὴν αἰωνίαν ζωήν, 235 W παρέχων σοι τὴν παρρησίαν τὴν μὴ παρερχομένην μήτε ἀλλασσομένην.

104 Σιφὼρ δὲ παρέστη τῷ βασιλεῖ, καὶ ἐξήταζεν αὐτόν· Τίς ἐστιν καὶ πόθεν καὶ τί διδάσκει ὁ μάγος ἐκεῖνος ὃν ἔχεις ἐμφωλεύοντα ἐν τῷ οἴκῳ σου; Ὁ δὲ Σιφὼρ ἀπεκρίνατο τῷ βασιλεῖ· Οὐ μὴ ἀγνοῇς βασιλεῦ οἷον πόνον καὶ λύπην ἔσχον σὺν τοῖς φίλοις μου περὶ τῆς γυναικός μου, ἣν καὶ σὺ οἶδας καὶ ἄλλοι πολλοὶ διὰ μνήμης ἔχουσιν· καὶ τὰ περὶ τῆς θυγατρός μου, ἣν καὶ προτιμῶ πάσης τῆς κτήσεώς μου, οἷον καιρὸν καὶ πειρασμὸν πέπονθα· ἐγενόμην γὰρ γέλως καὶ κατάρα πάσῃ τῇ χώρᾳ ἡμῶν. ἤκουσα δὲ τῆς φήμης τοῦ ἀνδρὸς τούτου, καὶ γενόμενος πρὸς αὐτὸν ἐδεήθην αὐτοῦ, καὶ παραλαβὼν αὐτὸν ἤγαγον ἐνθάδε· καὶ ἐρχόμενος κατὰ τὴν ὁδὸν

[1–2] *καγὼ γ.* (ſ)] *γ. γὰρ U* ‖ [2] *ἀπ. - πρὸς*] *εἰσπηδήσασα* (*scr ἐκπηδήσασα*) *ἐπὶ P* ‖ *αὐτὸν*] *scr αὐτοῦ? ἀπ' αὐτοῦ?* ‖ *τρ. μου*] *ἐμὴν ἀπιοῦσα τρ. P* ‖ *ἐκ.*] *ἔμεινα P* ‖ [3] *τὸ δὲ - ἐτεχν.*] *πῶς δὲ ταῦτα ἐτ. οὐκ ἐπίστ. P* ‖ *διὰ τί*] *scr διότι?? cf Al 343, 14 Callinici uita Hypatii 103, 27* | [4] *ὁ ἀπ.*] *ὁ δὲ ἀπ. U καὶ ὁ ἀπ. P* apostolus ſ ‖ *εἶπεν U* dicit ei ſ ‖ *οὐ μὴ ταῦτα ἡμ. παραβλάψῃ* (*cf c 127 i*) *P* ‖ *scr βλάπτει?* (ſ) *cf 218, 13* | *πίστευε P* ‖ [5] *ἀνατρέψαι ἔχει P* ‖ *ὀργ.*] libidinem ſ ‖ [6] *τὸν τῆς μανίας οἶ.* (*om alt καὶ*) *P* liberabit te a corruptela et luxuria ſ ‖ [6–9] *κ. αὐτ. - ἀλλασσ. om P* ‖ [6] *scr συνοδοιπόρος?* dux ſ: *cf 155, 14; 229, 16* ‖ [7] *γενήσεται?? cf 114, 3; 220, 10* ‖ *scr αἰώνιον?? cf 191, 11* ‖ [9] *παρρ.*] imperium ſ ‖ [11] *ἐξετάζεται U* ‖ *αὐτόν om U περὶ τοῦ ἀποστόλου add P* ‖ [12–13] *πόθεν - σου*] *πῶς αὐτὸν εἰσήγαγεν εἰς τὸν οἶκον αὐτοῦ τοιοῦτον φαρμακὸν ὄντα καὶ μάγον P* ‖ [13–14] *τῷ β. ἀπ. P* ‖ [14] *οὐ μὴ ἀ.*] *ἔγνως U* num forte nescis ſ nosti enim m: *scr Μὴ ἀγνοεῖς?* ‖ *βασ. om P* ‖ [14–17] *πόν. - ἣν*] *μοι ἐν τῇ οἰκίᾳ συνέβη δεινόν πῶς ἡ ἐμὴ ἔπαθεν γαμετὴ ὡς αὔτως* (*cf 178, 8 - 9*) *δὲ καὶ ἡ ἡμῶν θυγάτηρ ἣ P* ‖ [15–16] *ἣν - ἔχ.*] cui ut scis multi honorem habebant ſ ‖ [17] *προτ. om P* ‖ *πάσ.*] *οἶδεν add P* ‖ *μου*] *πρωτεύειν add P* ‖ [17–18] *οἷον - κατάρα*] *τρεῖς γὰρ χρόνους κατὰ τοιοῦτον ἔπασχον πάθος καὶ γέλω P* ‖ [18] *πέπ. ἐγ. γ.*] passae sint et quomodo factae sint ſ: *cf 225, 7* | [19] *χ. ἡμ.*] *ἡμ. γέγονα χ. P* ‖ [19–20] *ἤκ. - τούτ.*] *τ. φ. δὲ τούτ. ἀκούσας* (*in ras ἐγὼ*) *τοῦ ἀνδ. P*

θαυμάσια | καὶ ἔκπληκτα εἶδον, καὶ ἐνθάδε πολλοὶ κατήκουσαν 64 B *τοῦ ὀνάγρου καὶ περὶ τοῦ δαίμονος ἐκείνου ὃν ἐξήλασεν, καὶ ἐθεράπευσεν τήν τε γυναῖκά μου καὶ τὴν θυγατέρα, καὶ νῦν ὑγιαίνουσιν· καὶ μισθοὺς οὐκ ᾔτησεν, ἀλλ' ἀπαιτεῖ πίστιν καὶ ἁγιωσύνην, ἵνα κοινωνοὶ αὐτῷ γένωνται ἐν οἷς διαπράττεται. τοῦτο διδάσκει, σέβειν καὶ φοβεῖσθαι ἕνα θεὸν τὸν πάντων δεσπότην καὶ Ἰησοῦν Χριστὸν τὸν υἱὸν αὐτοῦ, ἵνα σχῶσιν τὴν αἰώνιον ζωήν. ὃ δὲ ἐσθίει ἄρτος ἐστὶν καὶ ἅλας, καὶ τὸ ποτὸν αὐτοῦ ὕδωρ ἀφ' ἑσπέρας ἕως ἑσπέρας, πολλὴν εὐχὴν ποιούμενος· καὶ ὅσα ἂν αἰτήσῃ τὸν θεὸν αὐτοῦ, δίδωσιν αὐτῷ. καὶ διδάσκει*

ὅτι θεὸς οὗτος ἅγιός ἐστιν καὶ δυνατὸς καὶ ὁ Χριστὸς ζωὴ καὶ ζωοποιῶν.	*θεὸν ἅγιον καὶ ἀγαθὸν καὶ Χριστὸν τὸν υἱὸν αὐτοῦ ζωὴν καὶ ζωοποιόν.* 236 W

διὸ καὶ παραινεῖ τοῖς παροῦσιν αὐτῷ ἐν ἁγιωσύνῃ καὶ ἁγνείᾳ καὶ ἀγάπῃ καὶ πίστει προσέρχεσθαι αὐτῷ.

105 *Καὶ ταῦτα ἀκούσας Μισδαῖος ὁ βασιλεὺς παρὰ Σιφόρου πολλοὺς ἔπεμψεν στρατιώτας εἰς τὸν οἶκον Σιφόρου τοῦ στρατηλάτου, ἀγαγεῖν Θωμᾶν τὸν ἀπόστολον καὶ πάντας τοὺς εὑρισκομένους ἐκεῖσε. εἰσελθόντες δὲ οἱ πεμφθέντες ἔσω εὗρον αὐτὸν πλῆθος πολὺ διδάσκοντα· καὶ ἡ Μυγδονία πρὸς τοῖς ποσὶν αὐτοῦ ἐκάθητο. θεασάμενοι δὲ τὸν πολὺν ὄχλον περὶ αὐτὸν ἐφοβήθησαν καὶ ἀπῆλθον πρὸς τὸν βασιλέα αὐτῶν καὶ εἶπον· Οὐκ ἐτολμήσαμεν εἰπεῖν αὐτῷ τι· ὄχλος γὰρ*

[1] *θαυμ.] μεγάλα add P: recte?? cf 186, 4; c 141 m* ‖ *καὶ prius om* ſ: *del?* ‖ *καὶ alt] ἀλλὰ καὶ P: cf 213, 26* ‖ [1–2] *τ. ὀν. κατ. P* ‖ [2] *περὶ - ἐξ.]* quae daemon de eo pronuntiauit ſ ‖ [3] *τε om U* ‖ [4] *ἀλλ' ἀπ.]* praeter ſ ‖ *ἀπ.] αἰτεῖ U* ‖ [5] *αὐτοῦ U: cf 213, 21; 230, 13* ‖ [7] *ἵνα] διὰ τῆς τοιαύτης πίστεως add P* ‖ [7–8] *τ. αἰ. σχ. P* ‖ [7] *ἔχωσίν U: cf 141, 4* ‖ [9–10] *ἀφ'-ποι.] καὶ ἀπο ἑσπέρας ἕως πρωῒ παννύχον στάσιν ποιεῖ P* ‖ *scr* <*καὶ*> *π. εὐχ. ποιεῖ??* (ſ) ‖ [12–14] *U et P separatim posui. sic fere scr: ὅτι* <*ὁ??*> *θ. οὖτ. ἅγ. ἐ. κ. δυν.* (*om* ſ) *καὶ ἀγαθὸς καὶ χρηστὸς καὶ ζωὴ* (mansuetus ſ: *scr προσηνής??*) *καὶ ζωοποιός* (ſ) ‖ [15] *παροῦσιν] scr πιστεύουσιν?* (ſ) *παριοῦσιν?* ‖ *ἁγ. κ. ἁγ.]* munditia et puritate ſ: *cf 201, 5* ‖ [16] *κ. π. om* ſ: *del??* | *προσεύχεσθαι P* accedere ſ: *cf 166, 4* ‖ [17] *καὶ om P* ‖ [18] *Σιφ.] τοῦ ἀρχιστρατηλάτου add U: cf 19; 214, 19* ‖ [19] *τ. στρ.* (ſ) *om U* ‖ *ἀπ.] κυρίου add U* ‖ [20] *ἐκ. εὑρ. P* ‖ *οἱ π. om* ſ: *del? cf 22* ‖ *ἔσω] ἔνδοθεν τῆς οἰκίας P* ‖ [21] *αὐτὸν om P* sedentem et *add* ſ ‖ *πολὺ* (ſ) *om U* ‖ *διδασκόμενον P* ‖ *ἡ om P* ‖ *μυγδονίαν P* ‖ *παρὰ P: cf 215, 1; 218, 1* ‖ [22] *αὐτοῦ om P* ‖ *καθημένην et add τοῦ ἀποστόλου P* ‖ *τ. πολ. δὲ οἱ ἀποσταλέντες* (*cf 20*) *θεασ. ὄ. P* ‖ *τ. πολ.* (ſ) *om U* ‖ [23] *περὶ α. om P οἱ στ(ρ?)ατιῶται add U: cf 20* ‖ *ἐφ.] εἰσελθεῖν οὐκ ἐτόλμησαν P: cf 24* ‖ *κ. ἀπ.] ἀπελθόντες δὲ P* ‖ [24] *αὐτ. κ. om P* ‖ *τι κἀκείνω εἰπ. P: cf 205, 19* ‖ *ὄ. γ.] καὶ γ. ὄ. P: cf 215, 10*

ην πολὺς περὶ αὐτόν· καὶ ἡ Μυγδονία πρὸς τοῖς ποσὶν αὐτοῦ καθεζομένη ἠκροᾶτο τὰ ὑπ' αὐτοῦ λεγόμενα. Καὶ ταῦτα ἀκούσαντος Μισδαίου τοῦ βασιλέως καὶ Χαρισίου ἐκπηδήσας ὁ Χαρίσιος ἀπ' ἔμπροσθεν τοῦ βασιλέως συνεπισπασάμενος ὄχλον πολὺν εἶπεν· Ἐγὼ αὐτὸν φέρω βασιλεῦ καὶ τὴν Μυγ-δονίαν, ἧς τὸν νοῦν ἀφείλατο. Καὶ ἦλθεν εἰς τὴν οἰκίαν Σιφόρου τοῦ στρατηλάτου ἐντάραχος. καὶ εὗρεν αὐτὸν δι-δάσκοντα· Μυγδονίαν δὲ οὐ κατέλαβεν, ἀναχωρήσασα γὰρ ἦν εἰς τὸν οἶκον αὐτῆς, ἐγνωκυῖα ὅτι ἐμηνύθη τῷ ἀνδρὶ αὐτῆς ὅτι ἐκεῖ ἦν.

106 Ὁ δὲ Χαρίσιος εἶπεν τῷ ἀποστόλῳ· Ἀνάστα πονηρὲ καὶ ἀφανιστὰ καὶ ἐχθρὲ τοῦ ἐμοῦ οἴκου· ἐμὲ γὰρ ἡ σὴ μαγεία οὐ βλάπτει· τὴν γὰρ σὴν μαγείαν ἐπὶ τὴν σὴν κεφαλὴν θήσομαι. Ταῦτα δὲ αὐτοῦ εἰπόντος προσέσχεν αὐτῷ ὁ ἀπό-στολος καὶ εἶπεν αὐτῷ· Αἱ ἀπειλαί σου ἐπιστρέψουσιν πρὸς σέ. ἐμὲ γὰρ ἐν οὐδενὶ καταβλάψεις· μείζων γάρ σοῦ ἐστιν
237 W καὶ τοῦ σοῦ βασιλέως καὶ πάσης ὑμῶν τῆς στρατιᾶς ὁ κύριος
65 B Ἰησοῦς Χριστὸς εἰς ὃν τὰς ἐλπίδας ἔχω. | Λαβὼν δὲ ὁ Χαρί-σιος ἡμιφόριον ἑνὸς τῶν οἰκείων αὐτοῦ ἐπέβαλεν τῷ τραχήλῳ τοῦ ἀποστόλου λέγων· Σύρατε καὶ ἀπαγάγετε αὐτόν· ἴδω εἰ δύναται ὁ θεὸς ῥύσασθαι αὐτὸν ἀπὸ τῶν χειρῶν μου. Σύ-ραντες δὲ αὐτὸν ἀπήγαγον πρὸς Μισδαῖον τὸν βασιλέα. στὰς δὲ ὁ ἀπόστολος ἔμπροσθεν τοῦ βασιλέως λέγει αὐτῷ ὁ βασι-λεύς· Εἰπὲ τίς εἶ καὶ ποίᾳ δυνάμει ταῦτα διαπράττῃ. Ὁ δὲ ἀπόστολος ἡσύχαζεν. ἐκέλευσεν δὲ ὁ βασιλεὺς τοῖς ὑπηκόοις αὐτοῦ μαστιχθέντα αὐτὸν ἑκατὸν κη' δέσμιον βληθῆναι εἰς

[1] ἡ *om* P ‖ [4] συν.] καὶ P ‖ [5] εἶπεν] ἀράμενος λέγει P ‖ εἰσφέρω P *recte? cf 211, 12?* ‖ [7] ἀρχιστρατηλάτου U: *cf 214, 19* ‖ ἐντ.] μετὰ πολλῆς τῆς ταραχῆς P: *cf 160, 8* ‖ [8] μυγδονία U ‖ κατ. (ſ)] παρῆν U ‖ ἀ. γ. ἦν] ἀνακεχωρήκει γ. U: *cf 123, 2* ‖ [9] ἑαυτῆς οἰκ. U: *cf 204, 6* ‖ [9–10] ἐγν. - ἦν *om* P ‖ [11] ἀν.] περιπάτη *add* U ‖ [11–12] π. κ. ἀφ. (ſ)] μάγε καὶ φαρμακὲ P malefice m ‖ [12–14] ἐμὲ - θήσ.] καὶ ἄγομε (*scr* ἄγωμεν?) εἰς τὸν βασιλέα μισδαία (et ueni in praesentiam regis m) ἵνα περὶ τῶν σῶν μαγιῶν κακεῖ τὰς δίκας ἀποτιννύεις P ‖ [15–16] σαὶ ἀπ. π. σὲ ἐπ. P ‖ [17] βασ. σου U ‖ ὁ *om* U ‖ [18] ἔσχω καὶ (*cf 227, 22*) τ. ἐ. P ‖ [20] α. κ. ἀπαγ. *et add* ἕως τοῦ βασιλέως μισδαίου καὶ P ‖ [21] ὁ θ.] Iesus ſ Christus m: *scr* ὁ Ἰησοῦς? *cf 17* ‖ ῥύσ. *om* P eruat m ‖ αὐτοῦ P ‖ ἐκ P: *cf c 122 i* ‖ τῶν] (⟨ἐμῶν⟩?) ἀφαρπάσαι *add* P ‖ μου *om* P ‖ [22] πρὸς] usque ad ſ: *cf 20* | μισδαία P: *cf 12 - 14* ‖ [23] λ. α. ὁ β.] ἠρωτάτω καὶ φησίν U ‖ ὁ βασ. *om* ſ: *del?* ‖ [26] ⟨μάστιξιν⟩ μαστιχθέντα (*del* αὐτὸν)? *cf Am 54, 6 An 58, 13* ‖ ἑκ. κη' (centum quinquaginta ſ) δ. *om* P ‖ [26]–219,[1] ἐν τῇ φυλακῇ P: *cf 219, 1 (P); 133, 2 (et 219, 6; c 125 m; 142 i; 151 m; 159 i P solus)*

τὴν φρουράν. οἱ δὲ δεσμεύσαντες αὐτὸν ἀπήγαγον. ὁ δὲ βασιλεὺς καὶ Χαρίσιος ἐσκέπτοντο τὸ πῶς αὐτὸν θανατώσουσιν· τὸ δὲ πλῆθος ὥσπερ θεὸν προσεκύνουν αὐτόν· τοῦτο δὲ εἶχον κατὰ νοῦν εἰπεῖν ὅτι Τὸν βασιλέα ὕβρισεν καὶ πλάνος ἐστὶν ὁ ξένος.

107 Ὁ δὲ ἀπόστολος ἀπιὼν ἐπὶ τὸ δεσμωτήριον χαίρων καὶ ἀγαλλιῶν ἔλεγεν· Ἐξομολογοῦμαί σοι Ἰησοῦ ὅτι οὐ μόνον τῆς πίστεώς σου ἄξιόν με ἐποίησας, ἀλλὰ καὶ τοῦ ὑπομεῖναι πολλὰ διὰ σέ. εὐχαριστῶ οὖν σοι κύριε ὅτι ἐφρόντισάς μου καὶ δέδωκάς μοι τὴν ὑπομονήν· εὐχαριστῶ σοι κύριε ὅτι διὰ 238 W σὲ φαρμακὸς ἤκουσα καὶ μάγος. πρόσδεξαί με τοίνυν ἐκ τοῦ μακαρισμοῦ τῶν μετρίων καὶ τῆς ἀναπαύσεως τῶν κεκμηκότων καὶ τῶν μακαρισμῶν ἐκείνων οὓς μισοῦσιν οἱ ἄνθρωποι καὶ διώκουσιν καὶ ὀνειδίζουσιν, φαύλους περὶ αὐτῶν φθεγγόμενοι λόγους. ἰδοὺ γὰρ διὰ σὲ μισοῦμαι· ἰδοὺ διὰ σὲ τῶν πολλῶν κεχώρισμαι, καὶ διὰ σὲ τοιοῦτον οἷος οὐκ εἰμὶ λέγουσίν με.

108 Προσευχόμενον δὲ πάντες ἔβλεπον αὐτὸν οἱ δέσμιοι καὶ ἐδέοντο αὐτοῦ ὑπὲρ αὐτῶν εὔξασθαι. προσευξάμενος δὲ καὶ καθεσθεὶς ἤρξατο λέγειν ψαλμὸν τοιοῦτον· Ὅτε ἤμην βρέφος ἄλαλον ἐν τοῖς τοῦ πατρός μου βασιλείοις ἐν πλούτῳ καὶ τρυφῇ τῶν τροφέων ἀναπαυόμενος, ἐξ Ἀνατολῆς τῆς πατρίδος ἡμῶν ἐφοδιάσαντές με οἱ γονεῖς ἀπέστειλάν με· ἀπὸ δὲ πλούτου τῶν θησαυρῶν τούτων φόρτον συνέθηκαν μέγαν τε καὶ ἐλαφρόν, ὅπως αὐτὸν μόνος βαστάσαι δυνηθῶ· χρυσός ἐστιν ὁ φόρτος τῶν ἄνω, καὶ ἄσημος τῶν μεγάλων

[6] cf Matth 5, 12 ‖ [12] cf Matth 5, 3; 11, 28 ‖ [13] cf Matth 5, 11

---

[1] *δὲ prius*] *καὶ P: cf 227, 22* ‖ *δεσμ.* (ſ)] *μαστίξαντες et add ἐν τῇ φρουρᾷ P* ‖ *τοῦτον P* ‖ *ἀπ.*] *πρὸς τοὺς συγκεκλεισμένους add U* et cum abisset et introisset in carcerem *add* ſ ‖ [2] *τὸ om U: cf 126, 2; 134, 10* ‖ *ἀνέλωσιν U: cf 134, 10; c 125 i; 164 i* ‖ [3] *δὲ prius*] *scr γὰρ?* ‖ [3–5] *τοῦτο - ξένος om P* ‖ [5] *ὁ ξ. om* ſ ‖ [6] *ἀπελθὼν ἐν τῇ φυλακῇ P* ‖ *ἐπὶ*] *scr εἰς?* ‖ [9–10] *ὅτι - κύριε om P non nulla add* ſ ‖ [10] *scr ἔδωκας??* ‖ [11] *φ. - μάγ.*] *al* ſ ‖ *κ. μάγ. om U: del? cf 218, 11 - 12* ‖ [11–224, 20] *πρόσδ. - βασιλεῖ om P: cf praef*

[11] *πρ. με*] accipiam ſ: *scr προσδεξαίμην?* ‖ [13] *scr ⟨ἐκ⟩ τοῦ μακαρισμοῦ? cf 11* ‖ [16] *τοι. - εἰμὶ*] nescio quid ſ ‖ [19] *⟨καὶ⟩ ὑπὲρ??* (ſ) ‖ [20–224, 20] *de Niceta Thess Noeldeke Macke Beuan cf praef* ‖ [21] *ἄλ.*] paruulus ſ ‖ [24] *δὲ ⟨τοῦ⟩?* ‖ *τούτ.*] nostrorum ſ: *scr αὐτῶν??* ‖ [26] *ὁ φ. τ. ἄνω*] Beth Ellaie ſ (*Wright:* Beth Gelaie *Noeldeke ᾧ πᾶς ἄλλος ὑπείκει καὶ διαπέφευγε σίδηρος add Nicetas Thess dub Beuan*) ‖ *ὁ φ.*] e terra ſ (*Beuan*)

θησαυρῶν, καὶ λίθοι ἐξ Ἰνδῶν οἱ χαλκεδόνιοι, καὶ μαργαρῖται 239 W *ἐκ Κοσάνων· καὶ ὥπλισάν με τῷ ἀδάμαντι· καὶ ἐνέδυσάν με ἐσθῆτα διάλιθον χρυσόπαστον, ἣν ἐποίησαν στέργοντές με, καὶ στολὴν τὸ χρῶμα ξανθὴν πρὸς τὴν ἐμὴν ἡλικίαν. σύμφωνα δὲ πρὸς ἐμὲ πεποιήκασιν, ἐγκαταγράψαντες τῇ διανοίᾳ μου ἐπιλαθέσθαι με, ἔφησάν τε· Ἐὰν κατελθὼν εἰς Αἴγυπτον κομίσῃς ἐκεῖθεν τὸν ἕνα μαργαρίτην τὸν ὄντα ἐκεῖ περὶ τὸν δράκοντα τὸν καταπότην, ὅπως ἐνδύσῃ τὴν διάλιθον ἐσθῆτα καὶ τὴν στολὴν ἐκείνην ἣν ἐπαναπαύεται· τοῦ εὐμνήστου καὶ γένῃ μετὰ τοῦ ἀδελφοῦ σου κῆρυξ τῇ ἡμετέρᾳ βασιλείᾳ.*

109 *Ἠρχόμην δὲ ἐξ Ἀνατολῆς ἐφ' ὁδὸν δυσχερῆ τε καὶ φοβερὰν μεθ' ἡγεμόνων δύο, ἄπειρος δὲ ἤμην τοῦ ταύτην ὁδεῦσαι. παρελθὼν δὲ καὶ τὰ τῶν Μοσάνων μεθόρια, ἔνθα ἐστὶν τὸ καταγώγιον τῶν ἀνατολικῶν ἐμπόρων, ἀφικόμην εἰς τὴν τῶν Βαβυλωνίων χώραν. εἰσελθόντος δέ μου εἰς Αἴγυ-*240 W *πτον ἀπέστησαν οἱ συνοδεύσαντές μοι ἡγεμόνες, ὥρμων δὲ ἐπὶ τὸν δράκοντα τὴν ταχίστην καὶ περὶ τὸν τούτου φωλεὸν κατέλυον, ἐπιτηρῶν νυστάξαι καὶ κοιμηθῆναι τοῦτον, ὅπως μου τὸν μαργαρίτην ὑφέλωμαι. μόνος δὲ ὢν ἐξενιζόμην τὸ σχῆμα καὶ τοῖς ἐμοῖς ἀλλότριος ἐφαινόμην. ἐκεῖ δὲ εἶδον ἐμὸν συγγενῆ τὸν ἐξ Ἀνατολῆς, τὸν ἐλεύθερον, παῖδα εὐχαρῆ καὶ ὡραῖον, υἱὸν μεγιστάνων. οὗτός μοι προσελθὼν συγγέγονεν,*

---

[1] *θησ.*] Gazzak ſ ‖ *οἱ χ.*] carbunculi (?) ſ ‖ *scr χαλκηδόνιοι?* ‖ *μαργ.*] achates ſ (? *dub Beuan*) ‖ [2] *ἀδ.*] qui potest ferrum conterere *add* ſ *ᾧ πᾶς ἄλλος ὑπείκει καὶ διαπέφευγε σίδηρος add Nicetas Thess* ‖ *ἐνέδ.*] exuerunt ſ: *scr ἐξέδυσαν??? etiam τὴν ἐσθῆτα et τὴν στολὴν* (ſ) *oportuit* ‖ [3] *δ. χ.*] fulgentem ſ: *cf 8* ‖ [4] *τὸ χ. ξ.*] purpuream quae mensa (et) texta erat ſ ‖ [6] *ἐπιλ.*] ne obliuione obrueretur ſ *μὴ ἐκλαθέσθαι τῶν δωρεῶν καὶ τοῦ φύσαντος Nicetas Thess: ⟨τοῦ μὴ⟩ ἐπιλ.?* ‖ [7] *ἐκεῖ*] in medio mari *add* ſ ‖ [7–8] *π. τ. δ.*] circumdatum a serpente ſ (*Macke:* iuxta serpentem *Wright*) ‖ [7] *scr παρὰ?? cf 17* ‖ [8] *κατ.*] clare spirantem ſ: *cf 222, 14* ‖ *ὅπως*] denuo ſ: *scr αὖθις??* ‖ *δ.*] fulgentem ſ: *cf 3* ‖ [9] *ἣν ἐπ.*] qua contentus es ſ (*Wright:* qua gaudes *idem et Macke* quae supra posita est *Beuan*)*: scr ᾗ ἐπαναπαύεσαι???* ‖ *scr ἢ??* ‖ *τ. ε.*] *post σου* (*10*) *ponend?* qui est nobis loco proximus ſ: *cf 221, 20* ‖ [10] *scr γενήσῃ?? cf 114, 3; c 123e* ‖ *κῆρ.*] heres ſ: *scr κληρονόμος??* ‖ *⟨ἐν⟩ τῇ?* (ſ) ‖ [11] *Ἀν.*] et descendi *add* ſ ‖ [12] *ἄπ.*] paruulus ſ ‖ [13] *Μοσ.*] *scr Μεσηνῶν?? cf 223, 5* ‖ [15] *χ.*] et intraui moenia Sarbug (*dub Beuan*) *add* ſ *καὶ Λαβυρίνθου add Nicetas Thess: cf 222, 7* ‖ *εἰσ.*] *scr κατελθόντος* (ſ)? *cf 6* ‖ [17] *scr παρὰ??* circum ſ (*Wright Macke:* iuxta *Beuan*) *cf 7* ‖ *κατέλ.*] habitaui ſ (*Wright Beuan:* circumiui *Macke*) ‖ [21] *τὸν utrumque om* ſ ‖ [22] *μεγ.*] mercatoris olearii ſ (*Wright:* unctionis *Lipsius dub Beuan*)

καὶ συνόμιλον αὐτὸν ἔσχον, καὶ φίλον καὶ κοινωνὸν τῆς ἐμῆς πορείας ποιησάμενος. παρεκελευσάμην δὲ αὐτῷ τοὺς Αἰγυπτίους φυλάσσεσθαι καὶ τῶν ἀκαθάρτων τούτων τὴν κοινωνίαν. ἐνεδυσάμην δὲ αὐτῶν τὰ φορήματα, ἵνα μὴ ξενίζωμαι ὥσπερ ἔξωθεν ἐπὶ τὴν τοῦ μαργαρίτου ἀνάληψιν, καὶ τὸν δράκοντα διυπνίσωσιν κατ᾽ ἐμοῦ οἱ Αἰγύπτιοι. οὐκ οἶδα δὲ ἐξ οἵας ἔμαθον προφάσεως ὡς οὐκ εἰμὶ τῆς χώρας αὐτῶν, δόλῳ δὲ συνέμειξάν μοι τέχνην, καὶ ἐγευσάμην τῆς αὐτῶν τροφῆς. ἠγνόησα ἐμαυτὸν υἱὸν ὄντα βασιλέως, τῷ δὲ αὐτῶν ἐδούλευσα βασιλεῖ. ἦλθον δὲ καὶ ἐπὶ τὸν μαργαρίτην, ἐφ᾽ ὃν οἱ πατέρες μου ἀπεστάλκασίν με, τῷ δὲ τῆς τροφῆς αὐτῶν βάρει εἰς ὕπνον κατηνέχθην βαθύν.

110 *ταῦτα δέ μου παθόντος καὶ οἱ πατέρες μου ᾔσθοντο καὶ ἔπαθον ὑπὲρ ἐμοῦ. ἐκηρύχθη δὲ κήρυγμα ἐν τῇ βασιλείᾳ ἡμῶν ἵνα πάντες ἐπὶ τὰς ἡμετέρας ἀπαντῶσιν θύρας. καὶ τότε οἱ βασιλεῖς τῆς Παρθενίας καὶ οἱ ἐν τέλει καὶ οἱ Ἀνατολῆς πρωτεύοντες* 241 W *γνώμης ἐκράτησαν περὶ ἐμοῦ ἵνα μὴ ἔλθω ἐν Αἰγύπτῳ. ἔγραψαν δέ με καὶ οἱ δυνάσται σημαίνοντες οὕτως· Παρὰ τοῦ πατρὸς βασιλέων βασιλεὺς καὶ μητρὸς τὴν Ἀνατολὴν κατεχούσης καὶ ἀδελφοὺς αὐτῶν δευτέρους ἀφ᾽ ἡμῶν τῷ ἐν Αἰγύπτῳ υἱῷ ἡμῶν εἰρήνη. ἀνάστηθι καὶ ἀνάνηψον ἐξ ὕπνου, καὶ τῶν ἐπιστολιμαίων ῥημάτων ἄκουσον, καὶ ὑπομνήσθητι υἱὸς βασιλέων ὑπάρχων. δουλικὸν ὑπεισῆλθες ζυγόν·*

[1–2] *ἐ. π.*] *scr ἐμπορείας? ἐμῆς ἐμπορείας?* mercaturae meae ʃ | [2] *παρεκ. δὲ α.*] *ὅς μοι ἀεὶ συμπαρῆν καὶ συνεβούλευεν Nicetas Thess certe aptius* ‖ [3] *τούτ. om* ʃ ‖ [4] *ξεν.*] me auersarentur ʃ (*Wright sed dub:* me suspectum haberent *Macke* me cognoscerent *Noeldeke* mihi male dicerent *Beuan*) ‖ [5] *<ἐλθὼν> ἐπὶ?* (ʃ) ‖ [6] *οἱ Α. om* ʃ ‖ [8] *μ. τέχ.*] *καὶ τέχνῃ παρέκλιναν Nicetas Thess: scr <καὶ> τέχνῃ?? cf 149, 18* ‖ *ἐγ.*] dederunt mihi ʃ *ἀπογεύσασθαι ὑπηγάγοντο Nicetas Thess* ‖ [9] *<καὶ> ἠγνόησα?* ‖ *scr βασιλέων?* (ʃ) ‖ [10] *ἦλθον*] oblitus sum ʃ *μακρὰ χαίρειν εἰπὼν τῇ φροντίδι τοῦ μαργαρίτου Nicetas Thess: scr ἐπελαθόμην δὲ καὶ τοῦ μαργαρίτου??* ‖ [11] *τρ.*] oppressionis ʃ (*Wright:* cibi *coni Noeldeke dub Beuan*)*: cf 9* ‖ [12] *κατ.*] iacebam ʃ ‖ [13] *τ.*] omnia *add* ʃ ‖ *scr δ᾽ ἐμοῦ?* ‖ [15–16] *κ. τ. om et interpungit ante γνώμης (17)* ʃ ‖ [16] *Παρθίας* (ʃ) *Nicetas Thess recte: cf Ph 92, 13* ‖ [17] *πρωτ.*] omnes *add* ʃ ‖ *ἔλθω*] relinquerer ʃ: *scr λειφθῶ??* ‖ [18] *με*] *scr μοι* (ʃ): epistulam *add* ʃ ‖ [18–19] *σ. οὕτ.*] et signauerunt eam ʃ ‖ [19] *βασιλεὺς*] *scr βασιλέως* (ʃ)*: cf 223, 20* ‖ [20] *ἀδ. - ἡμ.*] *ἀδελφοὶ ἐξ αὐτῶν τὴν γένεσιν ἔχοντες Nicetas Thess* ‖ *scr ἀδελφοῦ σου τοῦ δευτέρου??* (ʃ) ‖ [21] *ἡμ.*] *καὶ ἀδελφῷ add Nicetas Thess* ‖ [22] *ὕπνου*] tuo *add* ʃ ‖ [23] *δ. ὑ. ζ.*] uide seruitutem: cui seruis! ʃ (*Wright Beuan:* quam seruis *Macke*)

μνημόνευσον τῆς ἐσθῆτός σου τῆς χρυσοπάστου· μνημόνευσον τοῦ μαργαρίτου δι' ὃν εἰς Αἴγυπτον ἀπεστάλης. ἐκλήθη δὲ τὸ ὄνομά σου βιβλίον ζωῆς καὶ τοῦ ἀδελφοῦ σου οὗ παρείληφας ἐν τῇ βασιλείᾳ ἡμῶν.

111 Ὁ δὲ βασιλεὺς ὡς πρεσβευτὴς κατεσφραγίσατο διὰ τοὺς πονηροὺς τοὺς Βαβυλωνίους παῖδας καὶ δαίμονας τυραννικοὺς Λαβυρίνθους. ἐγὼ δὲ πρὸς τὴν ταύτης φωνήν τε καὶ αἴσθησιν ἐξ ὕπνου ἀνεριμησάμην, ἀναλαβὼν δὲ καὶ καταφιλήσας ἀνεγίνωσκον. 242 W ἐγέγραπτο δὲ περὶ ἐκείνου τοῦ ἐν τῇ καρδίᾳ μου ἀναγεγραμμένου· καὶ ὑπεμνήσθην παραχρῆμα ὅτι βασιλέων εἰμὶ υἱὸς καὶ ἡ ἐλευθερία μου τὸ γένος μου ἐπιζητεῖ. ὑπεμνήσθην δὲ καὶ τοῦ μαργαρίτου ἐφ' ὃν κατεπέμφθην εἰς Αἴγυπτον· ἠρχόμην δὲ ἐφ' ἅρμασιν ἐπὶ τὸν δράκοντα τὸν φοβερόν, καὶ κατεπόνεσα τοῦτον ἐπονομάσας τὸ τοῦ πατρός μου ὄνομα. ἁρπάσας δὲ τὸν μαργαρίτην ἀπέστρεφον πρὸς τοὺς ἐμοὺς ἀποκομίσας πατέρας. καὶ ἀποδυσάμενος τὸ ῥυπαρὸν ἔνδυμα ἐν τῇ αὐτῶν κατέλειψα χώρᾳ, ηὔθυνον δὲ αὐτὸ καὶ τὴν ὁδὸν πρὸς τὸ φῶς τῆς κατὰ ἀνατολὴν πατρίδος. καὶ εὗρον καθ' ὁδὸν διαιροῦσάν με· αὐτὴ δέ, ὥσπερ φωνῇ

[1] *χρ.* (*Nicetas Thess*)] fulgentem ʃ (*Beuan*) et recordare togam gloriosam qua indueris et adornaberis *add* ʃ *καὶ τὴν εἰδεχθῆ ταύτην καὶ ἄμορφον τῶν Αἰγυπτίων ἀπόρριψον add Nicetas Thess* ‖ [1–2] *μν. - ἀπεστ. ante μν. - χρυσ.* (*1*) ʃ ‖ [2] *ἐκλ. δὲ*] cum uocatum erit ʃ (*Wright Beuan:* uocabitur *Macke*) ‖ [3] *βιβ.*] *scr ἐν βιβλίῳ?* (ʃ) ‖ *ζ.*] uirorum fortium ʃ ‖ *⟨μετὰ⟩ τοῦ?* (ʃ) ‖ *οὗ π.*] eris ʃ (*? Macke: dub Wright et Beuan*) ‖ [5] *ὁ δὲ β.*] epistula mea est epistula quam rex ʃ ‖ *ὡς πρ.*] dextra sua ʃ ‖ [6] *Β. π.*] filios Babylonis ʃ: *scr Βαβυλωνίων π.?* ‖ [7] *scr Λαβυρίνθου?* (*cf 220, 15*) uolauit (epistula) instar aquilae reginae auium omnium, uolauit et consedit prope me et tota facta est sermo *add* ʃ *αὕτη ἡ ἐπιστολὴ φῶς γέγονεν ἐμοὶ καὶ πῦρ καὶ τὸ ἐνόν μοι ζώπυρον ἀνάψασα εἰς ὕψος ἦρεν καὶ ἀετοῦ δίκην ἀνῇξεν ὥσπερ ὑπόπτερον add Nicetas Thess* ‖ [8] *αἴσθ.*] strepitum ʃ ‖ *scr ἀνωρμησάμην??* surrexi ʃ ‖ *καταφ.*] solui et *add* ʃ(?) ‖ [9] *περὶ ἐκ.*] secundum illud ʃ ‖ [11] *τὸ γ. μ.*] naturam suam ʃ ‖ *scr ἐπεζήτει?* requirebat ʃ (*Beuan:* confirmabat *Wright Macke*) ‖ [12] *δὲ καὶ om* ʃ ‖ [13] *ἠ. δὲ ἐφ' ἅ. ἐπὶ*] *scr ἠ. δὲ ἐπᾴσμασι κηλεῖν?* coepi incantare ʃ *ἐπῳδαῖς τε καὶ θείοις κατακηλήσας ἐπᾴσμασι Nicetas Thess: nunc ἠρχ. ab ἔρχομαι deriuatum uid* ‖ [14] *φοβ.*] clare spirantem *add* ʃ: *cf 220, 8* ‖ *scr κατεπόνησα?* (*cf 162, 24*) *κατεκοίμισα?* (ʃ) ‖ [15] *ὄν.*] et nomen eius qui est loco proximus et matris meae reginae orientis *add* ʃ ‖ [16] *τ. ἐ. ἀ. π.*] domum patris mei ʃ ‖ *scr ⟨αὐτὸν⟩ ἀποκομίσαι?? ⟨καὶ⟩ ἀποκομίσας post μαργ.* (*15*) *ponend??* ‖ [17] *ἔνδ.*] eorum *add* ʃ ‖ [17–18] *α. καὶ*] *scr αὐτίκα?* (ʃ) ‖ [18] *ὁδ.*] ut uenirem *add* ʃ (*Wright Beuan:* qua ueneram *Macke*) ‖ [19] *scr ⟨τὴν ἐπιστολὴν τὴν⟩ διεγείρουσάν* (*uel διεγείρασάν*)*??* (ʃ)

χρησαμένη ἀνέστησεν ὑπνωθέντα με, καὶ ὡδήγησέν με τῷ
παρ' αὐτῆς φωτί. ἔστιν γὰρ ὅτε ἡ ἀπὸ σηρικῶν ἐσθὴς βασι-
λικὴ πρὸ τῶν ἐμῶν ὀφθαλμῶν. ἀγούσης δέ με καὶ ἑλκούσης
τῆς στοργῆς τὴν Βαβύρινθον παρῆλθον· καὶ καταλείψας
ἐπ' ἀριστερὰ τὴν Βαβυλῶνα εἰς τὴν Μέσον ἀφικόμην τὴν με-
γάλην οὖσαν παραλίαν. 243 W

112 οὐκ ἐμνημόνευον δὲ τῆς λαμπρότητός μου· παῖς γὰρ
ὢν ἔτι καὶ κομιδῇ νέος κατελελοίπειν αὐτὴν ἐν τοῖς τοῦ πατρὸς
βασιλείοις· ἐξαίφνης δὲ ἰδόντος μου τὴν ἐσθῆτα ὡς ἐν ἐσό-
πτρῳ ὁμοιωθεῖσαν, καὶ ὅλον ἐμαυτὸν ἐπ' αὐτὴν ἐθεασάμην,
καὶ ἔγνων καὶ εἶδον δι' αὐτῆς ἐμαυτόν, ὅτι κατὰ μέρος διῃ-
ρήμεθα ἐκ τοῦ αὐτοῦ ὄντες, καὶ πάλιν ἕν ἐσμεν διὰ μορφῆς
μιᾶς. οὐ μὴν ἀλλὰ καὶ αὐτοὺς τοὺς ταμειούχους τοὺς τὴν
ἐσθῆτα κομίσαντας ἑώρων δύο, μορφὴ δὲ μία ἐπ' ἀμφοτέρων,
ἓν σύμβολον βασιλικὸν ἐν ἀμφοτέροις ἔκειτο· τὸ δὲ χρῆμα
καὶ τὸν πλοῦτον ἐν χερσὶν εἶχον, καὶ ἀπεδίδουν μοι τιμήν·
καὶ τὴν ἐσθῆτα τὴν εὐπρεπεστάτην, ἥτις ἐν φαιδροῖς χρώ-
μασιν χρυσῷ πεποίκιλτο καὶ λίθοις τιμίοις καὶ μαργαρίταις
χροιᾷ πρεπούσῃ· ἵδρυντο ἐν ὕψει· καὶ ἡ εἰκὼν τοῦ τῶν βασι- 244 W
λέων βασιλεὺς ὅλη δι' ὅλης· λίθοις σαμπφειρίνοις ἐν ὕψει
ἐπεπήγεισαν ἁρμοδίως.

---

2 ἔστιν - βασ.] *de* ſ *dub Wright Macke Beuan* ‖ 3 τ. ἐ. ὀ.] me *et add* forma sua (*? Wright Beuan:* in itinere meo *Macke*) et uoce sua et ductu me hortata est ut properarem ſ *unde explenda uid* ‖ 4 *scr* τῇ στοργῇ? (ſ) ‖ Β.] *scr* Λαβύρινθον? (*cf* 222, 7) Sarbug ſ (*Wright Macke: dub Beuan*) | 5 *scr* Μεσήνην?? (*cf* 220, 13) Maishan ſ ‖ μεγ.] portum mercatorum *add* ſ ‖ 6 παραλ.] et uestem meam fulgentem (ornatum meum *Macke: item 222, 1*) quam exueram et togam qua amictus eram ex Ramtha et Reken (*Wright:* Ramka et Reken *Macke* summa Hyrcania *coni Beuan*) parentes mei eo miserant per dispensatores (ταμειούχους: *cf* 13) suos quibus propter fidem eorum illa credi poterant *add* ſ ‖ 7 τ. λ. μου] formam eius ſ ‖ 9 ὡς ἐν] *scr* ὡσεὶ? (ſ) ‖ 10 καὶ *del?* (ſ) ‖ totam uidi in toto (*Wright Macke:* in me toto *Beuan*) *add* ſ ‖ ἐμ. *om* ſ? (*Wright Macke; non Beuan*) ‖ *scr* αὐτῇ? ‖ 11 κ. ἔγν. - ἐμ. *om* ſ ‖ 13 οὐ μ. ἀ. κ.] *cf c* 127 *e* ‖ 15–16 τὸ δὲ - τιμ.] manibus eius qui mihi reddebat depositum (*? Wright:* ornatum *Macke* thesaurum *Beuan*) meum et diuitias meas per eos ſ | 18 *scr* πεποίκιλτο, χρυσῷ? (ſ) ‖ λ. τιμ.] beryllis ſ ‖ μαργ.] *lapidum nomina habet* ſ ‖ 19 *scr* ἵδρυτο? paratum erat ſ ‖ ἐν ὕ.] domi suae in alto ſ? (*Wright Beuan:* in perfectione sua *Macke*) et adamantinis lapidibus omnes orae eius firmatae erant (omnes partes eius coniunctae erant *Macke*) *add* ſ ‖ τῶν *del?* ‖ 20 *scr* βασιλέως (ſ): *cf* 221, 19 ‖ 20–21 quasi lapides sapphirini erant uarii eius colores ſ ‖ 20 ὅλης <ἐπεποίκιλτο>? (ſ) | *scr* λίθοι σαπφείρινοι??

113 ἑώρων δὲ αὖθις ὅτι δι' ὅλων κινήσεις ἐξεπέμποντο γνώσεως, καὶ ἦν ἑτοίμη ἀφεῖναι λόγον· ἤκουον δὲ αὐτῆς ὁμιλούσης· Ἐγώ εἰμι ἐκείνου τῶν πάντων ἀνθρώπων ἀνδρειοτάτου οὗ ἕνεκεν παρ' αὐτῷ τῷ πατρὶ ἐνεγράφην· καὶ αὐτὸς δὲ ᾐσθόμην αὐτοῦ τῆς ἡλικίας. Αἱ δὲ κινήσεις αἱ βασιλικαὶ πᾶσαι ἐπανεπαύοντό μοι αὐξανούσης πρὸς ταύτης ὁρμάς· ἔσπευδεν ἐκ χειρὸς αὐτοῦ ὀρεγομένη ἐπὶ τὸν δεχόμενον αὐτήν. κἀμὲ ὁ πόθος διήγειρεν ὁρμῆσαι εἰς ὑπάντησιν αὐτοῦ καὶ δέξασθαι αὐτήν. ἐκταθεῖσαν δὲ χρωμάτων ἐκομίσθην, καὶ τὴν στολήν μου τὴν βασιλικὴν ὑπερέχουσαν ἐστολισάμην δι' ὅλου· ἐνδυσάμενος δὲ ἤρθην εἰς χώραν εἰρήνης σεβάσματος· καὶ τὴν κεφαλὴν κλίνας προσεκύνησα τοῦ πατρὸς τὸ φέγγος τοῦ ἀποστείλαντός μοι ταύτην, ὅτι ἐγὼ μὲν ἐποίησα τὰ προσταχθέντα, καὶ αὐτὸς ὁμοίως ὅπερ κατεπηγγείλατο· καὶ ἐν ταῖς θύραις τοῦ βασιλικοῦ τοῦ ἐξ ἀρχῆς αὐτοῦ κατεμειγνύ-
245 W μην. ἥσθη δὲ ἐπ' ἐμοὶ καὶ εἰσεδέξατό με μετ' αὐτοῦ ἐν τοῖς βασιλείοις· πάντες δὲ οἱ ὑπήκοοι αὐτοῦ εὐφήμοις φωναῖς ὑμνοῦσιν· ὑπέσχετο δέ μοι καὶ εἰς τὰς τοῦ βασιλέως θύρας σὺν αὐτῷ ἀποσταλεῖσθαι, ἵνα μετὰ τῶν ἐμῶν δώρων καὶ τοῦ μαργαρίτου ἅμα αὐτῷ φαινώμεθα τῷ βασιλεῖ.

251 W 114 Καὶ ὁ Χαρίσιος γεγηθὼς ἀπῄει οἴκαδε, νομίζων συνεῖναι τὴν αὐτοῦ γυναῖκα καὶ τοιαύτην γεγενῆσθαι οἵαν πρὸ

[1] ἐξεπ.] operabantur ſ: *scr ἐξεπονοῦντο??* ‖ ὁμ.] strepitum sonorum eius ſ quos edebat in eos qui eam detulerant *add* ſ (? *dub Wright Macke Beuan*) ‖ [3–5] *ἐγώ - ἡλικ. et* [6] *αὐξ. - ὁρμ.] obscura et incerta:* ego sum operans in actibus quem eduxerunt (ei *add Wright Beuan*) coram patre meo, et ego quoque animum aduerti (in me *add Macke Beuan*) staturam meam crescere secundum laborem suum (? eius *Wright Beuan*) ſ *non minus obscura* ‖ [3] τῶν] *scr τοῦ?* ‖ [4] *scr αὐτὴ??* ‖ [5] *scr ἐμαυτοῦ??* ‖ [6] *αὐξ. π. ταύτης ⟨τὰς⟩ ὁρμάς ante αἱ δὲ (5) ponenda et cum ἡλικ. coniungenda* (ſ) ‖ [7] *ἔσπ. - αὐτήν*] et in manu eorum qui dabant eam properabat ut eam acciperem ſ ‖ *αὐτοῦ*] *scr αὐτῶν?* (ſ) ‖ [8] *αὐτοῦ*] *scr αὐτῆς??* ‖ [9] *ἐκτ.*] manum porrexi et cepi eam ſ ‖ *χρ.*] eius pulchritudine *add* ſ ‖ *scr ἐκοσμήθην uel ἐκοσμίσθην* (ſ) ‖ [10] *β. ὑπ.*] fulgentibus coloribus ſ ‖ *scr βασιλικῆς??* ‖ [11] *εἰρήνης ⟨καὶ⟩?* (ſ) ‖ [15] *τοῦ ἐξ*] *scr τοῖς ἐξ?* (ſ) ‖ [17] *εὐφ.*] *incertum* ſ (luminum *coni Macke* laudis *coni Beuan*) ‖ [18] *⟨αὐτὸν⟩ ὑμνοῦσιν?* (ſ) ‖ *⟨βασιλέων⟩ βασιλέως?* (ſ) ‖ [19] *scr ἀποσταλήσεσθαι?* ‖ [21] *καὶ*] *τοῦ ἀποστόλου δὲ ἐν τῇ εἱρκτῇ (cf c 159 i) βληθέντος P: cf 218, 26* ‖ *οἴκ. γεγ. ἀπ. et add προσδοκῶν (partim in ras) καὶ P* ‖ [21–22] *τ. α. συγκαθευδῆσαι P: cf c 125 m; 127 i* ‖ [21] secum futuram ſ copulabitur mihi m ‖ [22] *γενήσεσθαι Vsener* ‖ [22–225,1] *scr οἵα ἦν πρὸ τοῦ uel καὶ τὸ πρότερον? cf 228, 5; c 123 e; 125 m; 128 e* ‖ [22] *οἵαν* (ſ) *om P: cf 228, 5; c 128 e* ‖ [22–225,1] *πρὸ τοῦ* (ſ) *om U*

τοῦ, πρὶν ἀκοῦσαι τοῦ θείου λόγου καὶ πιστεῦσαι τῷ Ἰησοῦ. ἀπελθὼν δὲ εὗρεν αὐτὴν τὰς τρίχας κεκομμένας ἔχουσαν καὶ τὴν ἐσθῆτα διαρεῤῥηγμένην· ἰδὼν δὲ εἶπεν αὐτῇ· Κυρία μου Μυγδονία, τί σε ἡ χαλεπὴ αὕτη κατέχει νόσος; καὶ τίνος ἕνεκα διεπράξω ταῦτα; ἐγώ εἰμι ὁ ἐκ παρθενίας σου γαμέτης, τῶν τε θεῶν καὶ τῶν νόμων ἄρχειν σού μοι διδόντων· τίς ἡ τοσαύτη σου μανία; ὅτι καταγέλως ἐν παντὶ τῷ ἔθνει γεγένησαι. ἀλλὰ ἀπόθου τὴν παρ' ἐκείνου τοῦ φαρμακοῦ μέριμναν· περιελῶ δὲ ἐκ μέσου τὴν ὄψιν ἐκείνου, ἵνα μηκέτι αὐτὸν ἴδῃς.

115 *Ἡ δὲ Μυγδονία τούτων ἀκούσασα ἀνεδίδου τῇ λύπῃ, στενάζουσα καὶ ὀδυρομένη. καὶ αὖθις ὁ Χαρίσιος· Τοσοῦτον ἄρα τοὺς θεοὺς ἠδίκησα, ὅτι τηλικαύτῃ με νόσῳ περιβεβλήκασιν;* 22 W *τί τοσοῦτον πεπλημμέληκα, ὅτι εἰς τοσαύτην με κατέβαλον ταπεινότητα; δέομαί σου Μυγδονία, μή μου τὴν ψυχὴν ἄγχε ἐπὶ τῇ θέᾳ σου ταύτῃ τῇ οἰκτρᾷ καὶ τῷ ταπεινῷ σχήματι, καὶ μή μου τὴν καρδίαν καταπόνει ταῖς ἐπὶ σοὶ φροντίσιν. ἐγώ εἰμι Χαρίσιος ὁ σὸς γαμετός, | ὃν ὅλον τὸ ἔθνος* 63 B *τιμᾷ καὶ δέδιεν· τί με δεῖ πρᾶξαι; καὶ οὐκ οἶδα πῶς ἀναστρέψω· τί δὲ καὶ λογίσωμαι; σιγήσω καὶ καρτερήσω; καὶ τίς ἀνέξεται ὅταν τινὲς τὸν θησαυρὸν αὐτοῦ λαμβάνωσιν; τίς δὲ τὸν σὸν καρτερήσειεν ἀγαθὸν τρόπον; τί γάρ ἐμοί; ἡ εὐωδία σου ἐν ταῖς ῥισίν μού ἐστιν, καὶ τὸ φαιδρόν σου πρόσωπον ἐν τοῖς ὀφθαλμοῖς μου ἐγκάθηται· ἀφαιροῦντά*

2 *αὐτ.*] sedentem *add* ſ decumbere solo *add* m ‖ *τὰς - ἔχ.*] et uultus eius erat demissus ſ ‖ *scr κεκαρμένας?* detonso capite m ‖ *ἔχουσα P* ‖ 3 *ἰδ. δὲ*] et erat tamquam insana propter Iudam ſ ‖ 4 *ἕνεκεν P: recte? cf 162, 11 et index* ‖ 5 *τ. δ. P* ‖ *σου γ.*] *νυμφίος* (*recte? cf 18; 110, 8; 233, 25; al*) *σου διαπρέψας P* ‖ 6 *μοι om P* ‖ *δεδωκότων P* ‖ 7 *σου om P* ‖ *τῷ*] *ἡμῶν add P* hoc ſ: *cf 230, 11* ‖ 8 *ἀλλὰ om P* ‖ *φαρμ.*] *δοθεῖσαν σοι add P* ‖ 9 *ἐκείν*|||| (*ου in ras*) *P* ‖ 10 *αὐτ.* (ſ)] *αὐτοῦ τὴν ὄψιν U* ‖ 11 *τούτ.*] *τῶν λόγων add P* haec a Charisio uiro suo ſ ‖ *ἀνεδίδου <ἑαυτὴν>?* ‖ 13 *scr ἠδίκησας?* (ſ) ‖ *scr σε?* (ſ): *cf 14; 241, 15* ‖ 14 *scr πεπλημμέληκας?* (ſ) ‖ *scr σε?* (ſ) ‖ 16 *ταύτῃ - σχ. om* ſ ‖ *τῷ om P* ‖ 18 *γ.*] *ποθητός P: scr γαμέτης??* (ſ) *cf 5* 19 *δεδίει U* ‖ *scr πρᾶξαι οὐκ ο. καί?* (ſ) ‖ *καὶ - ἀν. om P* ‖ *scr ἀναστρέψομαι? ἀναστραφῶ?? cf 259, 8* ‖ 20 *δὲ*] *δεῖ U πάλιν add P: cf 211, 10* ‖ *σ. κ. κ.*] *σ. δὲ μᾶλλον καρτερήσας U:* recorderne pulchritudinem tuam et sileam? an meminerim castitatis tuae et taceam? ſ ‖ 21 *λαμβάνουσιν P* ‖ 22 *τίς - τρ.*] possumne sustinere laetas tuas pulchritudines quae sunt coram me omni tempore? ſ ‖ *τρ. ἀγ. U* ‖ *τρόπον <ἀφαιρεθῆναι>??* ‖ *τί γ. ἐ. om P: scr τὸν ἀεὶ ὄντα παρ' ἐ.??* ‖ 22–23 *ἐν τ. ῥισὶ γὰρ τοῖς ἐμοῖς ἡ εὐ. σου P* ‖ 24 *scr ἀφαιροῦνταί*

μου τὴν ψυχήν, καὶ τὸ περικαλλὲς σῶμα ᾧ ἠγαλλόμην ὁρῶν διαφθείρουσιν· καὶ τὸν ὀφθαλμὸν τὸν ὀξυδερκέστατον πηροῦσιν· ἐκκόπτουσιν δὲ τὴν δεξιάν μου χεῖρα. ἡ χαρὰ ἡ ἐμὴ εἰς λύπην μετατρέπεται καὶ ἡ ζωή μου εἰς θάνατον· καὶ τὸ φῶς σκότῳ βαδίζεται. μηδεὶς λοιπὸν τῶν συγγενῶν βλέπετέ
253 W με, παρ' ὧν οὐδεμία μοι βοήθεια γέγονεν· οὐδὲ τοὺς θεοὺς τῆς ἀνατολῆς προσκυνήσω λοιπὸν τηλικούτοις με περιβαλόντας κακοῖς· οὐδὲ μὴν προσευξαίμην αὐτοῖς ἔτι, οὐδὲ μὴν θυσιάσαιμι αὐτοῖς ἀποστερηθεὶς τῆς συμβίου μου. τί δὲ αἰτήσαιμι ἕτερον παρ' αὐτῶν; ἡ γὰρ δόξα μου πᾶσα ἀφήρηται. εἰμὶ δὲ ἄρχων, δεύτερος τῆς τοῦ βασιλέως ἀρχῆς· ἠθέτησεν δέ με Μυγδονία ταῦτα πάντα ἀφείλατο· εἴθε δὲ τὸν ὀφθαλμόν μου σκόπτε σέ μοι προσεχούσης συνήθως.

116 Λέγοντος δὲ τοῦ Χαρισίου ταῦτα μετὰ δακρύων ἐκαθέζετο ἡ Μυγδονία σιωπῶσα καὶ εἰς τὸ ἔδαφος ἀφορῶσα· ὁ δὲ αὖθις προσελθὼν εἶπεν· Κυρία μου ποθεινοτάτη Μυγ-
254 W δονία, ὑπομνήσθητι ὅτι σὲ ἐκ πάντων τῶν ἐν τῇ Ἰνδίᾳ γυναικῶν ὡς καλλίστην ἐπελεξάμην καὶ ἔλαβον, δυνηθεὶς ἑτέρας πολλῷ σου καλλίω εἰς γάμον συνάψαι ἐμαυτῷ. μᾶλλον δὲ ψεύδομαι Μυγδονία· μὰ τοὺς γὰρ θεοὺς οὐκ ἂν ἔσται ἑτέραν κατὰ σὲ ἐν τῇ τῶν Ἰνδῶν εὑρεθῆναι χώρᾳ· οὐαὶ δέ μοι διὰ παντός, ὅτι οὐδὲ

[1] ὁρῶν *om U: scr* ᾧ ἑώρων *et post* ὀξυδερκ. *ponend?* (ʃ) ‖ [2–3] διαφθ. - χεῖρα] νῦν *P* ‖ [3] ἡ χ. ἡ ἐ.] τὸ γῆθός μου *U* ‖ [4] καὶ ἡ] ἡ δὲ *U* ‖ [5] βαδ.] tingitur ʃ: *scr* βαπτίζεται? (*uel* βάπτεται??) ‖ *scr* βλεπέτω? (βλέπεται *U*) ‖ [7] περιβαλλόντας *P* περιβαλλόντα *U* ‖ [8] ἔτι τούτοις προσεύξομαι *P* ‖ μὴν *alt om P: del?* ‖ [9] τ. σ. μου ἀπ. *P* ‖ [10] π. αὐτοῖς αἰτήσομαι ἕτ. *P* ‖ [11] ἀθετήσασα *P: scr* εἴθε τις (ʃ) ‖ [12] δέ - ἀφ.] auferat a me hanc gloriam omnem et magnas meas diuitias et det mihi unam horam praeteritorum amorum o Mygdonia ʃ *unde emendandum* ‖ με *om P* ‖ ἀφῃλαμένη *U: cf 11* ‖ [12–13] εἴθε - συνήθ. *om P* ‖ [12] εἴθε δὲ] εἰ δὲ *sup scr* θε *U: del* δὲ? ‖ [13] *scr* ἐξέκοπτε, σοῦ (ʃ) ‖ [17] σὲ *om P* ‖ *scr* πασῶν? *cf 200, 7* ‖ [18] ἔλ.] καίπερ *add P* ‖ δυνάμενος *P* ‖ ἑτέραν *P* multas ʃ ‖ [19] κάλλιον *P* (*cf 227,5; 233,12; 241,1; 243,22; 189,16; 208,23; 153,7*) nobiliores ʃ ἐμαυτὸν *add U* ‖ ἐμ. ἀγαγεῖν *P* (*cf 259, 9; 251, 18*) εἴπερ ἐβουλόμην *add U* ‖ [19–20] μ. δὲ (*cf 195, 14*) - θε.] οὐκ ἀλήθειαν δὲ μὰ τ. θε. εἴρηκα *P* sed profecto non (*del?*) mentior ʃ ‖ [20–21] οὐκ - σὲ] ὅτι οἷον τὸ σὸν γλυκύτατον κάλλος *P: cf 231, 20* ‖ [20] ἂν ἔ. ἑτ.] est mihi altera ʃ ‖ [21] εὕρηκα *P om* ʃ ‖ χώρᾳ *om U: ante* τ. Ἰ. *ponend? del? cf 156, 19* ‖ [21–22] δ. π.] et mundo ʃ ‖ [22]–227,[3] ὅτι - καταξιωθῶ] nam numquam audiam te loquentem etiam: quamquam (ille me) ignominia adfecit, precor ʃ *unde emendandum*

λόγῳ ἀμείψασθαι θέλεις· ὕβριζε δέ μοι εἰ δοκεῖ σοι, ἵνα λόγον μόνον παρὰ σοῦ καταξιωθῶ. ἀπόβλεψον δὲ εἰς ἐμέ, ὅτι καλλίω ὑπάρχω τοῦ φαρμακοῦ ἐκείνου·

κἂν ἡδύτατον ἀπὸ σοῦ λόγον ἀκοῦσαι καταξιοῦμαι. ἀπόβλεψον εἰς ἐμέ, ὅτι πολλῷ κρείττων ἐκείνου τοῦ φαρμακοῦ εἰμι·

πλοῦτος δέ μοι καὶ τιμὴ σὺ εἶ· καὶ πάντες γινώσκουσιν ὅτι οὐδείς ἐστιν τοιοῦτος οἷος ἐγώ· γένος δέ μοι καὶ συγγένεια σὺ εἶ· καὶ ἰδού, ἀφαιρεῖταί σε ἀπ' ἐμοῦ.

117 *Εἰπόντος δὲ ταῦτα τοῦ Χαρισίου ἡ Μυγδονία λέγει* πρὸς αὐτόν· Ἐκεῖνον ὃν φιλῶ βελτίων σού ἐστιν καὶ τῶν σῶν ὑπαρχόντων· ἡ γὰρ ὕπαρξίς σου ἐκ γῆς οὖσα εἰς γῆν ὑποστρέφει· ὃν δὲ ἐγὼ φιλῶ οὐράνιός ἐστιν, κἀμὲ σὺν αὐτῷ εἰς οὐρανὸν ἄξει. ὁ πλοῦτός σου παρελεύσεται, καὶ τὸ κάλλος σου ἀφανισθήσεται, καὶ οἱ πέπλοι σου, καὶ τὰ πολλὰ ἔργα· μόνος δὲ σὺ μετὰ τῶν πλημμελημάτων σου γυμνός· μὴ ὑπομνήσῃς δὲ ἐπ' ἐμοὶ τὰς πράξεις· εὔχομαι γὰρ τῷ κυρίῳ ἐπι- 255 W
λαθέσθαι σε, ὥστε μηκέτι μνησθῆναι τῶν προτέρων ἡδονῶν καὶ τῆς συνηθείας τῆς σωματικῆς, αἵτινες ὡς σκιὰ παρελεύσονται, Ἰησοῦς δὲ μόνος μένει εἰς τὸν αἰῶνα καὶ αἱ ψυχαὶ αἱ 67 B
εἰς αὐτὸν ἐλπίζουσαι. αὐτὸς Ἰησοῦς ἀπαλλάξει με τῶν αἰσχρῶν σου πράξεων ἃς ἔπραττον μετὰ σοῦ. Ἀκούσας δὲ ταῦτα ὁ

[1–6] *U et P separatim posui* ‖ [4] *δὲ del?* ‖ [5–6] *sic fere scr: ὅτι πολλῷ κρείττων ὑπάρχω τοῦ φαρμακοῦ ἐκείνου ⟨καὶ⟩ καλλίων ⟨αὐτοῦ⟩ εἰμι* (ſ) ‖ [7] *μοι*] *μου P* ‖ *σὺ εἶ*] *scr ἔστιν uel ὑπάρχει??* (ſ) *cf q s* ‖ [7–9] *ὅτι - εἶ*] nemini esse genus simile meo, et tu mihi plus es quam gens mea et omnia quae sunt mihi ſ ‖ [9] *ἀ. σε*] *σεαυτὴν ἀφαιρεῖς P* eripiunt te mihi ſ: *scr ἀφαιρεῖσαι??* ‖ [10] *ἔφη U* dicit ſ: *cf 243,21* ‖ [11] *ἐκεῖνος U: recte?? cf 240,6* ‖ *βέλτιόν U* ‖ *σού*] omnibus quae possides ſ: *scr ὧν κέκτησαι??* ‖ [11–12] *τ. σ. ὑπ.*] *ὧν ὑπάρχει σοι U: cf 178, 21; 213, 18* ‖ [11] *σῶν*] *scr σοὶ? cf 178, 21* [13] *ὃ U* ‖ [13–14] *κἀμὲ - οὐρ.* (ſ)] *καὶ ε. οὐρ. με πάλιν U* ‖ [15] *τὰ πέπλα P: cf 234, 3; 242, 6* ‖ *σου alt post πολλὰ U* ‖ *κ. τ. π. ἔ.*] ueterascent et conficientur et peribunt ſ ‖ [16] *σ. γ.*] et peccatis tuis ſ ‖ *σου*] *μένεις add U* ‖ *γυμν.*] *ἀπάγεις ἐκεῖ add P* ‖ *ὑπομνησθήσῃς U: scr ὑπομνησθῇς??* ‖ [17–18] *εὔχ. - σε*] quae oro rogoque dominum meum ut deleat mihi ſ ‖ [17] *γὰρ*] *δὲ P* ‖ [18] *σε*] *ἐμοῦ add U* ‖ *ὥστε - μν.*] noli me commonefacere ſ ‖ *μ. μν.*] *σε μὴ ὑπομνησθῆναι σε U* ‖ [19] *αἵτ. - παρ.*] a quibus oro ut liberer per amorem domini mei *et add non nulla* ſ ‖ *σκιαὶ P* ‖ [20] *Ἰ.* (ſ)] *εἷς U* ‖ [20–21] *αἱ ψ. - ἐλπ.*] *πᾶσαι αἱ ε. α. ἐλπ. ψ. P* ‖ [21] *αὐτὸς*] *ὁ add P* ‖ *Ἰ.*] ad quem confugi et cui credidi ſ ‖ *τ. αἰ. ἀ. με P* ‖ [22] *σου om P* ‖ *ἃς*] *καὶ add P: cf 169, 8; 205, 13; 207, 9 - 10; 218, 18; 228, 5; 229, 3; 10; 243, 23; 245, 22; 246, 4; (253, 22;) 259, 11; al (sed 163, 11; 178, 18; 208, 3; 213, 10; 214, 3 etiam U)* ‖ *μ. σ. τὸ πρότερον ἔπ. P* cum non credebam *add* ſ

Χαρίσιος εἰς ὕπνον ἐτράπη λελυμένος τὴν ψυχὴν λέγων αὐτῇ· Κατὰ σεαυτὴν

λόγισαι δι' ὅλης τῆς νυκτὸς	*δι' ὅλης σκέψου τῆς νυκτὸς*
σήμερον· ἐὰν θελήσῃς μετ' ἐμοῦ εἶναι τοιαύτη	
οἵαπερ ἦσθα τὸ πρίν,	*οἵα καὶ τὸ πρότερον ἦς,*

ἐκεῖνον δὲ τὸν φαρμακὸν μὴ ἴδῃς, πάντα σου τὰ καταθύμια ποιήσω· καὶ ἄρῃς σου τὴν διάθεσιν τὴν πρὸς αὐτόν, ἐκβαλὼν αὐτὸν ἐκ τοῦ δεσμωτηρίου ἀπολύσω, καὶ εἰς ἑτέραν μεταστῇ χώραν· καὶ οὐ μή σε λυπήσω· οἶδα γὰρ ὅτι σφόδρα τοῦ ξένου ἀντιποιῇ. καὶ οὐκ ἀπὸ σοῦ πρώτης τὸ πρᾶγμα συνέβη· ὡς καὶ πολλὰς καὶ ἄλλας ἠπάτησεν μετὰ σοῦ· κἀκεῖναι ἀνένηψαν καὶ εἰς ἑαυτὰς ἐπανῆλθον. μὴ οὖν ἀντὶ μηδενὸς θῇς τοὺς ἐμοὺς λόγους καὶ ποιήσῃς με ὄνειδος ἐν τοῖς Ἰνδοῖς.

118 *Ταῦτα τοῦ Χαρισίου λέγοντος ὕπνωσεν· ἡ δὲ λα-*
256 W *βοῦσα δηνάρια δέκα ἀπῄει λάθρα δοῦναι τοῖς δεσμοφύλαξιν ὅπως εἰσέλθῃ πρὸς τὸν ἀπόστολον.*

συνέτυχεν δὲ καθ' ὁδὸν Ἰούδας	*ὡς δὲ κατὰ τὴν ὁδὸν ἀπῄει,*
Θωμᾶς ἐρχόμενος.	*συναντᾷ αὐτὸν ἐρχόμενον·*

ὃν ἰδοῦσα ἐφοβήθη· ἐνόμισεν γὰρ αὐτὸν ἕνα τῶν ἀρχόντων εἶναι· φῶς γάρ τι πολὺ προηγεῖτο αὐτοῦ. καὶ ἔλεγεν πρὸς ἑαυτὴν φεύγουσα· Ἀπώλεσά σε ὦ ἀθλία ψυχή· οὐ γὰρ ἴδῃς αὖθις Ἰούδαν τὸν ἀπόστολον τούτου ζῶντος, καὶ ἕως τοῦ

[1] τῇ ψυχῇ P ‖ αὐτῇ] τῇ μυγδονίᾳ τὰ P ‖ [3] et [5] U et P separatim dedi [3] scr σκέψαι καὶ λόγισαι δι' ὅλης τῆς νυκτὸς (ſ) ‖ [4] σήμ. (ſ) om P ‖ ἐὰν θ.] καὶ εἰ μὲν θέλεις P ‖ ἐὰν] γὰρ add U ‖ εἶναι μ. ἐ. P ‖ τοι. om P: cf 224, 22 [5] scr οἵαπερ ἦς (cf 158, 19; 233, 7; 261, 10) τὸ πρότερον πρὶν ἢ ἐκεῖνον τὸν φαρμακὸν ἰδεῖν (ſ): cf 224, 22; 233, 7; 237, 4 ‖ [7] πράξω U ‖ scr κἂν? et si ſ ‖ [7–8] ἄρ. - ἐκβ. α. om P ‖ [7] ἄρῃ sup scr σ U cupis propter ſ ‖ [8] δεσμ.] τὸν ἀπατήσαντά σε add P ‖ καὶ (ſ)] ἵνα U ‖ μετ.] ἀποστείλωμεν P: cf 114, 3 ‖ [9–10] καὶ - συνέβη (ſ)] ἵνα μὴ πάλιν ἀπατήσῃ σε P ‖ [10–11] ὡς - σοῦ om U: scr fere ἀλλὰ κ. πολλαῖς κ. ἄλλαις ὅμοιόν τι συνέβη (ſ) [11–12] κἀκ. - ἐπαν. (ſ) om P non nulla add ſ ‖ [12–13] ἀντὶ - λόγ. (ſ)] τῆς ἐμῆς παραινέσεως (νέ in ras) παραβλέψῃ P non nulla add ſ ‖ [13] ὄν. ἐν τῇ τῶν ἰνδ. ποι. με χώρᾳ P: cf 156, 19; 100, 7 ‖ [14] ταῦτα - λέγ.] ἐν δὲ τούτοις τοῖς λόγοις U ‖ scr εἰπόντος?? (ſ) ‖ ὕπν.] διατομηπείθεσθαι τὴν μυγδονίαν· add U ‖ [17–18] U et P separatim dedi scr sic fere: ὡς δὲ κ. τ. ὁ. ἀπῄει, Ἰ. Θ. συναντᾷ αὐτὴν (? αὐτῇ? cf AM 115, 7) ἐρχόμενος (ſ): cf 263, 8 ‖ [20] τι om P ‖ [20–21] πρ. ἑ. φ. om ſ ‖ [21] οὐ γὰρ] ὅτι οὐκ P: οὐ ⟨μὴ⟩ γὰρ? [21–22] ἴδ. αὖ. Ἰ.] ἠξιώθης ἄρτι τοῦ νέου θεοῦ ἰδεῖν P ‖ [21] scr ἴδω?? (ſ) [22] τὸν] καινὸν add U ‖ [22]–229,[1] τούτου - σφ. om P ‖ [22] τούτου] scr ⟨Ἰησοῦ⟩ τοῦ ⟨θεοῦ⟩ τοῦ? (ſ) ‖ καὶ] scr ὅτι? (ſ)

νῦν ἁγίαν οὐκ ἐδέξω σφραγῖδα. Καὶ φεύγουσα εἰς στενὸν προσέδραμε τόπον, κἀκεῖσε ἐκρύπτετο λέγουσα· Αἱρετώτερον ὑπὸ μετριωτέρων ἀναλίσκεσθαι, οὓς δυνατὸν πεῖσαι, ἢ περιπεσεῖν τῷ ἄρχοντι τούτῳ δυνατῷ, καταφρονοῦντι δώρων.

Πρᾶξις ι΄ ὅτε Μυγδονία λαμβάνει τὸ βάπτισμα.

119 Διανοουμένης δὲ ταῦτα τῆς Μυγδονίας καθ' ἑαυτὴν Ἰούδας εἰσελθὼν ἐπέστη αὐτῇ· ὃν ἰδοῦσα ἐφοβήθη καὶ πεσοῦσα ὑπὸ φόβου ἐξέθανεν· αὐτὸς δὲ παραστὰς καὶ τῆς χειρὸς αὐτῆς λαβόμενος ἔφη αὐτῇ· Μὴ φοβοῦ Μυγδονία· οὐκ ἐάσει σε Ἰησοῦς, οὐδὲ παρόψεταί σε ὁ κύριός σου ᾧ τὴν ἑαυτῆς ψυχὴν ἀνέθηκας. οὐκ ἐγκαταλείψει σε ἡ πολύσπλαγχνος αὐτοῦ ἀνάπαυσις· οὐκ ἐγκαταλείψει σε ὁ χρηστὸς διὰ τὴν πολλὴν αὐτοῦ χρηστότητα καὶ ὁ ἀγαθὸς διὰ την ἀγαθωσύνην. ἀνάστηθι τοίνυν ἀπὸ τῆς γῆς ὑπεράνω ταύτης ἅπασα γενομένη· ἴδε τὸ φῶς, ὅτι οὐκ ἐᾷ κύριος τοὺς ἀγαπῶντας αὐτὸν ἐν τῷ σκότει βαδίζειν. θέασαι τὸν συνοδοιπόρον τῶν αὐτοῦ δούλων, ὅτι αὐτὸς αὐτοῖς σύμμαχος ἐν κινδύνοις. Καὶ ἡ Μυγδονία ἀναστᾶσα προσεῖχεν αὐτῷ καὶ 257 W
εἶπεν· Ποῦ ἀπῄεις κύριέ μου; καὶ τίς ὁ ἐξαγαγών σε ἐκ τοῦ δεσμωτηρίου καθορᾶν τὸν ἥλιον; | Λέγει αὐτῇ Ἰούδας Θωμᾶς· 68 B
Ὁ κύριός μου Ἰησοῦς δυνατώτερός ἐστιν πασῶν δυνάμεων καὶ βασιλέων καὶ ἀρχόντων.

120 Καὶ ἡ Μυγδονία εἶπεν· Δός μοι τὴν σφραγῖδα Ἰησοῦ Χριστοῦ καὶ δέξομαι δωρεὰν παρὰ τῶν σῶν χειρῶν

[1] νῦν ⟨τὴν⟩? cf 231, 16 ‖ ἁγ. del? om ʃ ‖ scr ἐδεξάμην?? ‖ [1–2] εἰς - ἐκρ.] in aliam uenit plateam ʃ ‖ [2] πρ. - ἐκρ.] τόπ. εἰσδραμοῦσα ἐν ἀποκρύφῳ τόπῳ ἐκρύβη U ‖ scr προέδραμε? ‖ [3] scr ἁλίσκεσθαι (ʃ) ‖ οὓς] καὶ add P: cf 227, 22 ‖ πει//σαι U ‖ [3–4] περ. - δώρ.] ἐν ταῖς τοῦ ἄρχοντος τούτου χερσὶν ἐμπεσεῖν με P ‖ [4] τούτῳ ⟨τῷ⟩? ‖ [5] ὅτε] ἡ add P ‖ [6] κ. ἑ. om P: cf 228, 2 ‖ [7–8] ὑ. τοῦ φ. ἐπὶ τὴν γῆν. πεσ. P ‖ [8] ἐξέθ.] ἔκειτο ὥσπερ νεκρά P om ʃ: del? ‖ [8–9] αὐτὸς - ἔφη] ἐκ τ. χ. δὲ ταύτην λαβ. ὁ θωμᾶς ἀνέστησεν λέγων P et adstitit ei et dixit ʃ ‖ [9] scr εἶπεν? cf 243, 21 ‖ αὐτῇ (ʃ) om U ‖ [10] οὐ μή σε Χριστὸς ἐάσει P ‖ οὐδὲ (ʃ)] οὐ U ‖ [10–12] ᾧ - ψ. (ʃ)] εἰς ὃν (cf 245, 22) καὶ (cf 227, 22) σεαυτὴν P ‖ [11–13] οὐκ - ἀγαθωσ. (ʃ) om P ‖ [12] χριστὸς (compend) U bonus ʃ ‖ [14–15] ὑπ. - γεν.] καὶ P ‖ [15] scr ἅπαξ? (ʃ) ‖ [16–18] θέ. - κινδ. om P ‖ [19] scr ἔλεγεν? (ʃ) ‖ τίς] ἐστιν add U: cf 230, 12 ‖ [20] ὁρᾶν P: cf 255, 2; 10; 147, 13 ‖ [21] Ἰ.] χριστὸς add P ‖ [23–24] δός - Χρ. (ʃ)] τὴν ἐν χριστῷ (cf 231, 16; 165, 13) κύριέ μου πάρασχέ μοι σφ. P: cf 231, 15 ‖ [24] δέξ. - χ.] διὰ (ab ʃ) τ. σ. χ. τὸ λουτρὸν λάβω τῆς ἀφθαρσίας P ‖ donum eius ʃ ‖ τ. σ. χ. (ʃ)] τῆς σου χειρὸς U

πρὶν ἤ σε τοῦ βίου ἐξελθεῖν. Καὶ παραλαβοῦσα αὐτὸν εἰς τὴν αὐλὴν εἰσῆλθεν, καὶ ἐξύπνιζεν τὴν τροφὸν λέγουσα πρὸς αὐτήν· Μήτηρ ἐμὴ καὶ τροφὲ Μαρκία, πάσας τὰς πρός με ὠφελείας καὶ ἀναπαύσεις ἐκ παίδων ἕως τῆς νῦν ἡλικίας ματαίας εἰργάσω, καὶ χάριν σοι δι' αὐτὰς ὀφείλω πρόσκαιρον. ποίησον δέ μοι καὶ νῦν χάριν, ἵνα διὰ παντὸς τὴν ἀμοιβὴν ἀπολάβῃς παρ' ἐκείνου τοῦ τὰ μεγάλα χαριζομένου. Καὶ ἡ Μαρκία πρὸς τούτοις Τί θέλεις φησὶν θυγάτηρ μου Μυγδονία; καὶ τί σοι πρὸς ἡδονήν ἐστιν γενέσθαι; τὰς δὲ τιμὰς ἃς πρότερα ἐπηγγείλω μοι οὐκ εἴασέν σε ὁ ξένος ἀγαγεῖν εἰς τέλος, καὶ ὄνειδός με ἐν παντὶ τῷ ἔθνει κατέστησας· καὶ νῦν τί ἄρα καινὸν ὅπερ μοι ἐπιτάσσεις; Καὶ ἡ Μυγδονία λέγει· Γενοῦ μοι κοινωνὸς τῆς αἰωνίου ζωῆς, ἵνα δέξωμαι παρὰ σοῦ τροφὴν τελείαν. ἄρτον μοι ἀνελομένη κόμισον καὶ ὕδατος κρασίν, τῆς ἐλευθερίας μου φειδομένη. Ἡ δὲ τροφὸς ἔφη·
258 W Ἐγὼ κομίσω ἄρτους πολλοὺς καὶ ἀντὶ ὕδατος μετρητὰς οἴνου, καὶ τὴν ἐπιθυμίαν σου πληρῶ. Ἡ δὲ λέγει πρὸς τὴν τροφόν· Μετρητῶν οὐ δέομαι, οὐδ' αὐτῶν τῶν πολλῶν ἄρτων. τοῦτο δὲ μόνον, κρασὶν ὕδατος καὶ ἕνα ἄρτον καὶ ἔλαιον κόμισον.

121 Κομισάσης δὲ τῆς Μαρκίας ταῦτα ἡ Μυγδονία ἵστατο ἔμπροσθεν τοῦ ἀποστόλου γυμνῇ τῇ κεφαλῇ· καὶ αὐτὸς ἄρας τὸ ἔλαιον κατέχεεν ἐν τῇ κεφαλῇ αὐτῆς εἰπών· Ἔλαιον ἅγιον εἰς ἁγιασμὸν ἡμῖν δοθέν, μυστήριον κρυφιμαῖον ἐν ᾧ ὁ σταυρὸς ἡμῖν ἐδείχθη, σὺ εἶ ὁ ἁπλωτὴς τῶν κεκα-

[1] πρὶν (cf 225, 1; 244, 20 et 237, 5; 247, 10) ἐξ. σε τ. β. U || [2] εἰσ.] ἤγαγε τῆς τροφοῦ P in domum suam add ſ || ἀφύπνιζε P: cf 249, 12 [2–3] πρ. α.] αὐτῇ P || [3] ἐμὴ καὶ om U || τρ.] μου μήτηρ add U || Narcia ſ Narchia m item infra: cf index et praef || [3–5] πάσ. - εἰργ. (ſ)] πᾶσαν ἐκ νηπίου τὴν ἀνάπαυσιν μου ἐποίησας καὶ τὰ θελήματά μου ἐπλήρωσας P [5] ὀφ.] habeo ſ | πρόσκ. (ſ: cf 6)] κυρία μου P || [6] νυνὶ δέ μ. π. (om καὶ) U sed fac mihi hanc gratiam ſ || ἵ. δ. π.] aeternam et ſ || τ. ἀμ. διαπ. U || [7–8] π. τούτ. δὲ ἡ μ. P || [9–12] κ. τί - ἐπιτ. om P || [9–10] scr ἃς πρότερον?? τὰς προτέρας ⟨ἃς⟩ (ſ)?? || [12] ἔφη U dicit ſ: cf 243, 21 || [14] τελ. τρ. P || μοι] clam add ſ | ὕδ.] uini ſ ὡσαύτως add P: cf 178, 8 - 9 || [15] scr κρασίον?? cf 19 || τρ. om U || [16] ἀ. ὕδ. om ſ || [17] προθυμίαν U || πληρώσω Usener || λέγει om U dicit ſ || [18] μετρ.] multis add ſ || χρίζω U || [18–19] τ. δὲ μ.] μίαν δὲ βούλομαι U || [19] κράσιν U: scr κρασίον?? cf 15 || ὕδ.] in poculo ſ || ἄ. ἔ. P || κόμ. (ſ) om P || [21] στᾶσα πρὸς τῷ ἀποστόλῳ U stabat ante sanctum apostolum ſ || scr γυμνὴ?? cf 173, 1 P || [21–22] καὶ α.] α. δὲ U || [22] scr ἐπὶ τῆς κεφαλῆς? cf 142, 12 || ἐν om U || [23] ἁγιασμὸν] unctionem ſ: scr χρῖσμα??? χρισμὸν??? || [24] ἡ ἁπλότης P || κεκαυμένων U: scr κεκαμμένων (ſ)

λυμένων μελῶν· σὺ εἶ ὁ ταπεινωτὴς τῶν σκληρῶν ἔργων· σὺ
εἶ ὁ δεικνὺς τοὺς κεκρυμμένους θησαυρούς· σὺ εἶ τὸ τῆς χρη-
στότητος βλάστημα· ἐλθέτω ἡ δύναμίς σου· ἱδρυνθήτω ἐπὶ
τὴν δούλην σου Μυγδονίαν· καὶ ἴασαι αὐτὴν διὰ τῆς ἐλευθε-
ρίας ταύτης. Ἐπιχυθέντος δὲ τοῦ ἐλαίου ἐκέλευσεν τῇ τροφῷ
αὐτῆς ἀποδύειν αὐτὴν καὶ σινδόνα αὐτὴν περιζῶσαι· ἦν δέ
τις ἐκεῖ κρήνη ὕδατος, ἐφ' ἣν ἀνελθὼν ὁ ἀπόστολος τὴν
Μυγδονίαν ἐβάπτισεν εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ
καὶ τοῦ ἁγίου πνεύματος. ὡς δὲ ἐβαπτίσθη καὶ ἐνεδύσατο,
ἄρτον κλάσας καὶ λαβὼν ποτήριον ὕδατος κοινωνὸν ἐποίησεν
αὐτὴν τῷ τοῦ Χριστοῦ σώματι καὶ ποτηρίου τοῦ υἱοῦ τοῦ
θεοῦ, καὶ εἶπεν· Ἐδέξω σου τὴν σφραγῖδα, κτίσαι σεαυτῇ 259 W
ζωὴν αἰώνιον. Καὶ παραχρῆμα ἠκούσθη ἄνωθεν φωνὴ λέ-
γουσα· Ναί, ἀμήν. Ὡς δὲ ἤκουσεν τῆς φωνῆς ταύτης ἡ
Μαρκία, ἐξεπλάγη, καὶ ἐδεήθη τοῦ ἀποστόλου ἵνα καὶ αὐτὴ
λάβῃ τὴν σφραγῖδα. δοὺς δὲ αὐτῇ ὁ ἀπόστολος εἶπεν· Ἔστω
περὶ σὲ ἡ σπουδὴ τοῦ κυρίου ὡς περὶ τῶν ἄλλων. |

122 Ταῦτα δὲ ὁ ἀπόστολος πράξας ὑπέστρεψεν εἰς τὸ 69 B
δεσμωτήριον· εὗρεν δὲ τὰς πύλας ἀνεῳγμένας καὶ τοὺς φύλα-
κας ἔτι καθεύδοντας. καὶ εἶπεν Θωμᾶς· Τίς ἐστιν κατὰ σὲ
θεός; ὃς τὴν φιλοστοργίαν σου καὶ σπουδὴν ἀπ' οὐδενὸς

1–3 *σὺ εἶ ὁ ταπ. - βλ.*] tu domine noster Iesu uita et sanitas et remissio peccatorum ſ ‖ 1 *σὺ - ἔργ. om P* ‖ 2–3 *ἡ χρηστότης τὸ βλ. U* ‖ 3–4 *ἱδ. - Μ.*] et maneat super hoc oleo et sanctitas tua habitet in eo ſ ‖ 4–5 *κ. ἴ. - ταύτης*] *ἡ ἐλευθερία αὕτη P* et fudit in caput Mygdoniae et dixit: Sana uetera eius uulnera et ablue ulcera eius et firma imbecillitatem eius ſ 4 *scr ἐλαιοθεσίας uel ἐλαιοδευσίας uel ἐλαιοχριστίας???* ‖ 6 *ἦν et q s*] *de pelue uel piscina narrat* ſ: *cf 240, 2; Lipsius I p 335. 1* ‖ 7 *ἀν.* (ſ)] *ἐλθὼν P* ‖ 8 *ἐν ὀνόματι (om τὸ) U: cf 209, 14* ‖ 9 *ἐβ.*] exiit ſ ‖ 10 *ὕδ. om* ſ: *cf Lipsius I p 339* ‖ 11–12 *τῷ - θεοῦ*] *τῶν τ. χρ. μυστηρίων P* ‖ 11 *τῷ - σ.*] mensae Christi ſ: *scr τῆς τραπέζης τοῦ Χρ.?? τοῦ σώματος τ. Χρ.?* | *scr ⟨τῷ⟩ ποτηρίῳ??* ‖ 12 *σου om P: post ζωὴν (13) ponend??* (ſ) ‖ *scr κέκτησαι? an cum Vsenero ἐκτήσω?* lucrata es ſ ‖ *σεαυτὴν P* ‖ 13 *ἄνωθεν om U: scr οὐρανόθεν?* (ſ) ‖ 14 *ναί* (ſ) *om U* ‖ *ταύτ. τ. φ. ἤκ. P* ‖ 16 *λ. τ.*] *τὴν ἐν χριστῷ λήψῃ P: cf 229, 23; 239, 3; 259, 6; 262, 6 (P) et 141, 16; 18; 20; 142, 5; 10; 165, 13; 167, 1; 168, 2; 203, 2; 229, 1* ‖ *scr λήψεται??* ‖ *ἔστω*] *καὶ add P* ‖ 17 *πρὸς σὲ U* tecum ſ ‖ *ὡς*] *καὶ add P: recte?? cf 227, 22 scr τοὺς ἄλλους?* reliquis sociis tuis ſ: *cf 252, 14* ‖ *τῶν om U* ‖ 18–19 *πρ. δὲ τ. ὁ ἀπ. ε. τὸ δ. ὑπ. U* ‖ 18 *ταῦτα - πρ.*] et ſ ‖ 20 *ἔτι om* ſ: *del?* 20–21 *ἐστιν - θ.*] *ἕτερος θεὸς ὡς σὺ ὁ θ. ἡμῶν P: cf 226, 21; 243, 23; 247, 8* ‖ 21 *ὅτι U: cf 232, 1*

ἀπέχεις· τίς ὅμοιός σοι εὔσπλαγχνος; ὃς ἐκ τῶν κακῶν ἐρύσω τὰ σὰ κτήματα· ἡ ζωὴ ἡ τὸν θάνατον χειρωσαμένη· ἡ ἄνεσις ἡ τὸν πόνον ἐκκόψασα. δόξα τῷ ἐκ πατρὸς μονογενεῖ· δόξα τῷ εὐσπλάγχνῳ τῷ ἀποσταλέντι ἐκ σπλάγχνων. Εἰπόντος δὲ αὐτοῦ ταῦτα οἱ φύλακες διυπνίσθησαν καὶ εἶδον πάσας τὰς θύρας ἀνεῳγμένας καὶ τοὺς ἐγκατακλείστους. καὶ ἔλεγον καθ' ἑαυτούς· Οὐχ ἡμεῖς τὰς θύρας ἠσφαλισάμεθα; καὶ πῶς νῦν ἀνεῳγμέναι εἰσὶν καὶ οἱ δεσμῶται ἔνδον;

123 Ὁ δὲ Χαρίσιος ἅμα ἕωθεν πρὸς τὴν Μυγδονίαν 260 W ἤρχετο· εὗρεν δὲ αὐτὰς εὐχομένας καὶ λεγούσας· Νέε θεὲ ὃς ἦλθες διὰ τοῦ ξένου εἰς ἡμᾶς ὧδε· θεὲ ἐναπόκρυφε τῆς τῶν ἐν Ἰνδίᾳ οἰκητόρων· ὁ θεὸς ὁ δείξας τὴν σὴν δόξαν διὰ τοῦ ἀποστόλου σου Θωμᾶ· ὁ θεὸς οὗ τῆς φήμης ἀκούσασαι εἰς σὲ ἐπιστεύσαμεν· ὁ θεὸς πρὸς ὃν ἤλθομεν σωθῆναι· ὁ θεὸς ὁ διὰ φιλανθρωπίαν καὶ οἰκτιρμοὺς κατελθὼν πρὸς τὴν ἡμετέραν σμικρότητα· ὁ θεὸς ὁ ἐπιζητήσας ἡμᾶς ὅτε αὐτὸν ἠγνοοῦμεν· ὁ θεὸς ὁ τὰ ὕψη ἔχων καὶ τὰ βάθη μὴ λανθάνων· σὺ ἀπόστρεψον τὴν μανίαν Χαρισίου ἀφ' ἡμῶν. Ἀκούσας δὲ ταῦτα ὁ Χαρίσιος πρὸς τὴν Μυγδονίαν λέγει· Δικαίως με κακὸν καὶ μαινόμενον καὶ αἰσχρὸν ἀποκαλεῖς· εἰ μὴ γὰρ

[1] cf psalm 85 (86). 8 || [3] cf Io 1, 14

[1] ἔχεις *P* || *scr* ὁμοίως? || σου *et add* ἐν θεοῖς κύριε *P* || ευσπ. *om P: scr* εἰς (*cf* 206, 24) εὐσπλαγχνίαν (ſ)?? || ὅτι *U: cf* 231, 21 || ἐκ *om U: del?? (cf* 120, 15; 247, 22) *scr* ἀπὸ? *cf* 199, 10; 211, 2; 218, 21 || [1–2] ἐρ. - κτ.] πάντας ἡμᾶς ἀφελεῖν οἶδας *P: cf* 139, 4 || [2] *scr* κτίσματα? mundos ſ (*cf* 249, 25) *non nulla add* ſ || [4] τῷ *alt om U* || ἐκ σπλ. θεοῦ εἰς ἡμᾶς ἀπ. *P* gloria misericordiae tuae quae est super nos *add* ſ || [5] αὐτοῦ *om P* || [6] κ. τ. ἐγκ. *om P* || ἐγκατακλείστους <καθεύδοντας>? (ſ) || [7] ἑαυτῶν *et add* οἱ φύλακες *P* || [7–8] οὐχ - ἔνδον] *al* ſ || [7] ἡμ.] πάσας *add P* || [8] νῦν] ἄρτι *P: cf* 150, 11; 228, 21; 286, 8 *P* || ἔ. οἱ δ. *P* || [9] ἕ.] τὸ διαφαύσαι *P: cf* 273, 10 || *M.*] et ad nutricem eius *add* ſ || [10] αὐτὰς] ὁμοῦ *add P* || καινὲ *U: cf* 130, 10; 131, 5; 159, 15; 186, 8; 13; 197, 14; 214, 3 || [11] ἦλθες *om P* || εἰς - ὧδε] εἰς τὴν ἡμετέραν χώραν *U* huc ſ || εἰς ἡμ. *del?* ὧδε] κατέλαβες *add P: cf* 188, 19 || <ὅλης> τῆς <γενεᾶς>?? (ſ) || [11–12] θεὲ - θ. ὁ] καὶ *P* || [12] δείξ. *post* σου (13) *P* || σὴν] ἑαυτοῦ *U* || [13] ὁ θ.] θεὲ *P* || οὗ τ.] τ. σῆς *P* || [13–14] εἰς σὲ *om P* || [14] πεπιστεύκαμεν *P* || σ. ἦλθ. *P* || [15–16] ὁ θ. - σμ.] ἐλέησον ἡμᾶς *P* || [16–17] ὅτε α. ἠγν.] ὃν ἠγν. ὃν οὐκ ἐγινώσκομεν *P* || [17–18] ὁ θ. - ἀπόστρ.] κατὰ τὸ σὸν ἡμᾶς στήριξον θέλημα καὶ τῆς σῆς ἀντιλήψεως μὴ χωρήσῃς ἡμᾶς ἀλλὰ καὶ *P* || [17] μὴ λ.] te non latent ſ || [18] μαν.] τῆς σωματικῆς ἕνεκεν μίξεως *add P* || ἀφ' ἡμ.] κατὰ πράϋνον *P* || [18–19] τ. ὁ χ. ἀκ. (*om* δὲ) *P: cf* 227, 22; 234, 5; *al* || [19] εἶπεν *U* dicit ſ: *cf* 243, 6; 23; 244, 21; 245, 20: 263, 9; 12 (*sed* 247, 21; 266, 8 *P*) || [20] κακ. κ. αἰ. κ. μ. με *P*

ἠνεσχόμην τὸ ἀνυπότακτόν σου καὶ ἐλευθερίαν σοι ἐδωρησάμην, οὐκ ἂν ἐπεκαλέσω κατ' ἐμοῦ καὶ τοῦ ὀνόματός μου ἐμνημόνευσας ἔμπροσθεν τοῦ θεοῦ. πίστευσον δέ μοι Μυγδονία ὅτι ἐπ' ἐκείνῳ τῷ φαρμακῷ οὐδέν ἐστιν ὄφελος, καὶ ὅσα ἐπαγγέλλεται πράττειν οὐ δύναται. ἐγὼ δέ σοι πάντα κατ' ὀφθαλμοὺς ποιῶ ἅπερ ὑπισχνοῦμαι, ἵνα πιστεύσῃς καὶ ἀνάσχῃ τῶν ἐμῶν λόγων καὶ γένῃ πρός με οἵαπερ ἦς τὸ πρίν.

124 Καὶ προσελθὼν ἐδέετο πάλιν αὐτῆς λέγων· Ἐὰν σύ μοι πεισθῇς, οὐδεμία μοι λοιπὸν ἔσται λύπη. ὑπομνήσθητι τῆς ἡμέρας ἐκείνης ἧς ἐν πρώτοις μοι συνέτυχες· εἰπὲ τὸ (261 W) ἀληθές· πότερον καλλίω σοι ἤμην κατ' ἐκεῖνον τὸν καιρὸν ἢ Ἰησοῦς κατὰ τοῦτον; Καὶ ἡ Μυγδονία εἶπεν· Ὁ καιρὸς ἐκεῖνος ἀπῄτει τὰ ἑαυτοῦ καὶ οὗτος τὰ ἴδια· ὁ καιρὸς ἐκεῖνος ἀρχῆς ἦν, οὗτος δὲ τέλους· ἐκεῖνος ὁ καιρὸς ἦν προσκαίρου ζωῆς, οὗτος δὲ αἰωνίου· ἐκεῖνος παρερχομένης ἦν ἡδονῆς, οὗτος δὲ διὰ παντὸς παραμόνου· ἐκεῖνος ἡμέρας καὶ νυκτός, οὗτος δὲ ἡμέρας χωρὶς νυκτός· εἶδες ἐκεῖνον τὸν παρελθόντα γάμον ὧδε καὶ μόνον, ὁ δὲ γάμος οὗτος εἰς τὸν αἰῶνα μένει· ἡ κοινωνία ἐκείνη διαφθορᾶς ἦν, αὕτη δὲ ζωῆς αἰωνίου· οἱ παράνυμφοι ἐκεῖνοι ἄνδρες εἰσὶν καὶ γυναῖκες πρόσκαιροι, οἱ δὲ νῦν | εἰς τέλος παραμένουσιν· ἐκεῖνος ὁ γάμος ἐπὶ γῆς ἵστησιν (70 B) φιλανθρωπίαν δροσίζων· ἐκεῖνος ὁ παστὸς λύεται πάλιν, οὗτος δὲ διὰ παντὸς μένει· ἐκείνη ἡ κλίνη πάρεσιν κατέστρωται, αὕτη δὲ στοργῇ τε καὶ πίστει· σὺ νυμφίος εἶ παριὼν καὶ

1 *ἠν. - ἐδ.*] morem tibi gessissem ſ ‖ *τὸ*] *τὴν U* ‖ *σου καὶ om U* *σοι*] *ἦν U* ‖ 2–3 *κ. τ. - θ.*] magiam huius (uiri) *et non nulla add* ſ ‖ 3 *τοῦ*] *νυνὶ παρὰ σοῦ ὀνομαζομένου (scr νομιζομένου?) add P* ‖ 4–11 *ἐπ' - συνέτυχες*] *ὅσα σοι ἐκεῖνος ὁ φαρμακὸς ἐπαγγέλλεται οὐδὲν ὀφελήσῃ P* ‖ 6 *πιστ.*] *scr ⟨μοι⟩ πεισθῇς??* (ſ) ‖ 11 *scr ᾗ?* ‖ *εἰπὲ*] *δὲ μυγδονία μου add P* ‖ 11–12 *τὴν ἀλήθειαν P* ‖ 12–13 *πότ. - τοῦτον*] *ἐμὲ τὸν πρίν σοι ποθούμενον κρείττονα ἔχεις ἢ ὃν νῦν νέον ἐκτήσω θεόν P* ‖ 12 *scr καλλίων? (cf 226, 19)* carior tibi ſ ‖ 15 *τέλος P* ‖ 16 *ἐκ.*] *ὁ add U* ‖ 17 *παραμένει P: cf 184, 3* ‖ 18 *ἡμ. χ. ν.*] *πάρεξ ν. μόνης ἡμ. P* ‖ 19 *ὧδε κ. μ. om U: scr καὶ μὴ παράμονον?? (cf 178, 9) καὶ παρῳχημένον??* (ſ) ‖ *μένει*] *παράμονος U: cf 24* ‖ 22–23 *ἐκ. - δρ.*] *mutila et corrupta* illae nuptiae in terra fundatae sunt. ubi est perpetua turba, hae fundatae sunt in ponte igneo, in quo clementia spargitur ſ: *cf Lipsius I p 304. 1; 321. 1 Anz Zur Frage n d Ursp d Gnosticismus (1897) p 3* ‖ 23 *φιλανδρίαν U* ‖ *λυόμενος U* ‖ *πάλ. om U* ‖ *οὗτος* (ſ)] *ἐκεῖνος P* ‖ 24 *δ. π. μ.*] *ἀεὶ διαμένει P* ‖ 24–25 *ἐκ. ἡ - πίστει om U* ‖ 24 *scr φάρεσιν κατ. ⟨παλαιουμένοις⟩?* (ſ)

λυόμενος, ὁ δὲ Ἰησοῦς νυμφίος ἐστὶν ἀληθινός, εἰς τὸν αἰῶνα 262 W παραμένων ἀθάνατος· ἐκεῖνο τὸ ἀνακαλυπτήριον χρήματα ἦν καὶ πέπλα παλαιούμενα, τοῦτο δὲ ζῶντες λόγοι μηδέποτε παρερχόμενοι.

125 Ἀκούσας δὲ ταῦτα ὁ Χαρίσιος ἀπῆλθεν πρὸς τὸν βασιλέα καὶ πάντα αὐτῷ ἀπήγγειλεν. ὁ δὲ βασιλεὺς ἐκέλευσεν τὸν Ἰούδαν ἀχθῆναι, ἵνα αὐτὸν κρίνας ἀναλώσῃ. ὁ δὲ Χαρίσιος εἶπεν· Ἀνέχου τέως βασιλεῦ, λόγοις δὲ πρῶτον τὸν ἄνδρα πεῖσον φοβήσας ὅπως τὴν Μυγδονίαν πείσῃ γενέσθαι πρός με ὡς πρώην. Καὶ μεταπεμψάμενος ὁ Μισδαῖος ἤγαγεν τὸν ἀπόστολον τοῦ Χριστοῦ· πάντες δὲ ἐλυπήθησαν οἱ δεσμῶται ὅτι ἀνεχώρει ἀπ' αὐτῶν ὁ ἀπόστολος· ἐπόθουν γὰρ αὐτὸν λέγοντες ὅτι Καὶ ταύτην τὴν παραμυθίαν ἣν εἴχομεν ἀφείλαντο ἀφ' ἡμῶν.

126 Ὁ δὲ Μισδαῖος ἔλεγεν τῷ Ἰούδᾳ· Διὰ τί τὴν νέαν ταύτην διδάσκεις διδασκαλίαν, ἣν θεοί τε μισοῦσιν καὶ ἄνθρωποι, οὐδὲν ἔχουσα χρήσιμον; Καὶ ὁ Ἰούδας λέγει· Τί φαῦλον διδάσκω; Καὶ ὁ Μισδαῖος ἔφη· Διδάσκεις λέγων ὅτι οὐ καλῶς ζῆν παρὰ τῷ θεῷ ᾧ σὺ κηρύσσεις. Λέγει Ἰούδας· Ἀληθῶς λέγεις ὦ βασιλεῦ· οὕτως διδάσκω. εἰπὲ γάρ μοι· τοὺς σοὺς στρατιώτας ἐν ῥυπαρᾷ ἐσθῆτι δορυφοροῦντάς σοι οὐκ ἀγανακτεῖς; εἰ οὖν σὺ βασιλεὺς ὢν γῆς εἰς γῆν χωρῶν

[1] εἰς om U ‖ [2] π. ἀ.] ὡς ἀ. π. P ‖ ⟨καὶ⟩ ἀθ. ⟨καὶ ἄφθαρτος⟩? (ſ) ἀνοκαλύπτριον P ‖ [3] πολλοὶ παλαιούμενοι U: scr πέπλοι παλαιούμενοι? cf 227, 15 ‖ [6] α. ἀπ.] τὰ τῆς χαρισίας (Μυγδονίας uoluit) ἀπ. ῥήματα P: cf 249, 20 - 21 ‖ [7] ἀνακρίνας P om ſ: del? ‖ θανατώσῃ P ‖ [8] ἀντέχου P ‖ [9] φ. π. τ. ἄ. P ‖ [9–10] πείσῃ - πρ. (ſ)] συγκαθευδῆσαί μοι π. P: cf 224, 21 ‖ [10] Μ.] ἐκ τῆς φυλακῆς add P ‖ [11] τ. Χρ. om P: scr τ. ὑψίστου? (ſ) cf 193, 2: 260, 6 ‖ [12–13] ἐπ. γ.] πολλὰ γ. ἐπ. P ‖ [13] λέγ.] ἔλεγον δὲ P ‖ [14] ἀφήρηται U: scr ἀφῄρηνται? ‖ [15] ἔλ. τ. Ἰ.] πρὸς τὸν ἀπόστολον ἔλ. P ‖ [16] διδασκαλίαν om U ‖ [17] ἐχοῦσῃ U: scr ἔχουσαν? ‖ καὶ ὁ] ὁ δὲ U ‖ [17–18] λ. τί φ.] τί φ. φησὶν U: scr λέγει· Τί φαῦλόν φησιν?? cf 238, 18; 240, 20; 245, 21; 248, 12; 243, 21 ‖ [19] π. τ. θ.] τινα ἔξω τοῦ θεοῦ P ‖ θεῷ ⟨δύνανται (uel δυνατὸν: cf 229, 3) εἰ μὴ ἁγνῶς ζῶσι παρὰ τῷ θεῷ⟩? (ſ) ‖ ᾧ - κηρ.] τυγχάνοντα οὗ ἐγὼ διδάσκω P ‖ λ. Ἰ. om P ‖ [20] λέγεις] sic dico ſ ‖ οὕτ. διδ.] nec mentior in eo quod dico ſ ‖ διδ.] κἀγὼ διδάσκειν οἶδα P: cf 227, 22 et 139, 4 ‖ [21] στρ.] seruitia p ‖ δορ.] ὑπηρετοῦντας U (fort recte) ante te stare ſ: cf 235, 3 ‖ [22] εἰ οὖν (?) sub macula latet P igitur ſ si ergo p

ἀπαιτεῖς τοὺς ὑπὸ σὲ σεμνοὺς εἶναι τῷ πράγματι, ἀγανακτεῖτε καὶ κακῶς με διδάσκειν ἔφατε λέγοντα. Τοὺς τῷ βασιλεῖ μου ὑπηρετοῦντας σεμνοὺς καὶ καθαροὺς χρὴ εἶναι καὶ πάσης 263 W λύπης καὶ φροντίδος ἀπαλλαγέντας, τέκνων τε καὶ πλούτου ἀνωφελοῦς καὶ ταραχῆς ματαίας; Καὶ γὰρ τοὺς σοὺς ὑπηκόους τὴν σὴν πολιτείαν καὶ τοὺς σοὺς τρόπους μετιέναι βούλει, καὶ καταφρονούντων τῶν σῶν προσταγμάτων κολάζεις· πόσῳ μᾶλλον τῷ θεῷ μου τοὺς πιστεύοντας αὐτῷ ὑπηρετεῖν χρὴ μετὰ πολλῆς σεμνότητος καὶ καθαρότητος καὶ ἀσφαλείας, καὶ πάντων τῶν σωματικῶν ἡδονῶν ἀπηλλαγμένους, 71 B μοιχείας τε καὶ ἀσωτίας καὶ κλοπῆς καὶ μέθης καὶ ὑπηρεσίας γαστρὸς καὶ αἰσχρῶν πράξεων;

127 Ἀκούσας δὲ ταῦτα ὁ Μισδαῖος εἶπεν· Ἰδού σε ἀπολύω. ἀπελθὼν οὖν πεῖσον τὴν Μυγδονίαν τὴν Χαρισίου γυναῖκα ἵνα μὴ θελήσῃ ἀποστῆναι ἀπ' αὐτοῦ. Λέγει αὐτῷ Ἰούδας· Μὴ μέλλε εἴ τι ἔχεις πρᾶξαι· ἐκείνην γάρ, εἰ δικαίως δέδεκται ἃ μεμάθηκεν, οὐ σίδηρος, οὐ πῦρ, οὐδ' ἄλλο τι τῶν τοιούτων ἰσχυρότερον βλάψαι δυνήσηται οὐδὲ ἐκκόψαι τὸν ἐν τῇ ψυχῇ αὐτῆς κατεχόμενον. Λέγει ὁ Μισδαῖος τῷ Ἰούδᾳ· Φάρμακα ἕτερα διαλύει ἕτερα φάρμακα, καὶ πληγὰς ἐχίδνης θηριακὴ διαλύει· καὶ σὺ εἰ θέλεις δύνασαι λύσιν τῶν φαρμάκων ἐκείνων δοῦναι, καὶ εἰρήνην καὶ ὁμόνοιαν τοῦ συνοι-

[1] *ἀπ. - πρ.*] mundos seruos habere studes atquę mundas ancillas p | *σεμ. - πρ.*] res bellas et puras ſ: *scr σεμνὰ καὶ καθαρὰ πράγματα, τί??* | *σεμνοὺς ⟨καὶ καθαροὺς⟩?? cf 3* ‖ *τῷ om U: del?* ‖ *πρ.*] *σχήματι, ⟨τί⟩ luseram* ‖ [1–2] *ἀγ. καὶ*] *καμοὶ χολαίνης πρὸς τὸν ἐπουράνιον οὕτως ἔχειν P* | [1] *scr ἀγανακτεῖς τε??* ‖ [2] *ἐμὲ P* ‖ [2–5] *ἔφατε - γὰρ om P* ‖ [2] *ἔφ.*] *scr ἔφης uel φῄς? (post ἀγαν. interpol)* ‖ *⟨ὅτι⟩ τοὺς?* ‖ [7] *scr καταφρονοῦντας?* ‖ *πραγμάτων κολάζει P: cf 244, 1; 282, 1; 6* ‖ [8] *θ. μ. - αὐτῷ*] *ἐπουρανίῳ βασιλεῖ οὐ P* ‖ [8–9] *χρὴ δουλεύειν P* ‖ [9] *πολλ. om U* ‖ *σεμν.*] *ἀγαθότητος U τε add P* ‖ [9–10] *κ. ἀσφ. κ.*] *ἔξω P* ‖ [9] *ἀσφ.*] *scr ἐγκρατείας?? ἁγνείας?? ἀβλαβείας??* ‖ [10] *πάντ.*] *scr πασῶν (? cf 200, 7) τούτων??* (ſ) ‖ [11] *μοιχ.*] *λέγω add P: cf 237, 10* ‖ *καὶ κλ.*] *κλ. P* ‖ [13] *ὁ om U* | [13–14] *ἀπ. σε P* ‖ [14–15] *τὴν Χ. - αὐτοῦ*] *συγκαθευδῆσαι τῷ χαρισίῳ P: cf 224, 21* ‖ [16] *τι*] *γὰρ add U* ‖ *ἐκείνη P fort uerum: cf 18* ‖ [17] *ἃ* (ſ)] *καὶ U* ‖ *οὐδ'*] *οὐδὲ U* ‖ [17–18] *τ. τοι. om U* his ſ: *scr τούτων? cf 207, 7; 271, 27* ‖ [18] *παραβλάψαι (cf 200, 5; 216, 4; P solus) et add αὐτῇ P: cf 16* | *δύναται U: scr δυνήσεται? cf 207, 2; 238, 11; 114, 3* ‖ [20] *διαλύειν οἴδασιν P: cf 139, 4* ‖ [21] *εἰ*] *ἄρα γε καὶ add P: cf 207, 4* ‖ *θέλῃς U θελήσειας P (cf 236, 1; 238, 2): scr θελήσεις??* ‖ [21–22] *τ. φ. ἐκ. λ. P* ‖ [22] *τ. συν. om U* inter uirum et uxorem ſ

264 W *κεσίου ποιῆσαι. τοῦτο γὰρ ποιῶν σεαυτοῦ φείδῃ· οὐδέπω γὰρ τοῦ ζῆν κόρον ἔχεις. ἴσθι δὲ ὅτι σὲ μὴ πείθοντα ταύτην ἀποτῆσαι ἐπιποθήτου τοῖς πᾶσιν ζωῆς ἀφαρπάσω. Καὶ Ἰούδας ἔφη· Ἡ ζωὴ αὕτη κατὰ χρῆσιν δέδοται, καὶ ὁ καιρὸς οὗτος ἀλλάσσεται· ἐκείνη δὲ ἡ ζωὴ ἣν ἐγὼ διδάσκω ἄφθαρτός ἐστιν. τὸ δὲ κάλλος καὶ ἡ φαινομένη νεότης μετὰ μικρὸν οὐκ ἔσται. Λέγει αὐτῷ ὁ βασιλεύς· Ἐγὼ μέν σοι συνεβούλευσα τὸ συμφέρον, σὺ δὲ μὲν οἶδες τὰ σά.*

128 *Ἐξιόντος δὲ τοῦ ἀποστόλου ἐκ τοῦ βασιλέως προσελθὼν ὁ Χαρίσιος ἔλεγεν καὶ ἐδέετο αὐτοῦ· Δέομαί σου ἄνθρωπε ἔφη· οὐδὲν οὔτε εἰς σὲ ἢ εἰς ἕτερον ἡμάρτηκά ποτε οὔτε εἰς θεούς· διὰ τί τηλικοῦτον κακὸν ἐπέσεισάς μοι; καὶ τίνος ἕνεκεν τοιαύτην ἀκαταστασίαν ἐπήγαγες τῷ οἴκῳ μου; καὶ τίς σοι ἐκ τούτου ὄνησις; εἰ δέ τι κερδᾶναι νομίζεις, εἰπέ μοι τὸ κέρδος ὁποῖόν ἐστιν, κἀγώ σοι ἀπόνως ἐξεργάσομαι· τίνος ἕνεκεν ἐμὲ ἐκστάνεις, σεαυτὸν δὲ ἐμβάλλεις εἰς ὄλεθρον; ἐὰν γὰρ ταύτην μὴ πείσῃς, καὶ σὲ διαχειρίσομαι καὶ τέλος ἐμαυτὸν ὑπεξαίρω τοῦ βίου. εἰ δὲ ὥσπερ λέγεις μετὰ τὴν ἐνταῦθα ἀπαλλαγὴν ἔστιν τις ἐκεῖ ζωή τε καὶ θάνατος, ἔτι δὲ καὶ κατάκρισις καὶ νίκη καὶ κριτήριον, κἀγὼ εἴσειμι ἐκεῖ μετὰ σοῦ κρινόμενος· καὶ εἰ δίκαιος θεὸς ὃν σὺ κηρύττεις καὶ δικαίως τὰς τιμωρίας ἐπάγει, οἶδα ὅτι δίκην εἰσπράξομαι*

[1–3] *τοῦτο - ἀφ.*] *εἰ δὲ τοῦτο ποιεῖν οὐ θελήσειας τάχειόν σε τοῦ ζῆν ἀπαλλάξω P* ‖ [3] *ἀποτῆσαι ἐπιποθεῖ τούτοις U* ‖ *scr τῆς?? ταύτης τῆς* (ſ)? ‖ *scr δίδοται??* ‖ [6] *τὸ δὲ*] *οὐ μὴν ἀλλὰ καὶ* (*cf* 223, 13; 259, 14; 269, 8 *U solus; alibi B aut V soli*) *τὸ U* haec ſ: *scr τόδε ⟨τὸ⟩???* (*cf* 199, 5; 200, 26; 240, 9; 241, 13 *P solus*) *⟨τοῦτο⟩ τὸ* (*del δὲ*)?? ‖ *καὶ om U* ‖ *ἡ φ. ν.* (ſ)] *εἰ φανῇ U* ‖ [7] *λ. α. ὁ β.*] *καὶ ὁ β. λ. P* ‖ *μέν om U: del? cf* 237, 10 ‖ *συν. σοι P* ‖ [8] *μὲνοῖδες U μειοῖς P* nouisti melius quam ego ſ: *scr μου ἄμεινον οἶδας??* ‖ [10] *ὁ - αὐτοῦ*] *δεόμενος ὁ χ. ἔλ. αὐτῷ P* ‖ *κ. ἐδ. α. om* ſ [11] *οὐδὲν*] *γὰρ add U* ‖ *εἰς alt om U* ‖ *ποτε*] *πώποτε P: cf* 212, 4 [12] *οὔτε*] *πάλιν add P: cf* 211, 10 ‖ *θ.*] *καὶ add P* ‖ *ἐπισεῖσαι συνεχώρησάς μοι κακ. P* ‖ [13] *τ. ἕν.*] *διὰ τί U: cf* 16; 198, 2; *al* ‖ *τ. ο. μ. ἐπεισήγαγες P* ‖ [14] *κ. τ. σ.*] *τί δέ σοι καὶ P* ‖ *τούτου*] *ἢ add P* ‖ *εἰ - νομ. om* ſ ‖ *εἰ δέ τι*] *ἢ τί P* ‖ [15] *ἀπ.* (ſ)] *ἑτοίμως P* ‖ *ἐξ.*] *ἀποδώσω P* supplebo ſ ‖ [16] *τίνος*] *τίνος δὲ P: ⟨καὶ⟩ τίνος?* (ſ) ‖ *ἐ. ἐκστ.*] *εἰς ἔκστασιν φρενῶν ἤγαγές με P* noces mihi ſ: *scr ἐ. ἐξιστάνεις??* ‖ *σε. - ὄλ.*] cum manus meas effugere nequeas ſ ‖ *ἐμβ. om P* ‖ [17] *σὲ*] *///ὲ P* ‖ *διαχ.*] et illam quoque de mundo tollam *add* ſ ‖ [18] *ὑπ. τ. β.*] *τῷ βίῳ παρέξομαι P* ‖ *ὑπεξέρω U: scr ὑπεξαιρῶ?* ‖ *ὡς P: cf* 210, 3 ‖ [18–19] *μετὰ - ἀπ. om* ſ ‖ [19] *ἐντ.*] *τοῦ βίου add P: cf* 270, 8 ‖ [20] *κριτ.*] et praemium *add* ſ ‖ *εἰς εἶμι P* ‖ [21] *κ. εἰ* (ſ) *om U* ‖ *⟨ὁ⟩ θεὸς?* ‖ *σὺ om P* [22] *ἐπάξει P*

μετὰ σοῦ. ἔβλαψας γάρ με μηδὲν παρ' ἐμοῦ ἀδικηθείς. καὶ γὰρ ἐνταῦθα οἷός εἰμι ἀμύνασθαί σε ἐπίστασαι εἰς ὅσα εἰς 265 W *ἐμὲ δέδρακας. τοιγαροῦν πείσθητι καὶ ἐλθὲ οἴκοι μετ' ἐμοῦ, καὶ πεῖσον τὴν Μυγδονίαν γενέσθαι μετ' ἐμοῦ ὥσπερ ἦν τὸ πρότερον πρὶν ἤ σε θεάσασθαι. Ὁ δὲ Ἰούδας λέγει αὐτῷ· Πίστευσόν μοι τέκνον ὅτι εἰ | τοσοῦτον οἱ ἄνθρωποι τὸν θεὸν* 72 B *ἔστεργον ὅσον ἀλλήλους, πάντα ἂν αἰτοῦντες ἐλάμβανον παρ' αὐτοῦ μηδενὸς αὐτὸν βιαζομένου.*

129 *Καὶ ταῦτα τοῦ Θωμᾶ λέγοντος εἰς τὴν οἰκίαν εἰσελθόντες Χαρισίου κατέλαβον τὴν μὲν Μυγδονίαν καθημένην, τὴν δὲ Μαρκίαν πρὸς ἑαυτὴν ἑστηκυῖαν, ὑποβεβλημένην τὴν περὶ αὐτὴν χεῖρα πρὸς τὴν Μυγδονίαν· καὶ ἔλεγεν· Συντμηθείησαν ἐπ' ἐμοὶ ὦ μήτηρ αἱ τῆς ζωῆς μου ὑπόλοιποι ἡμέραι, καὶ γένωνται αἱ πᾶσαι ὧραι ὡς μία ὥρα, καὶ μετασταίην ἐκ τοῦ βίου, ἵνα τάχιον ἀπελθοῦσα ἴδω τὸν ὡραῖον ἐκεῖνον, οὗ καὶ τῆς φήμης ἤκουσα, τὸν ζῶντα ἐκεῖνον καὶ ζωῆς δοτῆρα τοῖς εἰς αὐτὸν πιστεύουσιν, ὅπου οὔτε ἡμέρα καὶ νύξ ἐστιν, οὔτε φῶς καὶ σκότος, οὔτε ἀγαθὸς καὶ κακός, οὔτε πένης καὶ πλούσιος, ἄρρεν τε καὶ θῆλυ, οὐκ ἐλεύθερος καὶ δοῦλος, οὐχ ὑπερήφανος καὶ τοὺς ταπεινοὺς ὑποτάσσων. Ταῦτα δὲ αὐτῆς λεγούσης ὁ ἀπόστολος ἔστη πρὸς αὐτήν· καὶ παραχρῆμα ἀνέστη καὶ προσεκύνησεν αὐτῷ. τότε ὁ Χαρίσιος*

[19] cf Gal 3. 28

---

[1] *με om P* ‖ *π. ἐ. om U* ‖ [1–2] *κ. γ.*] sed etiam ſ ‖ [2] *οἷός <τέ>? cf 285, 5* ‖ *σε ἐπ. εἰς*] *ἐδυνάμην U* ‖ *ἐπ. ε.*] *scr <καὶ> δρᾶσαι (uel ἐπισπάσαι???) εἰς <σὲ>??* et facere in te ſ ‖ [4] *scr οἷάπερ? cf 228, 5; 233, 7 (sed 272, 11; 22; 274, 8)* ‖ [5] *θεάσηται P: recte?? cf 247, 10; 225, 1* ‖ [6] *εἰς P* ‖ [7] *ὅσον*] *ὥσπερ P* ‖ *πάντα*] *ὅσα P: cf 215, 13; 217, 10* ‖ *ἠτοῦντο P* ‖ [8] *μ. α. β.*] nihil esset quod eis non pareret ſ ‖ *α. β.*] *ἀποτυγχάνοντες P* ‖ [10] *εἰσελθ. Χ.* (ſ)] *ἑκάτεροι (cf 179, 8; 198, 19; 239, 3; 264, 1; 2; 265, 15) ἀπῄεσαν ὅ τε θωμᾶς λέγω (cf 235, 11) καὶ χαρίσιος καὶ P* ‖ *μὲν om U: del? cf 236, 7* ‖ [11] *πρ. ἑ. om P: scr ἔμπροσθεν αὐτῆς?* (ſ) ‖ [12] *τὴν - χ.*] *scr τῇ παρειᾷ <αὐτῆς??> τὴν χ.?* (ſ) ‖ *αὐτῆς P* ‖ *π. τ. Μ. om* ſ: *del??* ‖ *καὶ om U* [13] *ὑπόλοιπαι τ. ζ. μ. P* ‖ [14] *scr γένοιντο??* ‖ *ἡμέραι P* ‖ *εἰς μίαν ὥραν U: recte?? cf 206, 6* ‖ *ὡς del? om* ſ ‖ [14–15] *καὶ - βίου om P* ‖ [15] *ἐκ del? cf 249, 21* ‖ *βίου <τούτου>??* (ſ) ‖ *τ.*] *τὴν ταχίστην U (cf 241, 13) om* ſ *(del?) οὕτως add P: cf 212, 11* ‖ [16] *ἐκ. - ζῶντα om U* ‖ [17] *ζ. δ.*] *ζωὴν πᾶσι δωρούμενον P* ‖ [19] *πλούσιος <οὔτε>?* ‖ *θ. τε κ. ἄ. U* ‖ *ἄρρην P: recte??* ‖ *scr θῆλυς??* ‖ *οὐκ*] *scr οὔτε?* ‖ [20] *οὐχ*] *οὐκ U* ‖ [21] *αὐτήν*] *αὐτῆς U* ‖ [22] *ἀν. καὶ*] *ἀναστὰς (cf 241, 6) P: scr ἀναστᾶσα??*

πρὸς αὐτὸν ἔφη· Ὁρᾷς πῶς δέδοικέν σε καὶ τιμᾷ καὶ πᾶν ὅ τι ἂν προστάξῃς ἑκοῦσα ποιεῖ;

130 Ἐκείνου δὲ ταῦτα λέγοντος ὁ Ἰούδας τῇ Μυγδονίᾳ λέγει· Πείσθητι θύγατερ μου Μυγδονία οἷς λέγει ὁ ἀδελφὸς (266 W) Χαρίσιος. Καὶ ἡ Μυγδονία λέγει· Εἰ σὺ λόγῳ τὸ πρᾶγμα οὐκ ἠδυνήθης, ἐμὲ ὑπομένειν τὸ ἔργον ἀναγκάζεις; ἐγὼ γὰρ ἤκουον παρὰ σοῦ ὅτι ἡ ζωὴ αὕτη χρησιμαία οὐκ ἔστιν, καὶ ἡ ἄνεσις αὕτη πρόσκαιρος, καὶ ταῦτα τὰ κτήματα ἀπαράμονά ἐστιν. ἔλεγες δὲ πάλιν ὅτι ταύτην ὁ ἀποστρεφόμενος τὴν ζωὴν δέξεται τὴν αἰωνίαν, καὶ ὁ μισῶν τὸ τῆς ἡμέρας καὶ νυκτὸς φῶς θεάσηται φῶς τὸ μὴ καταλαμβανόμενον, καὶ ὅτι ὁ ταῦτα παραβλέπων τὰ χρήματα εὑρήσει ἕτερα καὶ ἀίδια χρήματα· νῦν δὲ φοβούμενος τίς μεταβάλλει πράξας τι καὶ δοξασθεὶς ἐπὶ τῷ ἔργῳ; αὖθις αὐτὸ ἐκ θεμελίων κατέστρεψεν; τίς ἐν δαψιλαίῳ χώρῳ πηγὴν ὕδατος ἀνορύξας αὖθις κατέχωσεν ταύτην; τίς θησαυρὸν εὑρὼν οὐκ ἐχρήσατο τούτῳ; Ἀκούσας δὲ ταῦτα ὁ Χαρίσιος εἶπεν· Ἐγὼ οὐ μιμήσομαι ὑμᾶς οὐδὲ ἐπειχθήσομαι καταφθεῖραι ὑμᾶς, οὔτε, ἐπειδήπερ ἔξεστίν μοι, δεσμῷ περιβαλῶ, καὶ οὐ συγχωρήσω σοι τῷ φαρμακῷ τούτῳ διαλεχθῆναι. καὶ ἐάν μοι πεισθῇς· οἶδα ὃ δεῖ με ποιῆσαι.

131 Ὁ δὲ Ἰούδας ἐξελθὼν ἐκ τῆς Χαρισίου οἰκίας εἰς (73 B) τὴν | Σιφόρου οἰκίαν ἀπήει· κἀκεῖ μετ᾽ αὐτοῦ ᾤκει. εἶπεν δὲ (267 W) ὁ Σιφώρ· Εὐτρεπίσω τῷ Ἰούδᾳ τρίκλινον ἐν ᾧ διδάσκει.

[1] αὐτ.] τὸν Ἰούδα P ‖ ὅπως P ‖ πάντα U ‖ [1–2] scr εἴ τι?? cf 122, 13; 137, 10; 211, 23 ‖ [2] ἂν om P ‖ προστάξειας P: cf 235, 21 ‖ [4] λ. prius] ἔλεγεν U dicit f ‖ [6] ἠδυνήθης ⟨σημαίνειν⟩??? ‖ ὑπ. τὸ ἔ.] αὐτοῦ τὸ ἔ. ὑπ. U ‖ τὸ ἔ.] ἔργῳ exspectabatur ‖ [7] οὐκ del (credita est f): cf 236, 4 ‖ [8] αἴνεσις P | αὕτη (f)] ἡ ἐνταῦθα U ‖ [9] εἰσιν P: cf 133, 3; 189, 15 ‖ [11] scr θεάσεται? cf 10; 114, 3 ‖ scr κατασβεννύμενον?? ‖ [12] εὑρ. om P ‖ ἕτ.] τε add U | [13] χρ.] καταλάβῃ add P ‖ φοβούμενος ⟨ταῦτα λέγεις.⟩? (f) ‖ [13–15] τίς - κατέστρ.] τί με τὸ μὴ καθῆκον πρᾶξαι βουλεύει P ‖ [13] μετ. post ἔργῳ (14) ponend (f) ‖ scr ⟨τίς δὲ πύργον οἰκοδομήσας⟩ αὖθις αὐτὸν? (f) ‖ [15] scr διψαλέῳ χωρίῳ? cf 155, 16 ‖ χωρῶν πηγῇ U ‖ [16] ἀνωρρύξας P ἀναρρήξας U ‖ τ. κ. αὐθ. P ‖ [17] ἐχ. τ.] εὐθὺς τοῦτον ἐχ. P: cf 147, 16 ‖ [18] οὐ μιμ.] οὐκ ἐπαμύνω ἐπὶ τοῦτο P ‖ ὑμ.] φησὶν add U: cf 234, 17 ‖ οὐδὲ] καὶ οὐκ U | [18–19] ἐπ. - ὑμ.] ἐπαχθὴς γενήσομαι P ‖ [19] οὔτε] scr οὐδὲ?? σὲ δὲ? (f): cf 262, 3 ‖ ἐπ.] εἰ καὶ P ‖ μοι om P ‖ περιβαλεῖν P ‖ [20] καὶ prius] πλὴν οὖν P ‖ σοι] ἔτι add P ‖ τούτω τῶ φ. P ‖ [20–21] καὶ - ποι. om P ‖ [21] μοι ⟨μὴ⟩??? ‖ πεισθῇς· ⟨εἰ δὲ μή,⟩? (f) ‖ [24] ὁ om P: cf 239, 1 ‖ εὐτρ. τ. Ἰ.] Iudae: Para tibi f ‖ τὸν ἰούδαν P ‖ ἐν - διδ.] et in eo doce f ‖ ᾧ] τόπω add P: cf 245, 13 ‖ scr διδάξει?

Καὶ ἐποίησεν οὕτως καὶ εἶπεν Σιφώρ· Ἐγώ τε καὶ ἡ ἐμὴ γυνὴ καὶ ἡ θυγάτηρ ἐν ἁγιωσύνῃ οἰκήσομεν λοιπόν, ἐν ἁγνείᾳ καὶ μιᾷ διαθέσει. δέομαί σου ἡμᾶς τὴν σφραγῖδα δέξασθαι παρὰ σοῦ, ἵνα γενώμεθα τῷ θεῷ τῷ ἀληθινῷ λάτραι καὶ ἐναρίθμιοι τοῖς αὐτοῦ ἀρνίοις καὶ ἀμνάσιν. Ὁ δὲ Ἰούδας λέγει· Φοβοῦμαι λέγειν ὅπερ ἐνθυμοῦμαι· οἶδα δέ τι, καὶ ὅπερ οἶδα ἐξαγορεύειν οὐχ οἷόν τέ μοι.

132 *Καὶ ἤρξατο λέγειν περὶ τοῦ βαπτίσματος· Τὸ βάπτισμα τοῦτο ἁμαρτιῶν ἐστιν ἄφεσις·*

τοῦτο ἀναγεννᾷ φῶς περιεκχυνόμενον· τοῦτο ἀναγεννᾷ τὸν νέον ἄνθρωπον, τοὺς ἀνθρώπους μειγνύον πνεῦμα καινοῦν ψυχήν, ἀνιστῶν τρισσῶς καινὸν ἄνθρωπον, καί ἐστιν κοινωνὸν τῶν ἁμαρτιῶν ἀφέσεως. σοὶ δόξα τῷ ἀπορρήτῳ τῷ τῷ βαπτίσματι κοινωνούμενον· σοὶ δόξα ἡ ἐν τῷ βαπτίσματι ἀόρατος δύναμις· σοὶ δόξα ἀνακαινισμὸς δι' οὗ ἀνακαινίζονται οἱ βαπτιζόμενοι οἱ μετὰ διαθέσεως σοῦ ἀπτόμενοι.

τοῦτο ἀναγεννᾷ καὶ νέον ἄνθρωπον τὸν τοῦτο κτώμενον ἀπεργάζεται. ψυχὴν τρισσῶς ἀνιστᾷ καὶ πνεύματος ἁγίου γίνεται κοινωνός. Καὶ λέγει· Δόξα τῇ ἀπορρήτῳ σου δυνάμει· δόξα ὁ τὸ λουτρὸν τοῦ βαπτίσματος ἐνδυόμενος· σοὶ δόξα τῷ ἐκ τῆς πλάνης τοὺς ἀνθρώπους λυτρουμένῳ καὶ τῇ σῇ κοινωνοὺς ποιούμενος κοινωνίᾳ.

Καὶ ταῦτα εἰπὼν ἔλαιον κατὰ τῆς κεφαλῆς αὐτῶν κατέχεεν καὶ εἶπεν· Σοὶ δόξα ἡ τῶν σπλάγχνων ἀγάπη· σοὶ δόξα τὸ

1 *οὕτως] φήσας εἰς ὑποδοχὴν τῶν μανθανόντων add U* ‖ *κ. ε. Σ. om U* ‖ 2 *θυγ.] μου add P: cf 240, 16* ‖ *τοῦ λοιποῦ (cf 141, 14; 149, 25; 210, 15; 226, 5; 7; 262, 17; 264, 12) ἐν ἁγιωσ. οἰκ. P* ‖ *ἐν ἁγιωσ.]* pure ſ: *scr ἁγίως uel ἁγνῶς?? cf 201, 5; 217, 15* ‖ *ἐν prius om U* ‖ *ἁγνείᾳ] ἁγνῷ βίῳ U* concordia ſ: *scr ὁμονοίᾳ?* ‖ 3 *scr δεόμεθά?* (ſ) ‖ *σου] ἑκατέρους add P: cf 237, 10* ‖ *ἡμ. τὴν om U (del ἡμ.?) ἐν χριστῷ add P: cf 231, 16* ‖ 3–4 *δ. π. σ.] ἡμᾶς παρασχεῖν P* ‖ 4 *τῷ θ. τ. ἀ. λ. γεν. P* ‖ *λάτρεις U*

11–24 *U et P separatim posui*

U 10–11 *τ. ἀν. φ. περ. om* ſ: *del??* ‖ 11 *scr γεννᾷ??* (ſ) ‖ 12–14 *τὸν ν. - ψ. prorsus corrupta* ‖ 12–13 *del τοὺς ἀ.??* ‖ 13–14 *πν. κ. ψ.] scr σῶμα καὶ ψυχὴν??* (ſ) ‖ 14 *scr καὶ νοῦν ⟨καὶ⟩???* ‖ *τρισσῶς]* in trinitate ſ: *cf Lipsius I p 335. 2* ‖ 16 *⟨τῆς⟩ τῶν?* ‖ 17–18 *scr τὸ ἀπόρρητον τὸ?* ‖ 20 *ἀόρ.]* uisibilis ſ

P 11–22 *νέ. - κοιν.] corrupta et interpolata* ‖ 21 *scr ποιουμένῳ?*

PU 25–26 *κ. κ. ε.] ἐπιχέων ἔλεγεν U: cf 230, 22; 240, 6; al* ‖ 26–240, 1 *ἡ τῶν - ἱδρ.] τῷ τὰ σπλάγχνα ἡμῖν ἀνοίγοντι δόξα καὶ τῷ αὐτοῦ μονογενεῖ*

τοῦ Χριστοῦ ὄνομα· σοὶ δόξα ἡ ἐν Χριστῷ δύναμις ἱδρυμένη. Καὶ ἐκέλευσεν ἐνεχθῆναι σκάφην καὶ ἐβάπτισεν αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος.

268 W 133 Βαπτισθέντων δὲ καὶ ἐνδυσαμένων ἄρτον καταθεὶς ἐπὶ τὴν τράπεζαν ηὐλόγησεν καὶ εἶπεν· Ἄρτον ζωῆς ὃν οἱ ἐσθίοντες ἄφθαρτοι διαμείνωσιν· ἄρτος ὁ κορεννὺς ψυχὰς πεινώσας τοῦ αὐτοῦ μακαρισμοῦ· σὺ εἶ ὁ καταξιώσας δέξασθαι δωρεὰν ἵνα γένῃ ἡμῖν ἄφεσις ἁμαρτιῶν καὶ οἱ ἐσθίοντές σε ἀθάνατοι γένωνται· ἐπιφημίζομέν σε τὸ τῆς μητρὸς ὄνομα, ἀπορρήτου μυστηρίου ἀρχῶν τε καὶ ἐξουσιῶν κεκρυμμένων· ἐπιφημίζομέν σου ὀνόματί σου Ἰησοῦ. Καὶ εἶπεν· Ἐλθάτω δύναμις εὐλογίας καὶ ἐνιδρύσθω ὁ ἄρτος, ἵνα πᾶσαι αἱ μεταλαμβάνουσαι ψυχαὶ ἀπὸ τῶν ἁμαρτιῶν ἀπολούσονται. Καὶ κλάσας ἐπέδωκεν τῷ τε Σιφόρῳ καὶ τῇ γυναικὶ αὐτοῦ καὶ τῇ θυγατρί.

Πρᾶξις ιά περὶ τῆς γυναικὸς Μισδαίου.

134 Μισδαῖος δὲ ὁ βασιλεὺς ἀπολύσας Ἰούδαν δειπνήσας ἀπῄει οἴκαδε, διηγεῖτο δὲ τῇ γυναικὶ τὰ συμβεβηκότα τῷ οἰκείῳ αὐτῶν Χαρισίῳ λέγων· Ὅρα φησὶν τί γέγονεν ἐν τῷ ἀθλίῳ
74 B ἐκείνῳ· οἶδας δὲ καὶ αὐτὴ ὦ ἀδελφή μου | Τερτία ὅτι οὐδέν

τῷ κυρίῳ καὶ θεῷ ἡμῶν ἰησοῦ χριστῷ δόξα καὶ τῷ ἁγίῳ καὶ συναϊδίῳ καὶ ὁμοουσίῳ πνεύματι *P*

2 ἐφάπτισεν *U* ‖ 2–3 ἐν ὀνόματι π. κ. υἱ. κ. ἁγ. *U*: *cf 209, 14* ‖ 6 ηὐλ. κ. ε.] εἶπεν εὐλογῶν *P* ‖ *scr* Ἄρτος? *cf 227, 11* ‖ ζ.] τοῦτον ζ. ποίησον *P* ‖ 7 διατελέσωσιν ἄφθ. *U* ‖ 7–8 ἄρτος - εἶ *om P* ‖ 8 αὐτοῦ] tuo ſ: *scr* σοῦ??? ‖ *del* εἶ?? ‖ 8–9 κατ. δέξ. δωρ.] ταύτην τὴν δωρ. κατ. δέξ. τούτους *P* ‖ 9–10 ἵνα - γέν.] καταξίωσον καὶ μετόχους τῆς αὐτοῦ βασιλείας γενέσθαι καὶ ἀεὶ ἀμιάντους ἐν τῷδε τῷ βίῳ διαμένειν ἵνα οὕτως διαμένοντες τῶν ἀθανάτων ἐκείνων καὶ μεγάλων σου τύχωσιν ἀγαθῶν *P* ‖ 10–14 ἐπιφ. - ἀπολ. *om P* ‖ 10–12 σε τὸ - Ἰ.] *interpol* ſ ‖ 10 σε *alt*] *scr* σοι? ‖ 12 σου *prius*] *scr* σοι? ‖ ὀν. σ.] *scr* ⟨τὸ⟩ ὄνομα τοῦ?? ‖ 13 *scr* τῷ ἄρτῳ? (ſ) *cf 231, 3* ‖ 14 ἀπὸ - ἀπολ.] renouentur et peccata eorum eis condonentur ſ ‖ *scr* ἀπολούωνται?? ‖ 15 κλ.] τὸν ἄρτον *add P* ‖ σιφ. ἐπ. (*om* τῷ τε) *U* | 16 α. γυν. *P* ‖ τῇ] ἑξῆς τῇ *U* τῇ τούτων *P* eius ſ: *cf 239, 2; 248, 18; 260, 13; 264, 2* ‖ 18 δειπν. *om P*: *scr* δειπνήσων? (ſ) ‖ 19 οἴκ. ἀπ. *P* ‖ 19–20 οἰκ. α.] ἰδίῳ *P* ‖ 19 οἰκ.] *scr* συγγενεῖ? *cf 215, 11* ‖ 20 ἐν *del Usener recte ut uid*

ἐστιν ἀνδρὶ καλλίω τῆς γυναικὸς τῆς ἰδίας ἐφ' ἣν ἀναπέπαυται· συνέβη δὲ τὴν γυναῖκα αὐτοῦ ἀπελθεῖν πρὸς τὸν φαρμακὸν ἐκεῖνον ὃν ἤκουσας τῇ Ἰνδῶν ἐπιδημήσαντα χώρᾳ, τοῖς αὐτοῦ περιπεσεῖν φαρμάκοις καὶ τοῦ ἰδίου ἀνδρὸς διαζευχθῆναι· καὶ ἀπορεῖ ὃ πράξειεν. θελήσαντος δέ μου ἀπολέσαι τὸν κακοῦργον οὐκ ἠθέλησεν· ἀλλὰ σὺ ἀπελθοῦσα 280 W συμβούλευσον αὐτῇ ἀποκλίνειν πρὸς τὸν ἴδιον ἄνδρα καὶ τῶν τοῦ φαρμακοῦ ματαίων λόγων ἀποσχέσθαι.

135 Ἅμα δὲ ἀναστᾶσα ἡ Τερτία ἀπῆλθεν εἰς τὴν Χαρισίου οἰκίαν τοῦ ἀνδρὸς αὐτῆς· καὶ εὗρεν τὴν Μυγδονίαν χαμαὶ κειμένην ἐν ταπεινότητι· ὑπεβέβλητο δὲ αὐτῇ τέφρα καὶ σάκκος, ηὔχετο δὲ ὅπως ὁ κύριος αὐτῇ συγχωρήσῃ τὰς προτέρας αὐτῆς ἁμαρτίας, καὶ ἐξέλθῃ τοῦ βίου τάχιον. καὶ λέγει πρὸς αὐτὴν ἡ Τερτία· Μυγδονία ἀδελφή μου ποθουμένη καὶ συνόμιλε, τίς ἐστιν αὕτη ἡ χείρ; τίς ἡ νόσος ἡ σὲ καταλαβοῦσα; καὶ τί μεμηνότων ἔργα ποιεῖς; γνοῦσα οὖν σαυτὴν ἐπάνελθε εἰς τὴν ἑαυτῆς ἐπάνοδον· πλησίασον τῷ γένει σου τῷ πολλῷ, καὶ φείδου τοῦ ἀληθινοῦ σου ἀνδρὸς Χαρισίου, καὶ μὴ πρᾶττε ὅ ἐστιν τῆς σῆς ἐλευθερίας ἀλλότριον. Λέγει αὐτῇ ἡ Μυγδονία· Ὦ Τερτία, οὐδέπω ἤκουσας τοῦ κήρυκος τῆς ζωῆς· οὐδέπω ταῖς σαῖς προσέπεσεν ἀκοαῖς·

[1] ἐ. ἀ. - ἀναπ.] κρεῖττον ἐ. παρὰ τὸ τὸν ἄνδρα τῇ ἰδίᾳ ἐπαναπαύεσθαι γυναικί P ‖ scr κάλλιον? cf 226, 19 ‖ scr τ. ἰδ. γυν. (del alt τῆς)?? cf 4 ‖ [2] τ. γ. α.] Mygdoniam ſ ‖ αὐτοῦ] χαρισίου P ‖ [3] ὃν - χ.] de quo accepit et de eis quae faciebat ſ ‖ τὴν U ‖ χώρᾳ om U: ante ⟨τῶν⟩ Ἰ. ponend? del? cf 156, 19 ‖ ⟨καὶ⟩ τοῖς? (ſ) ‖ [4] φ. περ. P ‖ ἰδ. om U: del? cf 7 ‖ διζευχθῆναι ἀνδ. P ‖ [5] ἠπόρει P ‖ ὃ] ὅτι καὶ P (200, 5; 203, 15 - 21; 227, 22): scr τί? τὸ τί? ‖ scr πράξῃ? ‖ θελήσαντι U ‖ μοι U ‖ [6] ἀπελθὼν P: cf 237, 22; 243, 21; 22 ‖ [8] τ. φ.] illius ſ ‖ [9] ἅμα om P ‖ ἀν. δὲ P ‖ δὲ ⟨ἕωθεν⟩? (ſ) cf 273, 10 ‖ εἰς τ. τοῦ χαρ. ἀπήει P ‖ [9–10] scr οἰκ. Χαρισίου ⟨τοῦ συγγενοῦς⟩? (ſ) ‖ [10] τ. ἀ. α. om P ‖ [11] scr καθημένην? (ſ) ‖ ἐν τ. om ſ ‖ [13] αὐτῆς (ſ) om U ‖ τάχ. τοῦδε (cf 236, 6) τ. β. ἐξ. P ‖ τάχ.] τὴν ταχίστην U: cf 212, 11; 237, 15; 262, 6 et 193, 2; 236, 1 ‖ [13–14] κ. ἡ τερτ. φησὶν π. α. U: cf 243, 21 ‖ [14] ποθ.] μοι add U ‖ [15] τίς - χ.] τί τὸ ἐν σοὶ αἴτιον P om ſ: del?? ‖ χεῖρ U: corrupt uid ‖ [15–16] ἡ κατ. σε ν. (om alt ἡ) P [16] κ. τί] τί δὲ U ‖ [16–17] γν. ο. σ. om P ‖ [17] ἐπ. - ἐπ.] memento familiae tuae ſ recede ab ista pessima cogitatione (?) m ‖ [18] τῷ π. om P ‖ σύνελθε τῷ ἀληθινῷ P ‖ [18–19] ἀνδρὶ χαρισίῳ P ‖ [19] καὶ μὴ - ἀλλ. om P ‖ [20] ἡ om U μερτία P corr p ‖ οὔπω P (cf 21; 236, 1; 261, 13) non ſ ‖ [20–21] τ. κ. ἤκ. P ‖ [21] κήρ.] nuntium (κηρύγματος) ſ ‖ οὐδ. - ἀκ. om ſ (Wright: nec nox per [?] praedicatorem [auribus tuis] incidit e cod Sin Burkitt Studia Sinaitica IX p 41): cf 242, 1 ‖ οὔπω P: cf 20 ‖ ἀκ.] καὶ add U

οὐδέπω ἐγεύσω τοῦ τῆς ζωῆς φαρμάκου καὶ τῶν φθαρτικῶν στεναγμῶν ἀπηλλάγης· ἑστῶσα ἐν τῇ προσκαίρῳ ζωῇ τὴν ζωὴν καὶ τὴν σωτηρίαν οὐ μὴ τὴν σωτήριον καὶ ἀίδιον τὴν ἀίδιον οὐκ οἶδας· καὶ θεάσῃ ζωήν· οὐκ αἰσθομένη τῆς ἀφθάρτου κοινωνίας. στήκεις ἐνδεδυμένη πέπλους παλαιουμένους, καὶ τῶν αἰωνίων οὐκ ἐπιθυμεῖς· καὶ μεγάλα μὲν φρονεῖς ἐπὶ τῷ ἀφανιζομένῳ τούτῳ κάλλει, τῆς δὲ ψυχῆς οὐ φροντίζεις τὴν αἰσχρότητα· καὶ πλήθει μὲν 270 W οἰκετῶν πλουτεῖς· καὶ τῇ μὲν παρὰ πολλῶν δόξῃ κομᾷς, τῆς δὲ εἰς θάνατον κατακρίσεως ἑαυτὴν οὐ λυτροῦσαι.

136 Ἀκούσασα δὲ ἡ Τερτία ταῦτα παρὰ τῆς Μυγδονίας εἶπεν· Δέομαί σου ἀδελφὴ ἀπάγαγέ με πρὸς τὸν ξένον ἐκεῖνον τὸν τὰ μεγαλεῖα ταῦτα διδάσκοντα, ἵνα ἀπελθοῦσα κἀγὼ αὐτοῦ κατακούσω, καὶ διδαχθῶ σέβειν ὃν κηρύσσει θεόν, καὶ κοινωνὸς αὐτοῦ γένωμαι τῶν εὐχῶν, καὶ συμμέτοχος γένωμαι πάντων ὧν μοι εἴρηκας. Ἡ δὲ Μυγδονία λέγει αὐτῇ· Ἐν τῷ οἴκῳ ἐστὶν Σιφόρου τοῦ στρατηλάτου· καὶ γὰρ αὐτὸς γέγονεν πρόφασις πᾶσιν τοῖς ἐν τῇ Ἰνδίᾳ σῳζομένοις. Τούτων δὲ ἀκούσασα ἡ Τερτία δρομαία εἰς τὸν οἶκον Σιφόρου ἄπεισι ἵνα ἴδῃ τὸν ἐπιδημήσαντα καινὸν ἀπόστολον. εἰσελθούσης 75 B δὲ | αὐτῆς εἶπεν αὐτῇ Ἰούδας· Τί ἐλήλυθας ἰδεῖν; ξένον ἄνθρωπον καὶ πένητα καὶ εὐκαταφρόνητον καὶ πτωχόν, μήτε πλοῦτον ἔχοντα μήτε κτῆσιν; ἓν δέ τι κέκτημαι κτῆμα ὅπερ

[21] cf Matth 11, 7

[1] *οὔπω P: cf 241, 20* ‖ *τ. τ. ζ. ἐγ. P* ‖ *γέγευσαι U: cf 241, 20; 21* | *τ. τ. ζ. φ.*] uerba praedicatoris uitae ʃ (*Wright:* panem uitae *e cod Sin Burkitt l s* [*241, 21*]): *cf 241, 21* ‖ [1–2] *καὶ - ἀπ.*] *μὴ ἀπαλλαγῆσα τ. φθ. στ. U: scr οὐδέπω ἀπηλλάγης τ. φθ. στ.?* (ʃ) ‖ [2] *ἑστ.*] *δὲ add U γὰρ add P* | *προσκ.*] *ταύτῃ add P* ‖ [3–4] *U et P separatim posui: scr τὴν ζωὴν τὴν σωτήριον καὶ ἀίδιον οὐκ ἐθεάσω?* (ʃ *sed ante ἑστ. 2*) ‖ [5] *οὐκ - ἀφθ.*] *οὐδὲ τ. ἀφθ. ἀξιωθεὶς P* ‖ *κοινωνίας <ὑπὸ φθαρτικῆς ἐνοχλῇ κοινωνίας>?* (ʃ) ‖ *ἵστασαι P: scr ἕστηκας? cf 193, 12; 192, 15* ‖ [6] *καὶ prius om U* ‖ [7] *κάλλει*] tua *add* ʃ ‖ [8] *τ. α. οὐ φρ. P* ‖ *οὐ φρ. αἰσχρότητι* (*om τὴν*) *U* ‖ [9] *πλουτ.*] superbis *et add* et animum tuum a seruitute non liberasti ʃ ‖ *μὲν om P* | [11–18] *ἀκ. - σῳζ. om* ʃ: *cf praef* ‖ [11] *ταῦτα δὲ ἡ τερτ. π. τ. μυγδ. ἀκ. P* ‖ [13] *διδσκοντα P* ‖ [14] *ἀκούσω αὐτοῦ P: cf 147, 13; 157, 19* ‖ *κηρύσσω P corr p* | [15] *τ. εὐχ. α. γενήσομαι* (*cf 114, 3*) *κοιν. P* ‖ *προσευχῶν U: cf 253, 3; 13; 287, 17* ‖ *μέτοχος P: cf 177, 1; 240, 9; 244, 1; 6* (*P solus*) ‖ [16] *εἴρ. μοι P* | *M. om U: del?* ‖ *ἔφη U: cf 243, 21* ‖ *αὐτῇ om U* ‖ [17] *ἀρχιστρατηλάτου U: cf 214, 19* ‖ [18] *πᾶσιν om P* ‖ *τοῦτο P* ‖ [19] *εἰς*] *γίνεται πρὸς U* ‖ *ἀπ. om U* ‖ [20] *ἵνα - ἀπόστ. om P* ‖ *τὸν <ἐκεῖσε>??* (ʃ) ‖ *ἀπελθούσης P* ubi intro iuit ad eum ʃ ‖ [21] *ξ. ἰδ. P* ‖ [23] *τι om P*

οὔτε βασιλεὺς οὔτε ἄρχοντες ἀφελέσθαι δύνανται, μήτε φθειρόμενον μήτε λήγοντα, ὅς ἐστιν σωτὴρ Ἰησοῦς πάσης ἀνθρωπότητος, ὁ τοῦ ζῶντος θεοῦ υἱός, ὁ δεδωκὼς ζωὴν πᾶσιν τοῖς εἰς αὐτὸν πιστεύουσιν καὶ καταφεύγουσιν εἰς αὐτὸν καὶ γινωσκόμενος ἐν τῷ ἀριθμῷ τῶν αὐτοῦ δούλων. Πρὸς ὃν λέγει ἡ Τερτία· Γένωμαι κοινωνὸς τῆς ζωῆς ταύτης ἣν ἐπαγγέλλῃ δέξασθαι πάντας τοὺς συνερχομένους εἰς τὸ τοῦ θεοῦ καταγώγιον. Καὶ ὁ ἀπόστολος εἶπεν· Τὸ ταμιεῖον τοῦ ἁγίου βασιλέως ἀναπέπταται, καὶ οἱ ἀξίως μεταλαμβάνοντες τῶν ἐκεῖ ἀγαθῶν ἀναπαύονται καὶ ἀναπαυόμενοι βασιλεύουσιν. 271 W πρότερον δὲ οὐδεὶς αὐτῷ πρόσεισιν ἀκάθαρτος ὢν καὶ φαῦλος· οἶδεν γὰρ αὐτὸς τὰ ἐγκάρδια ἡμῶν καὶ τὰ τῆς ἐνθυμήσεως βάθη· καὶ οὐκ ἔστιν τινὰ λαθεῖν αὐτόν. καὶ σὺ τοίνυν, εἰ ἀληθῶς πιστεύεις εἰς αὐτόν, ἀξιωθήσῃ τῶν αὐτοῦ μυστηρίων· καὶ αὐτός σε μεγαλυνεῖ καὶ πλουτιεῖ καὶ κληρονόμον τῆς αὐτοῦ βασιλείας ποιήσει.

137 Ἀκούσασα δὲ ταῦτα ἡ Τερτία ἐπανῆλθεν οἴκαδε γεγηθυῖα· καὶ εὗρεν τὸν ἄνδρα αὐτῆς

μένοντα ἀνάριστον ὄντα.	κατὰ τὸ ἄριστον αὐτὴν ἐκδεχόμενον.

ἰδὼν δὲ αὐτὴν ὁ Μισδαῖος εἶπεν· Πόθεν σήμερον ἡ εἴσοδός σου καλλίων ἐστίν; καὶ τίνος ἕνεκα περιπάτῳ χρησαμένη ἦλθες; ὅ ἐστιν ἀπρεπὲς ταῖς κατὰ σὲ ἐλευθέραις. Καὶ λέγει αὐτῷ ἡ Τερτία· Χάριν σοι μεγίστην ὀφείλω διότι με πρὸς Μυγδονίαν ἀπέστειλας. ἀπελθοῦσα γὰρ καινῆς ζωῆς ἤκουσα, καὶ εἶδον τὸν καινὸν τοῦ θεοῦ ἀπόστολον τοῦ διδόντος ζωὴν

[12] cf psalm 43 (44), 22

[1] reges ʃ ‖ [2] λήγ.] *scr* λῃζόμενον?? (ʃ) ‖ *scr* Ἰ. σωτ.? (ʃ) ‖ [5] γιν.] *scr* γινομένοις? (ʃ) ‖ δούλ.] *scr* προβάτων? (ʃ) ‖ [6] ἡ τερτ. λ. *P* ‖ εἶπεν *U* dicit ʃ: *cf 232, 19* ‖ ταύτης] *non nulla add* ʃ ‖ [8] ταμεῖον *U: cf 115, 7* ‖ [9] ἁγ.] caelestis ʃ p: *scr* οὐρανίου? ‖ ἀξ.] ἅγιοι *U: scr* ἄξιοι (ʃ) ‖ [10] ἀναπαυσόμενοι *U* ‖ [11] πρότ. *om P* primo ʃ ‖ οὐδ. δὲ πρόσ. α. *P* ‖ [12] ἐγκ.] ἐν ταῖς καρδίαις *U: cf 195, 16* ‖ ὑμῶν *U* ‖ [14] ἀξ. τ. α.] ἀξία τ. α. γενοῦ *P* ‖ [16] ἑαυτοῦ *P: cf 107, 6; 11; al; 145, 15; 146, 15; al* ‖ ποι. (ʃ)] καθίστησιν *U* ‖ [17] τ. δὲ ἡ τερτ. ἀκ. *P* ‖ [18] αὐτῆς τ. ἄ. *P* ‖ [19–20] *U et P separatim dedi: scr* ἐκδεχόμενον (*cf 208, 16*) αὐτὴν ἀνάριστον ὄντα? (ʃ) ‖ [21] αὐτὴν] τοῖς ποσὶν πρὸς αὐτὸν ἐπανιόντα *add P* ‖ ἔφη *P: cf 127, 4; 150, 7; 227, 10; 230, 12; 241. 14; 242, 16; 247, 7; 263, 10; 11; 16; 266, 8; al* [21–22] πόθεν - ἦλθες] διὰ τί οὕτως πεζοβατῶν εἰς ἡμᾶς ἐπανῆκας *P* ‖ [23] ἐστιν] καὶ *P: cf 227, 22* ‖ ταῖς - ἐλ.] τυγχάνει ἐν σοί *P* ‖ [23–24] ἡ δὲ τερτ. εἶπεν α. *U* Tertia dicit Misdeo ʃ ‖ [24] σοι μ. ὀφ. χ. *U* ‖ [26] εἶδον] καὶ *add P* ‖ *scr* τὸν τοῦ καινοῦ θεοῦ? (ʃ)

τοῖς πιστεύουσιν αὐτῷ καὶ τα προστάγματα πληροῦσιν· ὀφείλω τοιγαροῦν καὶ αὐτὴ ἀμείψασθαί σε ἀντὶ ταύτης τῆς χάριτος καὶ παραινέσεως ἀγαθὴν παραίνεσιν· ἔσῃ γὰρ ἐν οὐρανῷ βασιλεὺς μέγας ἐάν μοι πεισθῇς καὶ φοβηθῇς τὸν θεὸν τὸν ὑπὸ τοῦ ξένου κηρυττόμενον καὶ φυλάξῃς σεαυτὸν ἅγιον τῷ ζῶντι θεῷ· αὕτη γὰρ ἡ βασιλεία παρέρχεται καὶ ἡ ἄνεσίς σου εἰς στενοχωρίαν τραπήσεται· ἀλλ' ἄπελθε πρὸς τὸν ἄνθρωπον ἐκεῖνον καὶ πίστευσον αὐτῷ, καὶ ζήσεις εἰς τέλος.
272 W *Ἀκούσας δὲ ὁ Μισδαῖος ταῦτα παρὰ τῆς αὐτοῦ συμβίου ταῖς χερσὶν ἐπάταξεν τὸ πρόσωπον αὐτοῦ, καὶ τὴν ἐσθῆτα αὐτοῦ περιέρρηξεν, καὶ εἶπεν· Μὴ ἀναπαύοιτο ἡ Χαρισίου ψυχή, ὅτι με εἰς ψυχὴν ἔβλαψεν· καὶ μὴ σχῇ ἐλπίδα, ὅτι τὴν ἐμὴν περιεῖλεν ἐλπίδα. Καὶ ἐξῄει τεταραγμένος.*

138 *Καὶ εὗρεν κατὰ τὴν ἀγορὰν Χαρίσιον τὸν φίλον καὶ εἶπεν· Διὰ τί μέ σοι εἰς τὸν ᾅδην ἄλλον ἔβαλες; διὰ τί*
76 B *με ἐκένωσας καὶ ἐζημίωσας κερδάνας μηδέν; | διὰ τί με ἔβλαψας μηδὲν σὺ ὠφεληθείς; διὰ τί με ἀπέκτεινας μὴ αὐτὸς ζήσας; διὰ τί με ἠδίκησας αὐτὸς τὸ δίκαιον μὴ κτησάμενος; διὰ τί με οὐ συνεχώρησας ἀπολέσαι ἐκεῖνον τὸν φαρμακὸν πρὶν τὸν ἐμὸν οἶκον τῇ ἑαυτοῦ ἁμαρτίᾳ διαφθεῖραι; Καὶ τὸ πᾶν εἴχετο Χαρισίου. ὁ δὲ Χαρίσιος λέγει· Τί γάρ ἐστιν τὸ συμβεβηκός σοι; Ὁ Μισδαῖος ἔφη· Ἐφαρμάκευσεν τὴν Τερτίαν.*

---

1 αὐτῷ] εἰς ὃν *add* P ‖ πράγματα (*cf* 235, 7) πληροῖν οἴδασι (*cf* 139, 4) P ‖ προστάγματα ⟨αὐτοῦ⟩? (ſ) ‖ 1–3 ὀφ. - ἀγ. παρ.] ἀλλὰ καὶ (*recte? cf* 261, 6) σὲ τὸν ἐμὸν φίλτατον παραινῶ ἵνα τοῖς τοῦ ἀποστόλου πεισθῇς ῥήμασιν (*cf* 249, 20) καὶ μέτοχος καὶ αὐτὸς ἐκείνου γενήσῃ P ‖ 3 παραινέσεως] *scr* παραινέσαι σοι ⟨θέλω⟩? tibi dare uolo ſ ‖ ἔσῃ] ἔστι P ‖ 4 μοι] ἐκείνω διατοῦ ἀποστόλου P ‖ πεισθῇς] et feceris quae tibi dico. oro te ut *add* ſ ‖ 4–5 κ. φοβ. - κηρ. *om* P ‖ 5–6 ἅγ. σε. τ. ζ. φ. θ. P ‖ 5 *scr* ἁγνὸν?? (ſ) *cf* 118, 4; 169, 6; 201, 5 ‖ 6 αὕτη - παρ.] τῆς ἐκείνου μετοχος βασιλείας γενήσῃ τῆς μηδέποτε παρερχομένης P ‖ 6–8 καὶ - τέλος *om* P ‖ 7 σου ⟨αὕτη⟩? (ſ) ‖ 9 ταῦτα ὁ μισδ. π. τ. α. σ. ἀκ. (*om* δὲ) P ‖ αὐτοῦ *om* U: *cf* 209, 12; 226, 9 ‖ 10 τὸ π. α. ἐπάτ. P ‖ αὐτοῦ *prius om* U: *del? cf* 132, 1 ‖ 11 διέρρηξε P ‖ 11–12 ὅτι - ἔβλ. *om* U ‖ 12 εὕρῃ P ‖ 14 τ. φ. *om* P ‖ 15 μέ (ſ) *om* U: *cf* 16; 17 ‖ σὺ U ζῶντα P ‖ ἄλλον *om* P: *scr* ἑταῖρον, (ἕτερον) (ſ) ‖ *scr* ἔλαβες? (ſ) ‖ 16 ἐκ. κ. *om* P: *del?? cf* 149, 18 ‖ με *alt* (ſ) *om* U: *cf* 15 ‖ 17 σὺ (ſ) *om* U ‖ 17–18 διὰ - ζήσας *om* P ‖ 19 με οὐ σ.] μὴ σ. μοι U: *scr* με μὴ σ.?? *cf* 188, 18; 121, 14; 122, 5; 123, 4; *et* 206, 22; 215, 12 ‖ 20 τ. ε. ο.] uxorem meam ſ ‖ 20 ἁμ.] *scr* φαρμακείᾳ?? μαγείᾳ? ‖ 21 εἶπεν U dicit ſ: *cf* 232, 19 ‖ 21–22 τί δέ σοι συνέβη P ‖ 22 ὁ] ὁ δὲ U καὶ ὁ P ‖ τὴν τερτετίαν ἐφ. ἐκεῖνος ὁ μάγος P ‖ ⟨καὶ⟩ τὴν? (ſ)

Καὶ ἀπήεισαν ἀμφότεροι εἰς τὴν οἰκίαν Σιφόρου τοῦ στρατηλάτου· καὶ εὗρον τὸν Ἰούδαν καθήμενον καὶ διδάσκοντα. πάντες δὲ οἱ ἐκεῖ ὑπεξανέστησαν τῷ βασιλεῖ, αὐτὸς δὲ οὐκ ἀνέστη. ἔγνω δὲ ὁ Μισδαῖος ὅτι αὐτὸς ἐκεῖνός ἐστιν, καὶ λαβόμενος τοῦ θρόνου ἔστρεψεν αὐτόν, καὶ ἐπάρας ἀμφοτέραις ταῖς χερσὶν τὸν θρόνον τὴν κεφαλὴν αὐτοῦ ἐπάταξεν οὕτως ὥστε τραυματίσαι αὐτόν. καὶ παρέδωκεν αὐτὸν τοῖς αὐτοῦ στρατιώταις εἰπών·

Ἀπαγάγετε αὐτὸν σύραντες αὐτὸν ὑβριστικῶς καὶ οὐχ ὑπεσταλμένως, ἵνα πᾶσιν ἡ ὕβρις αὐτοῦ ἔκτυπος γένηται.	*Σύραντες αὐτὸν τῶν ἐνθένδε ἀτίμως εἰς τὸ μέσον τῆς ἀγορᾶς ἀπάγετε ἀσφαλῶς τοῦτον κατέχοντες.*

Οἱ δὲ σύραντες αὐτὸν ἀπήγαγον εἰς τόπον ἐν ᾧ ὁ Μισδαῖος ἐδίκαζεν. ἐκεῖ ἔστη κρατούμενος ὑπὸ τῶν στρατιωτῶν τοῦ 275 W *Μισδαίου.*

Πρᾶξις ιβ' περὶ Οὐαζάνου υἱοῦ Μισδαίου.

139 *Οὐαζάνης δὲ ὁ τοῦ Μισδαίου υἱὸς προσελθὼν τοῖς στρατιώταις εἶπεν· Δότε μοι τοῦτον ἵνα διαλεχθῶ ἕως ἂν ὁ βασιλεὺς ἀφίκηται. Καὶ οἱ μὲν δεδώκασιν αὐτόν, αὐτὸς δὲ εἰσήγαγεν αὐτὸν ἔνθα ὁ βασιλεὺς ἐδίκαζεν. καὶ λέγει Οὐαζάνης· Οὐκ οἶδάς φησιν ὅτι ἐγώ εἰμι υἱὸς Μισδαίου τοῦ βασιλέως, καὶ ἔξεστί μοι λέγειν τῷ βασιλεῖ ὃ βούλομαι, καὶ ζῆν σοι συγχωρήσει; λέγε οὖν μοι τίς ἐστιν ὁ θεός σου καὶ*

[1] *ἀνῆλθον U: scr ἀπήεσαν? (cf 179, 10; 185, 18; 187, 5; 197, 6; 270, 1; 10; 273, 20; 278, 20) ἀπῆλθον?? cf 105, 12* ‖ *πολεμάρχου U* | [4] *ἠγέρθη U* ‖ *αὐτὸς] scr οὗτος??* ‖ [5] *scr λαβόμενός του* (ſ???) *cf Io 159, 4* ‖ *καὶ] εὐθὺς add U* ‖ *ἐπ. om P* ‖ [6] *χ.]* pedibus (*scil* sellae) ſ | *θρ.] ἀράμενος add P* ‖ *τ. κ. α. ἐπ.] κατὰ τῆς κεφαλῆς ἔφερεν τοῦ ἁγίου καὶ P* ‖ *οὕτως] αὐτὸς ἔκρουσεν add P* ‖ [7] *ὥστε] καὶ add P: cf 227, 22* | [9–12] *U et P separatim posui* ‖ [9] *τ. ἐ. om* ſ: *cf 262, 5; 277, 4* ‖ [13] *οἱ - ἀπ.] καὶ ἀπ. τὸν ἀπόστολον P* ‖ *εἰς ⟨τὸν⟩ τόπον?* (ſ) *om P: del?? cf 150, 19; 22; 238, 24; 280, 10; Io 174, 30* ‖ [13–14] *ὁ Μ. ἐδ.] εἴωθεν ὁ Μ. δικάζειν P: cf 20; 204, 9* ‖ [14] *ἐκ. ἔ. om P* ‖ [14–15] *ὑ. τ. στ. τ. μισδ. κρατ. P* ‖ [14] *τοῦ om U* | [16] *πρ. ιβ' post μισδ. U* ‖ [17–18] *τ. στρ.* (ſ)] *αὐτοῖς U* ‖ [18] *διαλεχθῶ ⟨αὐτῷ⟩?* (ſ) ‖ [19] *ἀφῆται U* ‖ *οἱ μὲν om P* ‖ *αὐτόν om U* ‖ [20] *ἔνθα] ὁ πατὴρ αὐτοῦ add P* ‖ *λ. Οὐ.* (ſ)] *εἶπεν U* ‖ [21] *οὐκ - ὅτι om P* ‖ *φησιν del?? cf 234, 18* ‖ *τοῦ om U* ‖ [22] *ὃ] ὅπερ U εἰς ὃ P (cf 229, 10; 266, 12; 267, 11)* quidquid ſ *καὶ add P (cf 227, 22): scr ὅπερ καὶ??? (cf 178, 18) ὅ τι??? (cf 262, 2)* ‖ *καὶ alt] γὰρ add U τὸ add P* si dixero regi *add* ſ ‖ [23] *συγχ.* (ſ)] *παρέξει P (cf 190, 10; 192, 16)* et si dixero ei occidet te *add* ſ

τίνος ἀντέχῃ δυνάμεως καὶ σεμνύνῃ· εἰ γάρ τις γοητικὴ δύναμίς ἐστιν καὶ τέχνη, λέγε καὶ δίδασκε, κἀγώ σε ἀπολύω. Λέγει αὐτῷ ὁ Ἰούδας· Σὺ εἶ ὁ υἱὸς Μισδαίου τοῦ βασιλέως ὅς ἐστιν βασιλεὺς πρόσκαιρος· ἐγὼ δὲ δοῦλός εἰμι Ἰησοῦ Χριστοῦ βασιλέως αἰωνίου· καὶ σοὶ μὲν ἔστιν εἰπεῖν τῷ σῷ πατρὶ σῶσαι οὓς θέλεις ἐν ταύτῃ τῇ προσκαίρῳ ζωῇ ᾗ οὐ παραμένουσιν ἄνθρωποι, ἣν σύ τε καὶ ὁ πατήρ σου δίδοτε· ἐγὼ δὲ δέομαι τοῦ ἐμοῦ κυρίου καὶ ἀντιβοῶ ὑπὲρ τῶν ἀνθρώπων, καὶ δίδωσιν αὐτοῖς καινὴν ζωὴν παντάπασιν δεόμενος. καὶ σὺ αὐχεῖς ἐπὶ κτήμασιν καὶ δούλοις καὶ πέπλοις καὶ τρυφῇ καὶ κοίταις μιαραῖς, ἐγὼ δὲ καυχῶμαι ἐπὶ πενίᾳ καὶ φιλοσοφίᾳ καὶ ταπεινότητι καὶ νηστείᾳ καὶ εὐχῇ καὶ

274 W πρὸς τὸ ἅγιον πνεῦμα κοινωνίᾳ καὶ πρὸς τοὺς ἀδελφούς μου	τῇ κοινωνίᾳ τοῦ ἁγίου πνεύματος καὶ τῇ ὁμιλίᾳ πρὸς τοὺς ἀδελφοὺς

77 B τοὺς ἀξίους τοῦ | θεοῦ· καὶ καυχῶμαι ἐπὶ αἰωνίᾳ ζωῇ. καὶ σὺ μὲν ἐπ' ἄνθρωπον κατέφυγες ὄντα σοι ὅμοιον, μὴ δυνάμενον τὴν ἑαυτοῦ ψυχὴν σῶσαι ἐκ κρίσεως καὶ θανάτου, ἐγὼ δὲ κατέφυγα ἐπὶ θεὸν ζῶντα, ἐπὶ τὸν σωτῆρα βασιλέων καὶ ἀρχόντων, ὅς ἐστιν πάντων κριτής. καὶ ὑμεῖς μὲν σήμερον ἴσως ἐστέ, αὔριον δὲ οὐκέτι, ἐγὼ δὲ κατέφυγον εἰς ἐκεῖνον ὃς εἰς αἰῶνα μένει, γινώσκοντος πάντας τοὺς καιροὺς ἡμῶν καὶ τοὺς χρόνους. καὶ σὺ δὲ ἐὰν θελήσῃς γενέσθαι τοῦ θεοῦ τούτου ὑπηρέτης, γενήσῃ ταχέως· δείξας δὲ ὅτι ἄξιος αὐτοῦ ὑπηρέτης ἔσῃ ἐν τούτοις· πρῶτον μὲν ἐν ἁγιωσύνῃ, ἥτις ἐστὶν πάντων ἀγαθῶν κεφαλή· ἔπειτα δὲ ἡ πρὸς τὸν θεὸν τοῦτον ὃν κηρύσσω κοινωνίᾳ, καὶ φιλοσοφίᾳ, καὶ ἁπλότητι, καὶ ἀγάπῃ, καὶ πίστει, καὶ πρὸς αὐτὸν εὐαγγελίῳ, καὶ ἑνότητι καθαρᾶς τροφῆς.

1 *ἀντέχει U* ‖ *σεμνύνει U σεμνύναι P* ‖ *γοητεία P: scr γοητείας?? cf 267, 5; 240, 13* ‖ 1-2 *ἐ. δύν. P* ‖ 2 *λ. καὶ om P: del? cf 149, 18* ‖ *δίδαξον P* ‖ 3 *λέγει] οὖν add U* ‖ *ὁ prius om U* ‖ 4 *ἐ. β. πρ.] καὶ πρ. β. οἶδεν τυγχάνειν P: cf 227, 22; 139, 4* ‖ 6 *προσκ. om U* ‖ 6-7 *ᾗ - δίδ. om P* ‖ 7 *ἣν*] si ſ: *scr εἰ??* ‖ 8 *scr ἀντιβολῶ?* ‖ 9 *π. δ*] perpetuo permanentem ſ: *scr π. διάμονον???* ‖ 13-15 *U et P seiunxi: scr τῇ κοινωνίᾳ τῇ πρὸς τοὺς ἀδελφοὺς καὶ πρὸς τὸ ἅγιον πνεῦμα καὶ τῇ ὁμιλίᾳ τῇ πρὸς τοὺς ἀδελφούς?* (ſ) *cf lo 173, 21* ‖ 16 *τοῦ θ. - ζ.*] coram deo qui uiuant in uita aeterna ſ ‖ *καυχ.] καὶ add P: cf 227, 22* ‖ 17 *κατ. - ὅμ.] ἀφορᾶ τὸν P* ‖ 18 *σ. ψ. P* ‖ *θ. κ. κρ. U* ‖ 22 *scr γινώσκοντα?? cf Brinkmann Rhein Mus LIV (1899) p 96* ‖ 23-29 *καὶ σὺ - τροφῆς om P* ‖ 24 *scr δείξεις?* cerneris (esse) ſ ‖ 26 *ἡ] scr τῇ* ‖ 28 *εὐαγγ.] scr εὐελπιστίᾳ??* spe ſ ‖ 29 *τρ.] scr ἀναστροφῆς?* uitae ſ

140 Ὁ δὲ νεανίσκος πεισθεὶς διὰ τοῦ κυρίου ἐζήτει πρόφασιν ὅπως τὸν Ἰούδαν φυγαδεύσῃ. ἐν ᾧ δὲ ἐνεθυμεῖτο ἀφίκετο ὁ βασιλεύς· καὶ οἱ στρατιῶται παραλαβόντες τὸν Ἰούδαν ἐξήγαγον. συνεξῄει δὲ αὐτῷ ὁ Οὐαζάνης καὶ παρ' αὐτῷ ἕστηκεν. καθεσθεὶς δὲ ὁ βασιλεὺς ἐκέλευσεν εἰσαχθῆναι τὸν Ἰούδαν εἰς τὰ ὀπίσω δεδεμένον τὰς χεῖρας. ἀχθεὶς δὲ εἰς τὸ μέσον ἔστη· καὶ λέγει ὁ βασιλεύς· Εἰπέ μοι τίς εἶ καὶ ποίᾳ δυνάμει ταῦτα ποιεῖς. Ὁ δὲ Ἰούδας λέγει αὐτῷ· Ἄνθρωπός εἰμι κατὰ σέ, δυνάμει Ἰησοῦ Χριστοῦ ταῦτα ποιῶ. Καὶ ὁ Μισδαῖός 275 W φησιν· Τὴν ἀλήθειαν εἰπὲ πρὶν ἤ σε ἀπολέσω. Καὶ ὁ Ἰούδας λέγει· Οὐκ ἔχεις ἐξουσίαν ὡς νομίζεις κατ' ἐμοῦ, καὶ οὐδέν με βλάψεις. Ἀγανακτήσας δὲ ὁ βασιλεὺς ἐπὶ τοῖς ῥηθεῖσιν ἐκέλευσεν πλάκας πυρῶσαι καὶ στῆσαι αὐτὸν ἐπάνω αὐτῶν ἀνυπόδετον· ὑπολυόντων δὲ αὐτὸν τῶν στρατιωτῶν ἔλεγεν· Βέλτιόν ἐστιν ἡ σοφία τοῦ θεοῦ ὑπὲρ τὴν τῶν ἀνθρώπων σοφίαν. σὺ κύριε βασιλεῦ καὶ ἡ χρηστότης σου ἀντιστήτω τῷ θυμῷ αὐτοῦ. Ἐνέγκαντες δὲ τὰς πλάκας ἐοικυίας πυρὶ ἔστησαν ἐπάνω αὐτῶν τὸν ἀπόστολον· καὶ εὐθέως ὕδωρ ἀνεδόθη ἀθρόον ἐκ τῆς γῆς, ὥστε τὰς πλάκας καταποθῆναι· καὶ οἱ κρατοῦντες αὐτὸν ἐάσαντες ἀνεχώρησαν.

141 Ἰδὼν δὲ ὁ βασιλεὺς τὸ πλῆθος τῶν ὑδάτων εἶπεν τῷ Ἰούδᾳ· Δεήθητι τοῦ θεοῦ σου ἵνα με ῥύσηται ἐκ τοῦ θανάτου τούτου, ἵνα μὴ τῷ κατακλυσμῷ ἀπόλωμαι. Ὁ δὲ ἀπόστολος ηὔξατο καὶ εἶπεν· Ὁ δεσμεύσας τὴν φύσιν ταύτην καὶ εἰς ἕνα

[1] νεαν.] ἐν τούτοις τοῖς λόγοις add P ‖ δ. τ. κ.] καὶ πιστεύσας P ‖ [2] θωμᾶν P ‖ ἐν - ἐνεθ.] διαλογιζομένου δὲ περὶ τούτου P: cf 101, 3; 211, 10; al ‖ παρεγένετο P: scr ἀφίκετο? (cf 245, 19; 280, 1; al) καὶ add P: cf 227, 22 ‖ [3] οἱ - ἐξ.] λαβόντες τὸν θωμᾶν οἱ στρ. ἔστησαν ἐνώπιον τοῦ βασιλέως P ‖ [4] συναπίει P ‖ αὐτῷ] καὶ P ‖ οὐζάνης U ὁ τοῦ βασιλέως υἱὸς add P ‖ [5–7] καθ. - ἔστη (ſ p) om P ‖ [7] ὁ δὲ βασ. ἔφη U: cf 243, 21 ‖ [8] αὐτῷ om P ‖ [9] ποιῶν ταῦτα P ‖ [10] φησιν om P: scr λέγει? cf 243, 21 ‖ ἀπ. (ſ)] ἀπολέσθαι U: cf 237, 5 ‖ [12] ἐπὶ τῶ λόγω ὁ β. P ‖ [13–14] ἐπ. α. ἀν. στ. α. P | [13] ἐπ' αὐτὰς U: cf 18; 158, 6; 285, 9 ‖ [14] τ. στρ. τὸν ἀπόστολον P ‖ ἔλ.] ὁ ἀπόστολος add P ridebat et dicebat ſ ‖ [15–16] βέλτ. - σοφ. om P ‖ [15] scr βελτίων?? ‖ τ. θ.] scr σου Ἰησοῦ? (ſ) ‖ [16] κ. β.] scr κατ' αὐτῶν βουλεύου?? (ſ) ‖ κ. ἡ χ. σ. om P ‖ ἀντιστῆ U ‖ [17] θ. αὐτ.] τοῦδε βασιλέως θ. P ‖ [17] αὐτοῦ] scr τούτων? horum ſ ‖ ἐ. π. (ſ)] πεπυρωμένας P ‖ [18] ἀνέφερον ἐπ' αὐτὰς U: cf 13 ‖ [18–19] ἀν. - γῆς] ἐκ τ. γ. ἀνέβλυσεν P ‖ ἀν. ἀθ.] multa profluxit ſ prorumpit p ‖ [21] λέγει P dixit ſ ‖ [22–23] ἐκ τούτου με ῥ. τ. θ. P ‖ [22] ῥύσεται U ‖ ἐκ om U: cf 232, 1 ‖ [24] κ. εἶπεν] λέγων P ‖ ὁ δεσμ.] domine noster Iesu, oro te, uinci ſ

συναγαγὼν τόπον καὶ εἰς διαφόρους ἐκπέμπων χώρας· ο ἐξ ἀταξίας εἰς τάξιν μεταγαγών· ὁ διδοὺς μεγαλεῖα καὶ θαυμάσια μεγάλα διὰ τῶν χειρῶν τοῦ δούλου σου Ἰούδα· ὁ ἐλεῶν τὴν ἐμὴν ψυχὴν ἵνα σοῦ πάντοτε φέγγος καταδέξωμαι· ὁ δοὺς μισθὸν τοῖς κεκοπιακόσιν· ὁ σωτὴρ τῆς ψυχῆς μου καὶ εἰς τὴν ἰδίαν ἀποκαθιστῶν φύσιν τὸ μὴ κοινωνεῖν τοῖς βλάπτουσιν· ὁ γινόμενος πρόφασις ζωῆς διὰ παντός· σὺ κατά-
276 W *παυσον τὸ στοιχεῖον τοῦτο, ἵνα μὴ ἀντανᾶραν διαφθείρῃ· εἰσὶν γάρ τινες τῶν ἐνταῦθα ἑστώτων οἵτινες ζήσουσιν σοὶ πιστεύσαντες. Εὐξαμένου δὲ αὐτοῦ κατ᾽ ὀλίγον τὸ ὕδωρ ἀνηλώθη, ξηρὸς ὁ τόπος γενόμενος. ἰδὼν δὲ ταῦτα ὁ Μισδαῖος προσέταξεν εἰς τὸ δεσμωτήριον αὐτὸν ἀχθῆναι Ἕως οὗ σκέψομαι πῶς δεῖ αὐτῷ χρήσασθαι.* |

78 B 142 *Ἀπαγομένου δὲ τοῦ Ἰούδα ἐν τῇ φυλακῇ πάντες αὐτῷ ἠκολούθουν, καὶ Οὐαζάνης τοῦ βασιλέως υἱὸς πρὸς τὴν δεξιὰν αὐτοῦ ἐβάδιζεν καὶ ὁ Σιφὼρ ἐν ἀριστερᾷ. εἰσελθὼν δὲ εἰς τὸ δεσμωτήριον ἐκαθέσθη, καὶ ὁ Οὐαζάνης καὶ ὁ Σιφώρ, καὶ τὴν ἑαυτοῦ γυναῖκα καὶ τὴν θυγατέρα ἔπεισεν καθεσθῆναι· εἰσεληλύθασι γὰρ καὶ αὐταὶ ἵνα ἀκούσωσιν τοῦ τῆς ζωῆς λόγου· καὶ γὰρ ᾔδεισαν ὅτι ὁ Μισδαῖος φονεύσει αὐτὸν διὰ τὴν τῆς ὀργῆς ὑπερβολήν. ὁ δὲ Ἰούδας*

[9] cf Marc 9, 1

[1] *συν.*] conlige ſ ‖ *καὶ - χ.*] tu dissipasti eam in uaria loca ſ ‖ [1–2] *ὁ ἐξ - μετ. om* ſ ‖ [2] *μ. καὶ*] multa ſ: *cf 217, 1* ‖ [3–7] *ὁ ἐλ. - διὰ π. om P* | [3] *ὁ ἐλ.*] qui facis desiderare ſ ‖ [4] *ἵνα ⟨κἀγὼ⟩?* (ſ) ‖ [5] *scr διδοὺς?* | *scr μοι κεκοπιακότι?* omnium laborum meorum ſ ‖ [5–6] *ὁ - φ.*] tu qui sinis animum meum quiescere cum suamet natura ſ: *cf 11* ‖ [6] *scr τοῦ?* | [7] *γινόμενός ⟨μοι⟩?* (ſ) *cf 156, 19* ‖ [8] *ἀντ.*] *τοὺς πιστοὺς P* extollat se superbe et ſ ‖ *post διαφθείρει uacat extr uersiculus U: nihil add* ſ ‖ [8–9] *ε. γ.*] *καὶ γ. ε. P: cf 215, 15* ‖ [9] *ὧδε P: cf 159, 20; 181, 15; 261, 9; 11* ‖ *ζ. σ. π.*] *κατὰ τὸ σὸν ζήσωσιν* (*quod defendit Reinhold de graecitate patrum p 108* [*cf 114, 3*]) *ὄνομα P* ‖ [11] *ξ. - γεν.*] *καὶ ὁ τ. ἐκεῖνος εἰς τὴν ἀρχαίαν ἀποκαθίστατο φύσιν* (*cf 5 - 6*) *ξ. γινόμενος U* sed locus factus est sic tamquam si siccatus esset ſ ‖ *ξ.*] *πάλιν add P* ‖ [11–12] *πρ. - σκέψ.*] dixit: abripite in carcerem donec deliberauerimus ſ ‖ [12] *τὸ om U* ‖ *βληθῆναι U* ‖ *οὗ om et add φησιν U: cf 234, 17 - 18* ‖ *σκέψηται P: cf 211, 23* | [13] *πῶς - χρ.*] *τὰ κατ᾽ αὐτόν P* ‖ [14] *ἀπ. - φ. π.*] et Iudas abiit ut recluderetur ſ ‖ *ἀπ.*] *ἐξελθόντι U* ‖ *τῷ U* ‖ *ἐν τ. φ. om U: del? cf 234, 10* | [15] *αὐτῷ om U* ‖ *ἠκολούθησαν U* ‖ [16] *τὰ δεξιᾶ P: cf q s* ‖ *ἐν*] *εἰς τὰ P: cf 214, 20* ‖ [17–18] *ὁ - γ.*[*scr Οὐαζάνην καὶ Σιφόρα κ. τ. αὐτοῦ γ.?* (ſ) | [17] *ὁ om U* ‖ [18–19] *κ. τ. ἑ. - καθ.*] *σὺν αὐτοῖς καὶ αἱ γυναῖκες ἥ τε τοῦ σιφὼρ γυνὴ καὶ ἡ τούτων θυγάτηρ P: cf 240, 16* ‖ [19–21] *εἰσελ. - ὑπερβ. om P: cf 249, 21*

ἤρξατο λέγειν· Ὁ ἐλευθερωτὴς τῆς ἐμῆς ψυχῆς ἐκ τῆς τῶν πολλῶν δουλείας, ὅτι δέδωκα ἐμαυτὸν πραθῆναι· ἰδοὺ χαίρω καὶ θάλλω εἰδὼς ὅτι ἐπληρώθησαν οἱ χρόνοι ἵνα εἰσελθὼν ἀπολάβω. ἰδοὺ ἀπαλλάσσομαι μεριμνῶν τῶν ἐπὶ τῆς γῆς. ἰδοὺ πληρῶ τὴν ἐλπίδα καὶ ἀλήθειαν ἀπολαμβάνω. ἰδοὺ ἀπαλλάττομαι λύπης καὶ χαρὰν ἐνδύομαι μόνον. ἰδοὺ γίνομαι 277 W ἄφροντις καὶ ἄλυπος ἐν ἀνέσει διατρίβων. ἰδοὺ τῆς δουλείας ἀπαλλάττομαι καὶ εἰς τὴν ἐλευθερίαν ἐκλήθην. ἰδοὺ χρόνοις καὶ καιροῖς ὑπηρέτησα καὶ χρόνων καὶ καιρῶν ἀνυψώθην. ἰδοὺ ἀπολαμβάνω παρὰ τοῦ μισθαποδότου χωρὶς ἀριθμοῦ διδόντος τοῦ ἐξαρκεῖν αὐτοῦ τὸν πλοῦτον τῆς δωρεᾶς. καὶ πάλιν οὐκ ἀποδυθήσομαι. ἰδοὺ κοιμῶμαι καὶ ἐξυπνίζομαι, πάλιν δὲ οὐ κοιμηθήσομαι. ἰδοὺ ἀποθνήσκω καὶ ἀναβιῶ, πάλιν δὲ θανάτου οὐ γεύσομαι. ἰδοὺ χαίροντες προσδοκῶσιν ἵνα ἐλθὼν συγγένωμαι τοῖς αὐτῶν συγγενέσιν καὶ τεθῶ ἄνθος ἐν τῷ στεφάνα αὐτῶν. ἰδοὺ βασιλεύω ἐν τῇ βασιλείᾳ ἐφ' ἣν ἐντεῦθεν ἤλπισα· ἰδοὺ πίπτουσιν οἱ ἀνυπότακτοι πρὸ ἐμοῦ, ὅτι αὐτοὺς ἐξέφυγον· ἰδοὺ γέγονεν εἰρήνη εἰς ἣν πάντες ἀπαντῶσιν.

143 Λέγοντος δὲ τοῦ ἀποστόλου ταῦτα πάντες οἱ ἐκεῖ ἠκροῶντο, νομίζοντες ἐκείνην τὴν ὥραν τοῦ βίου αὐτὸν μεταστῆναι. καὶ πάλιν ἔλεγεν· Πιστεύσατε τῷ πάντων ἰατρῷ ὁρατῶν τε καὶ ἀοράτων σωτηρίαν τῶν ψυχῶν τῶν δεομένων τῆς παρ' αὐτοῦ ὠφελείας. οὗτός ἐστιν ἐλεύθερος ἐκ βασι- 278 W λέων· οὗτος ἰατρὸς τῶν αὐτοῦ κτημάτων· οὗτός ἐστιν ὁ

2 cf Matth 5, 12 Apoc 19, 7 ‖ 14 cf Marc 9, 1

1–2 *ὁ ἐλ. - πραθ. om P* ‖ 2 *πραθῆναι ⟨ἐνὶ⟩?* (ſ) ‖ 3 *θ.] scr ἀγαλλιῶ?? cf 143, 12; 219, 7 et 258, 7* ‖ *ἐπλ. οἱ χ.] ὁ καιρὸς ἤδη τῆς ἀναλύσεώς μου πάρεστιν P: cf ep ad Tim 2, 4, 6* ‖ *ἀπελθὼν et add ἐκεῖ τὸν ἄφθαρτον στέφανον P* (*cf ep ad Cor 1, 9, 25*) te datorem quietis *add* ſ ‖ 4–13 *ἰδοὺ - κοιμηθ. om P* ‖ 5 *πλ.*] dimittam ſ ‖ 9 *⟨ὑπεράνω⟩ χρόνων?* (ſ) *cf 229, 14* ‖ 11 *τοῦ] scr διὰ τὸ?* (ſ) ‖ *scr ταῖς δωρεαῖς?* (ſ) ‖ *⟨ἰδοὺ ἀποδύομαι καὶ ἐνδύομαι⟩ καί?* (ſ) ‖ 14 *πάλ. - γεύσ.] μηκέτι θ. γενόμενος P: cf 13* ‖ 14–16 *ἰδ. χ. - στ. α. om P* ‖ 15 *τ. α. συγγ.*] gaudio eorum ſ ‖ 15–16 *καὶ - στ. α.*] et ponent flores in sertis suis ſ ‖ 16 *scr στεφάνῳ?* ‖ rex ero ſ *ἐν τῇ om P* ‖ *τῇ ⟨σῇ⟩?* (ſ) ‖ *βασιλείαν P* ‖ 18 *α. ἐξ.*] supra eos ascendi ſ *εἰς om P* ‖ *π. ἀ.*] magni conligentur ſ ‖ 20–21 *οἱ ἐ. ἠ.] τῶν αὐτοῦ ἠ. ῥημάτων P: cf 234, 6; 244, 1; 259, 15 P (at 221, 22 U)* ‖ 21–250,24 *νομίζ. - πονηροῦ om P (cf 248, 20) plura et passim alia habet* ſ

U 21 *⟨μέλλειν⟩ μετ.?* (ſ) ‖ 22 *πάντων ⟨παθῶν⟩??* (ſ?) ‖ 23 *scr ⟨καὶ⟩ σωτῆρι?* (ſ) ‖ 25 *scr κτισμάτων?* (ſ): *cf 232, 2*

ὀνειδιζόμενος ὑπὸ τῶν ἰδίων δούλων· οὗτός ἐστιν πατὴρ ὕψους καὶ φύσεως κύριος καὶ κριτής· ὕψιστος παρὰ τοῦ μεγίστου γέγονεν, υἱὸς βάθους μονογενής· καὶ ἐκλήθη υἱὸς Μαρίας παρθένου, καὶ ἠκούσθη υἱὸς τέκτονος Ἰωσήφ. οὗτος οὗ τὴν σμικρότητα ἐν τοῖς τοῦ σώματος ὀφθαλμοῖς, τὴν δὲ μεγαλειότητα ἐν πίστει ἐδεξάμεθα, καὶ εἴδομεν ταύτην ἐν τοῖς ἔργοις· οὗ τὸ σῶμα ἀνθρώπινον καὶ ταῖς χερσὶν ἐψηλαφήσαμεν, τὴν δὲ θέαν εἴδομεν ἐνηλλοιωμένην τοῖς ἡμετέροις ὀφθαλμοῖς, τὸν δὲ τύπον αὐτοῦ τὸν οὐράνιον ἐν τῷ ὄρει ἰδεῖν οὐκ ἠδυνήθημεν· οὗτος ὁ σφήλας τοὺς ἄρχοντας καὶ τὸν θάνατον βιασάμενος· οὗτος ἀλήθεια μὴ ψευδομένη καὶ τέλος ἐπικεφάλαια δεδωκὼς ὑπὲρ αὐτοῦ καὶ τῶν αὐτοῦ μαθητῶν· οὗτινος ἰδὼν ὁ ἄρχων ἐφοβήθη καὶ αἱ δυνάμεις αἱ σὺν αὐτῷ ἐταράχθησαν· καὶ ἐμαρτύρει ὁ ἄρχων τίς ἐστιν καὶ πόθεν, καὶ τὸ ἀληθὲς οὐκ ἔγνω, ἐπειδήπερ ἀληθείας ἐστὶν ἀλλότριος. οὗτος ἐξουσίαν ἔχων τοῦ κόσμου καὶ τῶν ἐν αὐτῷ ἡδονῶν καὶ κτημάτων καὶ ἀνέσεως ταῦτα πάντα καὶ τοὺς αὐτοῦ ὑπηκόους ἀνατρέπει μὴ χρήσασθαι αὐτοῖς.

279 W 144 *Πληρώσας δὲ ταῦτα ἀνέστη καὶ ηὔξατο οὕτως· Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς· ἁγιασθήτω τὸ ὄνομά σου. ἐλθάτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς· καὶ ἄφες ἡμῖν τὰς ὀφειλὰς ἡμῶν ὡς καὶ ἡμεῖς ἀφήκαμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονη-*

7 cf ep Io 1, 1, 1 ‖ 9 cf Matth 17, 1—13 ‖ 12 cf Matth 17, 27
15 cf Io 8, 44 ‖ 20 cf Matth 6, 9—13

U 2 *⟨κόσμου⟩ κριτής?* (ʃ *Wright: κριτὴς ὕψ. coniungenda uid e cod Sin: cf Burkitt l s* [241, 21] *p 41*) ‖ 2—3 *π. τ. μ. γέγ.*] hic qui uenit de supero ʃ ‖ 3 *υἱ. β. μ. om* ʃ ‖ 4 *scr ἤκουσεν??* ‖ 5 *ὀφθαλμοῖς ⟨ἐθεασάμεθα⟩?* (ʃ) ‖ 7 *⟨τὸ⟩ ἀνθρώπινον?* sanctum ʃ (*Wright:* caeleste *e cod Sin Burkitt l s: cf 9*) ‖ *del καὶ?* (ʃ) ‖ 8 *τὴν δὲ*] *scr καὶ τὴν?* (ʃ) ‖ *ἐνηλλ.*] maestam ʃ ‖ 10—11 *οὗτος - βιασ. om* ʃ (*Wright:* hic deceptor quem principes et imperatores capite damnarunt *e cod Sin Burkitt l s*) ‖ 12 *τέλος ⟨τε καὶ⟩?* (ʃ) ‖ 13 *οὗτινος*] *scr οὗτος ὃν?* (ʃ) ‖ *ἄρχ.*] inimicus ʃ (*Wright:* rex atrox *Burkitt*) ‖ 14 *ἐμ.*] interrogauit ʃ ‖ 15 *scr ἐγνώρισεν ⟨αὐτῷ⟩?* (ʃ) ‖ 17 *πάντα ⟨ἀπέθετο⟩?* (ʃ) ‖ 18 *scr ἀποτρέπει??* ‖ 20—24 *πάτερ - πονηροῦ cf Lipsius I p 236* (*de S errat*) ‖ 22 *γῆς*] *quae hic om de pane non om* ʃ

ρου. ὁ κύριος καὶ θεός μου, ἐλπὶς καὶ πεποίθησις καὶ διδάσκαλος, σύ με ἐδίδαξας εὔχεσθαι οὕτως· ἰδοὺ τὴν εὐχὴν εὔχομαι ταύτην καὶ τὸ πρόσταγμά σου πληρῶ· σὺ ἔσο μετ' ἐμοῦ μέχρι τέλους· σὺ εἶ ὁ ἐκ παίδων με ἐνσπείρας ζωὴν καὶ ἀπὸ φθορᾶς φυλάξας με· σὺ εἶ ὁ εἰς τὴν τοῦ κόσμου πενίαν ἀγαγών με καὶ εἰς πλοῦτον ἀληθινὸν παρακαλέσας με· σὺ εἶ ὁ γνωρίσας μοι ἑαυτὸν καὶ δείξας ὅτι σός εἰμι· καὶ γυναικὸς ἀπεσχόμην ἵνα ἐκεῖνο ὃ χρήζεις μὴ εὑρεθῇ ἐν ῥύπῳ·

144 κύριε καὶ θεέ μου, ἡ ἐλπίς μου καὶ ἡ πεποίθησίς μου καὶ ὁ διδάσκαλός μου, | ὁ τὸ θάρσος ἐνθείς μοι, σὺ ἐδίδαξάς με οὕτως προσεύχεσθαι· ἰδοὺ τὴν σὴν εὐχὴν εὔχομαι καὶ τὸ θέλημά σου εἰς πέρας ἄγω· σὺ ἔσο μετ' ἐμοῦ ἕως τέλους· σὺ εἶ ὁ ἐκ νεότητός μου ὑπομονὴν ἐν πειρασμοῖς διδούς μοι ζωήν, καὶ ἀπὸ τῆς φθορᾶς με διαφυλάξας. σὺ εἶ ὁ εἰς τὴν πεῖναν τοῦ κόσμου ἀγαγών με καὶ τοῦ πλούτου με τοῦ ἀληθινοῦ πλήσας· σὺ εἶ ὁ μηνύσας με σὸν ὄντα· διὸ γυναικὶ οὐδ' ὅλως συνήφθη, ἵνα ὁ ναὸς σοῦ ἄξιος ἐν μολυσμῷ μὴ εὑρεθῇ. 89 B

U 4 scr μοι? ‖ 6 scr παρασκευάσας? (ſ) ‖ 7 ἑ. κ. δ. om ſ

10–258,19 κύριε - εὗρεν post 282, 10 loco breuiorum illarum precum habent P. Σ (FLSZ) m: cf praef

P. Σ (Σ = FLSZ) 10 κ. θ. (ſ) om Σ: cf 1 ‖ μου prius] ἰησοῦ χριστὲ add Σ ‖ 11 μοι ἐνθ. FLS(Z) fort recte ‖ 11–13 σὺ - ἄγω om P ‖ 12 scr εὔχεσθαι οὕτως? cf q s; 282, 13 ‖ προσεύξασθαι SZ ‖ ἰδοὺ et q s] cf 2 et Burkitt l s (100, 4) p 287 ‖ 13–14 ἕ. (cf 158, 10) τ. ἕ. μ. ἐ. FLS(Z) ‖ 13 ἔση P ‖ 14–15 ὑπ. - ζ.] ἐν π. διδ. ὑπ. καὶ ζ. παρεχόμενός μοι FL(S)Z ‖ 14 ὑπ. (om ſ) del: cf U ‖ ἐν π.] scr ἐνσπείρας μοι (ſ: cf Lipsius I p 329. 1): cf U ‖ 15 διδ. μοι om ſ (del: cf U) καὶ add P ‖ διαφ.] διεφύλαξας τῇ σῇ δυνάμει F ἐξήγαγες φυλάξας τῇ ἀφθαρσίᾳ LSZ ‖ 16 εἶ] κύριέ μου add FLS(Z) ‖ ἐκ τῆς πενίας Σ ‖ scr πενίαν (ſ): cf U ‖ ἐξαγαγών Σ ‖ με] κύριε add P ‖ 17 τ. ἀλ. με ἐμπλήσας FLS(Z) ‖ μην.] ἐκλεξάμενός Σ ‖ με σ. ὄ.] scr μοι ὅτι σός εἰμι?? (ſ) mihi me tuum esse m

PQ. Σ (Σ = FLSZ) 17 σὸν] redit Q ‖ ὄντα] ὄνομα P δοῦλον Σ ‖ 17–253,15 διὸ - εἰς σέ om Z

PQ. Σ (Σ = FLS) 18 γυν. - συν.] καὶ οὐκ εἴασάς με ἐν γυναικὶ μολυνθῆναι F(L)S ‖ συνήχθην Q: scr συνήφθην? cf 171, 14 ‖ 18–19 ἵνα - εὑρ.] ne templi tui gratiam uel coniugalis copulae usus minueret m 18 ὁ - ἄξ.] quod a te desideratur ſ: scr ὃ σὸν εἶναι ἀξιοῖς??? ‖ ὁ ν.] ὅσον F ὡς ὢν S ‖ ὁ om L ‖ 18–19 ἐν μ. μὴ] ἀμόλυντος Σ ‖ 19 εὑρεθῶ Σ

145 *οὐ χωρεῖ μου τὸ στόμα εὐχαριστῆσαί σοι οὐδὲ ἡ διάνοιά μου ἐνθυμηθῆναι περὶ τῆς ἐμῆς σπουδῆς. ὁ δείξας μοι ὅτε πλουτῆσαι καὶ κτήσασθαι καὶ ἔργῳ μοι δείξας ὅτι πολὺς ἐπὶ τῆς γῆς πλοῦτος ζημία γίνεται· ἐπίστευσα δέ σου τῇ ἀποκαλύψει καὶ ἐν τῇ τοῦ κόσμου πενίᾳ παρέμεινον, ἕως οὗ ὁ ἀληθινὸς πλοῦτος ὀφθεὶς κἀμὲ καὶ τοὺς σοὺς ἀξίους* 286 W *ἐπλήρωσας πλούτου, καὶ ἐνδείας καὶ μερίμνης καὶ πλεονεξίας ἀπήλλαξας. ἰδοὺ τοιγαροῦν ἐπλήρωσά σου τὸ ἔργον καὶ τὸ πρόσταγμα ἐτελείωσα· καὶ γέγονα πένης καὶ ἐνδεὴς καὶ ξένος καὶ δοῦλος καὶ καταπεφρονημένος καὶ δεσμώτης καὶ λιμώττων καὶ διψῶν καὶ γυμνὸς καὶ κεκοπιακώς· μὴ οὖν ὑστερείσθω ἡ*

145 *οὐκ ἐξαρκεῖ μου τὸ στόμα ἐξομολογήσασθαί σοι οὐδὲ ἐνθυμηθῆναι δύναμαι τὴν σπουδὴν καὶ ἐπιμέλειαν τὴν ἐκ σοῦ γενομένην περὶ ἐμοῦ. ἐβουλόμην γὰρ κτήσασθαι πλοῦτον· σὺ δὲ δι' ὁράματος ἔδειξάς μοι ὅτι ἐπιζήμιος καὶ ἐπιβλαβὴς γίνεται τοῖς κτωμένοις αὐτόν· καὶ ἐπίστευσα τῇ φανερώσει σου καὶ παρέμεινα τῇ πτωχείᾳ τοῦ κόσμου ἕως ὅτε σὺ ὁ πλοῦτος τῆς ἀληθείας ἀπεκαλύφθης, ὁ κἀμὲ καὶ τους ἄλλους τοὺς σοῦ ἀξίους ἀπὸ τοῦ ἰδίου πλούτου πληρώσας, καὶ ἀπὸ μερίμνης καὶ φροντίδος τοὺς σοὺς ἀπαλλάξας. πεπλήρωκα οὖν κύριε τὰς ἐντολάς σου καὶ ἐτέλεσα τὸ βούλημά σου· καὶ ἐγενόμην πένης καὶ ἐνδεὴς καὶ ξένος καὶ δοῦλος καὶ ἐξουδενωμένος καὶ δέσμιος καὶ πειναλέος καὶ διψαλέος καὶ*

U [2] *ἐμῆς*] *scr εἰς ἐμὲ??* (ſ) ‖ [3] *κτήσασθαι <ἐβουλόμην>?* (ſ): *cf 14 κ. ἔ. - δείξ. om* ſ: *del??* ‖ [4] *scr πολλοῖς?* (ſ) ‖ *ἐ. τ. γ.*] *scr κτῆσις καὶ??* (ſ) ‖ [5] *scr παρέμεινα?* ‖ [6] *οὗ <σὺ>?* (ſ) ‖ *scr σοῦ? cf 19; 253, 8; 22*

PQ. Σ (*Σ = FLS*) [13] *ἐνθ. δ.*] mens mea intellegere ſ: *cf U* ‖ [14] *π. ἐμοῦ*] *μοι Σ: scr π. ἐμέ?* (ſ) *cf 231, 17* ‖ [14–17] *ἐβ. - φαν.*] *ἐβουλόμ. . . . σει σου reliquis rescissis P* ‖ [14] *κεκτῆσθαι Σ* ‖ [15] *ἐδίδαξάς με Σ* ‖ [16–18] *τ. κτ. - ἀπεκαλ. om S* ‖ [16–17] *τ. κτ. - φαν. om L* ‖ [16] *τ. κτ. α.*] multis ſ: *cf 4* ‖ [17–18] *σου - σὺ om L* ‖ [18] *ὅτε om P: cf 211, 23* ‖ *πλ. τ. ἀλ.*] uerae diuitiae ſ: *cf 6* ‖ *ἀπεκ.*] mihi *add* ſ: *<μοι>?? cf 6* ‖ [19] *τ. ἄλλ. om LS* ſ: *del??* ‖ *ἀπὸ del?? cf 20; 256, 7* ‖ *ἀξ. σου et add ἐκλεξάμενος πένητας* (*ὄντας add F*) *καὶ Σ* ‖ *σοὶ PQ: cf 188, 2; 253, 22* ‖ *ἀξ.*] *ἀποκαλυφθεὶς add P* ‖ *ἰδ. πλ.*] *πλ. τῆς θεότητός σου Σ* ‖ *ἰδ.*] uero ſ ‖ *πλουτίσας F*(*LS*): *scr ἐπλήρωσας??* (ſ) *cf 20* ‖ [20] *ἀπὸ del?? cf 19* ‖ *scr <ἐνδείας καὶ> μερ. κ. πλεονεξίας??* (ſ): *cf 7* ‖ *scr ἀπήλλαξας? cf 19* ‖ [21] *κύριε*] *μου add F*(*L?*)*S* ‖ [21–22] *καὶ - σου om Σ* ‖ [22]–253,[13] *κ. ἐξ. - ἐξουδενωθῇ*] . . . *ἐξουδενομέ . . . ναν ὑπ . . . δ . . θενωθῇ reliquis rescissis P*

πεποίθησίς μου· μὴ αἰσχυνέσθω ἡ ἐλπίς μου ἐπὶ σοί· μὴ γενέσθωσάν μου μάταιοι οἱ κάματοι· μὴ ἀπολέσθωσάν μου αἱ εὐχαὶ καὶ αἱ νηστεῖαι αἱ συνεχεῖς, καὶ αἱ πράξεις μου αἱ ἐπὶ σοὶ μὴ ἐλαττούσθωσαν· μὴ ἁρπαζέτω ὁ διάβολος τὸ τοῦ σίτου σπέρμα ἐπὶ τῆς γῆς·

146 ἵνα τὰς μὲν ῥίζας πέμψῃ εἰς βάθος, εἰς οὐρανὸν δὲ τῶν κλάδων τὴν ἔκτασιν αὐτῆς, καὶ δειχθῶσιν οἱ καρποὶ ἐν τῇ γῇ, καὶ εὐφραινέσθωσαν ἐν αὐτῇ οἱ ἄξιοί σου· ἰδοὺ τὰ χρήματα καὶ τὰ κτήματα ἅπερ μοι δέδωκας κατεθέμην

γυμνὸς καὶ ἀνυπόδετος καὶ ἐμόχθησα διὰ σέ, ἵνα μὴ ἀπόληται ἡ πεποίθησίς μου καὶ ἡ ἐλπίς μου ἡ ἐν σοὶ μὴ καταισχυνθῇ, καὶ ὁ πολύς μου κάματος μὴ γένηται διὰ κενῆς, καὶ ὁ κόπος μου μὴ ἐξουδενωθῇ· μὴ ἀπόλωνταί μου αἱ εὐχαὶ καὶ αἱ νηστεῖαί μου αἱ συνεχεῖς καὶ ἡ πολλή μου σπουδὴ ἡ εἰς σέ· μὴ ἀνταλλαγῇ μου ὁ σπόρος τοῦ σίτου ἀπὸ τῆς σῆς | γῆς· 90 B
μὴ ἁρπάσῃ αὐτὸν ὁ ἐχθρὸς καὶ τὰ αὐτοῦ ζιζάνια συμμείξῃ· ἡ γὰρ σὴ γῆ ἀληθῶς οὐ δέχεται αὐτοῦ τὰ ζιζάνια, ἀλλ' οὐδὲ τεθῆναι δύναται εἰς τοὺς σοὺς οἴκους.

146 τὴν ἄμπελόν σου ἐφύτευσα ἐν τῇ γῇ· τὰς ῥίζας καθῆκεν εἰς τὸ βάθος, ἡ δὲ βλάστησις αὐτῆς ἐν τῷ ὕψει ἐξηπλώθη, οἱ δὲ ταύτης καρποὶ ἐπὶ γῆς ἐξετάθησαν καὶ ἐκ τούτων εὐφραίνονται οἱ σοῦ ἄξιοι οὓς καὶ ἐκτήσω. τὸ ἀργύριον ὃ δέδωκάς μοι κατέβαλον ἐν τῇ τραπέζῃ· τοῦτο ἀπαι-

[4] cf Matth 13, 25 ‖ [9] cf Matth 25, 27 ‖ [13] cf Thess 1, 3, 5

U [1] *<ἢ> ἐπὶ?* ‖ [4] mutentur ʃ: *scr ἀλλαττέσθωσαν??* ‖ [5] *scr ἀπὸ τῆς <σῆς>?* (ʃ): *cf 15*

PQ. Σ (Σ = FLS) [10] *ἐμ. - σέ] ἐν μόχθοις πολλοῖς ὑπήνεγκα Σ* [12–13] *μὴ γ. - κ. μου om LS* ‖ [12] *μὴ om F* ‖ [13] *μὴ prius om FL*

PQ. Σ (Σ = FLSZ) [14–15] *ἡ π. - σέ* (ʃ)] *αἱ πολλαί μου δεήσεις PQ* [14–16] *scr ἢ εἰς σὲ μὴ ἀνταλλαγῇ· τὸν σπόρον τ. σ. ἀ. τ. σ. γῆς μὴ ἁρπάσῃ ὁ ἐχθρὸς?* (ʃ): *cf 4* ‖ [15] *μὴ ἀντ.] πληθυνθήτω Σ* ‖ *ὁ σπ. τ. σ. μου FLS(Z) ἐν τῇ σῇ γῇ FS(Z)* ‖ *ἐπὶ L: cf 5* ‖ *σῆς om Q. LZ* ‖ [16] *αὐτοῦ τὰ ζ. Q* ‖ *αὐτοῦ] ἴδια FLZ* ‖ [16–17] *συμμ. - ζιζ. om PQ* ‖ [18] *δύνανται S* ‖ *σηκούς F: cf 155, 17* [19] *ἐφ.] ἣν ἐφύτευσας Σ* ‖ *τῇ om PQ σῇ add S: cf 15* ‖ *ῥίζ.] αὐτῆς add Q* | [20] *καθ.]* demittat (*item q s*) ʃ: *cf 255, 10* ‖ *τὸ om Q* ‖ *α. ἐν τ. ὕ.] τοῦ ὕψους α. PQ* ‖ [21] *οἱ δὲ - ἐξετ. om Σ* ‖ [21–254,13] *ταύτ. - οἷς] ταύ.ης καρποὶ ἐπὶ γῆς . . . αν καὶ ἐκ τοὺ . . . . ονται οἱ . . . τή . . . . reliquis rescissis P* ‖ [22] *σου οἱ LS οἱ σοὶ Q. Z: cf 252, 19* ‖ *οἷς Σ* ‖ *ἐκτ.] ἐπίστευσας Σ* ‖ [23] *δέδ. μοι om Σ* ‖ *ταῦτα LSZ* ‖ *ἀποτίσας Q ἀπήτησας F ἀπέτη Z* tempta ʃ *δοκιμάσας uel βασανίσας exspectaueris: scr ἐξετάσας?? ἐγὼ add FLZ*

εἰς τράπεζαν· ἀπόδος δέ μοι αὐτὰ μετὰ τόκων ὥσπερ ἐπηγγείλω. ἐν τῇ σῇ μνᾷ προσεπορισάμην ἄλλας δέκα· προστεθήτω μοι ὡς προσέταξας. ἐγὼ τοῖς χρεώσταις τὴν μνᾶν συνεχώρησα· καὶ μὴ ἀπαιτείσθω παρ' ἐμοῦ· συνεχώρησας 281 W γάρ μοι. παρακληθεὶς εἰς δεῖπνον παρεγενόμην, ἀγροῦ καὶ γυναικὸς ἀπαλλαγείς· μὴ οὖν ἀποβληθῶ, ἀμωμήτως δὲ γείσωμαι. ἵνα ἄξιος φανῶ καὶ μὴ τὰς χεῖρας καὶ τοὺς πόδας δεθεὶς εἰς τὸ σκότος τὸ ἐξώτερον εἰσέλθω. ὁ λύχνος μου μετὰ πολλῆς λαμπρότητος παρέμεινεν τὸν δεσπότην καὶ τοῦτον ἀπείληφεν ἀναλυθέντων τῶν γάμων· οὐ γὰρ εὗρεν αὐτὸν

τήσας ἀποδίδου μοι ἐν τόκοις ὥσπερ ἐπηγγείλω. τὴν μίαν σου μνᾶν πραγματευσάμενος δέκα πεποίηκα· προσέθηκάς μοι ἐφ' οἷς εἶχον ὥσπερ συνέθου. τῷ ὀφειλέτῃ μου ἀφῆκα τὴν μνᾶν· μὴ εἰς χεῖράς μου ἐπιζητήσῃς· εἰς δεῖπνον ἐκλήθην καὶ ἦλθον· ἀπὸ δὲ τοῦ χωρίου καὶ τοῦ ζευκτοῦ καὶ τῆς γυναικὸς ἐγὼ ἔξαρνος γέγονα, ἵνα μὴ διὰ ταῦτα ἀποδοκιμασθῶ. εἰς τὸν γάμον ἐκλήθην καὶ λευκὴν ἐσθῆτα ἐνεδυσάμην, ἵνα ἄξιος αὐτοῦ γένωμαι καὶ μὴ δεθεὶς χεῖρας καὶ πόδας εἰς τὸ ἐξώτερον σκότος ἐκβληθῶ. ὁ λύχνος μου τῷ φωτὶ αὐτοῦ τῷ διαυγεῖ προσδέχεται τὸν δεσπότην τὸν ἀναλύοντα ἐκ τῶν γάμων, ἵνα

[3] cf Matth 18, 23 ss ‖ [5] cf Luc 14, 16 ss ‖ [8] cf Luc 12, 35; 36 [7] et [16] cf Matth 22, 2 ss; 11

U [2] *del ἐν??* ‖ [5] *scr κληθεὶς?* ‖ [7] *<. . . . .> ἵνα: cf 17*

PQ. Σ (Σ = FSLZ) [11] *ἀποδ. μοι] δέδωκα (F)LSZ: cf 12* ‖ [11–13] *τὴν - εἶχον om Z* ‖ [11–12] *μ. σ. μν.] scr μν. σ.?* (ʃ) *cf 14* ‖ [12] *μνᾶν om Q: cf 14* | *δ. πεπ.] ἐδιπλασίασα καὶ FLS* ‖ *προστίθει exspectaueris* (ʃ): *cf 11* ‖ [13] *καθὼς Σ* ‖ *μου om Σ* ‖ [13–14] *ἀφ. τ. μν.] καὶ τ. μν. μετέδωκα FLS(Z)* [14] *μίαν PQ: cf 12* ‖ *μὴ]* quod remisi *add* ʃ ‖ *ἐπιζ.] αὐτὴν add FLS κύριέ μου ἰησοῦ χριστέ add Σ* ‖ [14–16] *εἰς δ. - ἀποδ. om F* ‖ [14–17] *κ. ἦλθον - ἐκλ. om Z* ‖ [16] *ἐγὼ - ἀποδοκ. om LS* neu edam de eo per obsecrationem *add* ʃ: *cf 6 (ἀμ. δὲ γ.) et eu Luc 14, 24* ‖ *ταῦτα] ἐγὼ add Q* | [17] *ἐνεδ.] ἐνδυσάμενος προθύμως παρεγενόμην Σ* ‖ [17]–256,[14] *ἵνα - προέβην] deest scheda una Z*

PQ. Σ (Σ = FLS) [18] *αὐτοῦ* (ʃ)] *σου P. Σ: cf Burkitt l s (100, 4) p 287* ‖ [18–19] *ἐξ. σκ.] σκ. τὸ ἐξ. LS* ‖ [18]–255,[10] *καὶ μὴ - δαπαν. om F* | [19] *μου om S* ‖ [19–20] *τῷ φ. - προσδ.] ὁ τὸ φῶς μοι καταλάμπων ἐγρηγόρησα ἔχων τὴν λαμπάδα μου καὶ προσδεχόμενος σὲ LS* ‖ [20] *τὸν alt] μου πότε LS* ‖ [20]–255,[3] *ἀναλ. - ἀγαλλ.] ἀ . . . οντα ἐκ τὸν γάμον . . . reliquis rescissis P* ‖ [20] *ἀναλύσεις S ἀναλύσας L* ‖ [20]–255,[10] *ἵνα - δαπ.] δέξῃ τὴν λαμπάδα μου ἐξημμένην φαιδρῶς καὶ μὴ ἴδω αὐτὴν ἀμαυρωθεῖσαν τοῦ ἐλαίου καὶ πλανηθῶ LS*

ἐλαίου σπάνει κινδυνεύοντα ἀποσβεσθῆναι. οἱ ὀφθαλμοί μου ἀποβλεπέτωσάν σε καὶ ἡ καρδία μου χαιρέτω, ὅτι σοῦ τὴν βουλὴν ἐπλήρωσα καὶ τὸ πρόσταγμά σου ἐτελείωσα. ἰδέ σου τὸν δοῦλον ἐνεργὸν καὶ εὐλαβῆ πῶς οὐ καταφρονεῖ λαμπρᾷ σπουδῇ χρώμενος. ὅλην τὴν νύκτα ἐπαγρυπνῶν ἔκαμον ἀπὸ τῶν ληστῶν τὴν οἰκίαν μου φυλάσσων μή πως διορύξωσιν.

147 μηδὲ γενέσθωσάν μου λοξαὶ αἱ αὔλακες. αἱ ἄρουραί μου ἐλευκάνθησαν· θερισμὸν προσδέχονται.

δέξηται αὐτὸν καὶ μὴ ἴδω αὐτὸν ἀμαυρωθέντα τοῦ ἐλαίου δαπανηθέντος. οἱ ὀφθαλμοί μου Χριστὲ σὲ καθορῶσιν καὶ ἡ καρδία μου ἐν χαρᾷ ἀγαλλιᾶται τελέσαντός μου τὸ θέλημά σου καὶ τὰς ἐντολάς σου τελειώσαντος, ἵνα ἐξομοιωθῶ δούλῳ γοργῷ καὶ εὐλαβεῖ ὃς διὰ τῆς ἑαυτοῦ προθυμίας οὐκ ἀμελεῖ τῆς ἀγρυπνίας. πᾶσαν τὴν νύκτα ἔκαμον τοῦ φυλάξαι τὸν οἶκόν μου ἀπὸ τῶν ληστῶν | ἵνα μὴ διορυγῇ. 91 B

147 τὴν ὀσφύν μου ἐν ἀληθείᾳ περιέσφιγξα καὶ τοῖς ποσί μου τὰ ὑποδήματα ἔδησα, ἵνα μὴ δι' ὅλου χαυνωθέντα ἴδω αὐτά. τὰς χεῖράς μου ἐπέθηκα τῷ ἀρότρῳ τῷ ζευκτῷ καὶ εἰς τὰ ὀπίσω οὐκ ἀπεστράφην, ἵνα οἱ αὔλακες μὴ σκαμβασθῶσιν. ἐλεύκανεν ἡ ἄρουρα καὶ ἐπέστη ὁ θερισμός, ἵνα τὸν μισθόν μου ἀπολάβω. τὸ ἔνδυμά μου τὸ παλαιούμενον ἐπα-

[3] cf Matth 24, 25 || [5] cf Matth 24, 42 || [7] et [18] Luc 9, 62 || [7] cf Io 4, 35 || [16] cf Isai 5, 27 Luc 12, 35 Eph 6, 14; 15

U [3] *εἴ δὲ U* || [4] *πῶς] scr ὅς??* || [7] *μηδὲ et q s] cf 18*

PQ. Σ (Σ = FLS) [10] *οἱ - καθ.] οὐκ ἐνύσταξα ῥαθυμήσας τηρῶν τὰς ἐντολάς σου Σ τῷ πρωθύπνῳ καὶ τῷ μεσονυκτίῳ καὶ τῇ ἀλεκτοροφωνίᾳ (cf eu Marci 13, 35) ὅπως οἱ ὀφθαλμοί μου ἐν καθαρῷ ὦσιν add (LS): cf 256, 4* || *Χρ. om* ſ: *del?* || *καθ.]* uideant ſ: *cf 253, 20* || [10–12] *καὶ ἡ - τελει. om F* || [11] *ἐν om LS* || *ἀγαλλιάσεται LS* || [12] *σου τελ.] μου τελ. S μου add LS* || *ἵνα om* ſ: *scr καὶ??* || [13] *πιστῷ κ. φρονίμῳ Σ* || [13–14] *ὃς - ἀγρ. om S* || *οὐκ - ἀγρ.] καὶ ἀγρ. οὐκ ἀμελῶ (ἀμελῶν L) τῶν συνδούλων FL* || [14] *τ. φ.* (ſ)] *φυλάσσων Σ: recte?? cf 6* || [14–15] *τ. ο. μ. om Σ* || [15] *διορ.] ἡ οἰκία μου add Σ* || [16] *περ. ἐν ἀλ. FL(S)* || [17] *ἔδ. om Σ ὑπέδησα Vsener recte ut uid* || [17–18] *ἵνα - αὐτά]* corrigias eorum ne uideam solutas ſ ne diffunderentur uestigia m || [17] *δι' ὅλ. om Σ* || [18] *τῷ prius om P ἐν τῷ LS* || [18–19] *τῷ ζ. - ἀπεστρ.] βλέπων εἰς τὰ ἔμπροσθεν τοῦ ζευκτοῦ Σ* || [18] *τῷ ζ. om* ſ: *del? cf Burkitt l s (100, 4) p 285* || [19] *οἱ - σκ.] τοὺς αὔλακας ὀρθοὺς ἑλκύσω FL(S)* || [21] *ἀπολ.] πλήρης λάβω Σ* || [21]–256,[4] *τὸ ἔ. - ἐτέλ. om F* || [21] *παλ. ἐπ.* (ſ)] *παλαιωθὲν ἀνενέωσα PQ*

282 W 148 *μὴ βλάψωσιν οἱ κακοὶ καὶ ὀκνηροὶ καὶ πονηροὶ τὸν ἐπιεικῆ καὶ δοῦλον καὶ εὐκαταφρόνητον ὄντα· μέγαν καὶ*

λαίωσα καὶ τὸν κάματον τῶν καμάτων τὸν ἀγαγόντα με εἰς τὴν ἀνάπαυσιν ἐτέλεσα. ἐτήρησα τὴν πρώτην φυλακὴν καὶ τὴν δευτέραν καὶ τὴν τρίτην, ἵνα τὸ πρόσωπόν σου θεάσωμαι καὶ προσκυνήσω τὸ ἅγιόν σου ἀπαύγασμα. ἐξερίζωσα τοὺς χειρίστους καὶ ἐρήμους κατέλιπον ἐπὶ τῆς γῆς, ἵνα ἀπὸ τῶν σῶν θησαυρῶν ἐμπλησθῶ. τὴν ἐν ἐμοὶ πηγὴν κάθυγρον ἐξήρανα, ἵνα τὴν ἀνέκλειπτόν σου πηγὴν ζήσας ἀναπαῶ. τὸν δέσμιον ὅν μοι παρέδωκας ἐφόνευσα, ἵνα ὁ ἐν ἐμοὶ λελυμένος μὴ ἐκπέσῃ τῆς πεποιθήσεως αὐτοῦ. τὸν ἐντὸς ἐκτὸς πεποίηκα καὶ τὸ ἐκτός, καὶ πᾶν σου τὸ πλήρωμα ἐν ἐμοὶ ἐπληρώθη. εἰς τὰ ὀπίσω οὐχ ὑπέστρεψα, εἰς δὲ τὰ ἔμπροσθεν προέβην, ἵνα μὴ ὄνειδος γένωμαι. τὸν νεκρὸν ἐζωοποίησα καὶ τὸν ζῶντα ἐνίκησα καὶ τὸ ὑστερούμενον ἐπλήρωσα, ἵνα δέξω-

[4] cf Luc 12, 38

U [1–2] *μὴ - ἐπ.*] *al* ſ: *cf 257, 12 - 13* ‖ [2–257,1] *κ. δ. - τολμ.*] nec seruus et sordidus et magnus qui effertur audebit ſ: *cf 257, 13*

PQ. Σ (Σ = FLS) [3–4] *κ. τ. κ. - ἐτέλ.*] *ἵνα τὸν καινούμενον ἄνθρωπον παραστήσω ἄμεμπτον LS* ‖ [3] *τῶν καμ. del* (*dittogr*) ‖ *scr ἄγοντα* (*del με*)? (ſ) ‖ [4] *ἐτήρ. om FLS* ‖ *παραφυλακὴν Σ* ‖ [5] *τρ.*] *ἀκριβῶς ἐφύλαξα add Σ* ‖ [6–7] *ἐξερ. - κατ.*] dirui horrea mea et destruxi ſ ‖ [7] *χειρ. - κατέλ.*] *θνητοὺς θησαυροὺς FL(S)* ‖ *χειρ. corrupt uid* ‖ *ἐρ.*] *καὶ add P* ‖ *κατ.*] *αὐτοὺς add P* ‖ [7–8] *ἵνα - ἐμπλ.*] accipiam a thesauro tuo non deficiente ſ ‖ [7] *ἀπὸ om Σ: cf 252, 19* ‖ [8] *σῶν*] *αἰωνίων σου L οὐρανίων σου FS: scr ἀπεράντων uel ἀνελλιπῶν* (*ἀνεκλείπτων?? cf 9*) *σου??* ‖ *ἐμπλ.*] *τὰ ὑπάρχοντά μου* (*μοι S: cf 178, 21*) *πάντα ἐπώλησα ἵνα σὲ τὸν μαργαρίτην κερδήσω add Σ: cf eu Matth 13, 46* ‖ [8–9] *τὴν - ἀναπ. om F* ‖ *κάθ. - πηγὴν om PQ* ‖ [8] *scr κάθυδρον??* ‖ [9] *ἵνα* <*παρὰ*>? (ſ) *cf L* ‖ *τῇ ἀνεκλείπτῳ L πηγῇ L* ‖ *ζήσ.*] *τῆς ζωῆς PQ* (*fort recte*) uiuum ſ: *scr ζῶσαν?? cf 168, 15* ‖ *ἀν.*] *ἐπαναπαύων σε PQ* ‖ [10] *παρ. μοι Σ* ‖ *ἵνα ὁ*] *ὁ δὲ PQ* ut m: *cf 5; 7; 9; 14; 15; 255, 17; 19; 20* (*at 12 καὶ 257, 8 δὲ*) ‖ [11] *αὐτοῦ om Σ* ‖ [11–12] *τὸν - τὸ ἐ.*] *ταῦτα διὰ τοῦ ἐντὸς ἀνθρώπου καὶ διὰ τοῦ ἐ. LS om F* ‖ [11] *τὸν*] *τὸ Lipsius I p 330* ‖ [12] *scr τὸν ἐκτὸς* <*ἐντὸς*>? (ſ) *τὸ ἐκτὸς ἐντὸς Lipsius I p 330* ‖ *κ. πᾶν - ἐπλ.*] *τὸ θέλημά σου ἐποίησα Σ* ‖ *scr πληρωθῇ?* (ſ) ‖ [13] *οὐκ Σ* ‖ *ἀπέστρεψα*] *LS ἀπεστράφην F: cf 255, 19* ‖ *εἰς δὲ*] *scr οὐδὲ εἰς??* (ſ)

PQ. Σ (Σ = FLSZ) [14–257,8] *τὸν - τελ. om F* ‖ [14] *ἐζ.*] *ἐζώωσα Z ἐξέωσα LS* <*οὐκ*> *ἐζ.??* (ſ) non uiuificaui m: *cf Lipsius I p 330* [14–257,12] *κ. τ. ζ. - ἀπαιτ. om Z*

PQ. Σ (Σ = FLS) [14–15] *κ. τ. ζ. ἐ. om PQ* m ‖ [15] *scr* <*οὐκ*> *ἐνέκρωσα??* (ſ) ‖ *κ. τὸ ὑ. ἐπλ. om LS* nec deficientem repleui m ‖ *scr τὸν?* <*οὐκ*> *ἐπλ.??* (ſ m)

ὑψούμενον οὐ τολμήσουσιν ἀντιστῆναι διὰ τὴν δύναμίν σου Ἰησοῦ τὴν περιέχουσαν. φεύγουσιν δὲ καὶ κρύπτονται, ἐπειδήπερ οὐδὲ ἀντιβλέψαι δύνανται. ὅπως δὲ καὶ αἰφνίδιον ἐμπίπτουσιν τοῖς αὐτοῦ ὑπηκόοις. ἡ τούτων τῶν πονηρῶν παίδων μερὶς βοᾷ καὶ μηνύει· διὸ οὐδεὶς αὐτοὺς λαθεῖν δύναται. παρέλθοιμι μετ' εἰρήνης τῶν χορῶν αὐτῶν, συμ- 283 W

μαι τῆς νίκης τὸν στέφανον καὶ ἡ ἐξουσία τοῦ Χριστοῦ ἐν ἐμοὶ τελεσθῇ. ὀνειδισμὸν ἐδεξάμην ἐπὶ τῆς γῆς, τὴν δὲ ἀμοιβὴν καὶ τὴν ἀντιμισθίαν δίδου μοι ἐν οὐρανοῖς.

148 *μὴ αἴσθωνταί μου αἱ δυνάμεις καὶ οἱ ἐξουσιασταί, καὶ μηδὲν περὶ ἐμοῦ ἐνθυμηθῶσιν· μὴ ἰδόντες με οἱ τελῶναι καὶ οἱ ἀπαιτηταὶ ἐν ἐμοὶ πραγματεύσωνται. μή μου καταβοήσωσιν οἱ* | *ἥττονες καὶ πονηροὶ καὶ ἀνδρείου καὶ ἐπιεικοῦς·* 92 B *καὶ ἀναβιβαζομένου μὴ ἀνανεύσωσιν ἔμπροσθέν μου στῆναι διὰ τὴν σὴν δύναμιν Ἰησοῦ τὴν περιστεφανοῦσάν με· φεύγουσιν γὰρ καὶ κρύπτονται· ἀντιβλέψαι σε οὐ δύνανται. αἰφνιδίως γὰρ ἐμπίπτουσιν τοῖς ὑπηκόοις αὐτῶν· ἡ δὲ μερὶς τῶν υἱῶν τοῦ πονηροῦ αὐτὴ βοᾷ καὶ ἐλέγχει αὐτούς.*

U ² *περ.* ⟨*με*⟩? ‖ ³ *ὅπ.*] *scr ὑπούλως?* (ſ) ‖ ⁴ *scr αὐτῶν?* ‖ ⁶ *scr χωρῶν?*

PQ. Σ (Σ = FLS) ⁷ *τ. στ. τ. ν. LS* ‖ ⁷⁻⁸ *κ. ἡ - τελ.*] *κ. αἱ ἐντολαί σου ἐν ἐ. πληρωθῶσιν LS* rectorem utriusque mundi (?) ſ ‖ ⁸ *ὀν.*] *μετὰ χαρᾶς add Σ* ‖ ⁸⁻⁹ *τ. δὲ - οὐρ.*] ut in caelo remunerationem sperarem m: *cf 256, 10* ‖ *τ. δὲ ἀμ. κ. om Σ* ſ: *cf 149, 18* ‖ ⁹ *δίδ. μοι*] *ἀπεκδεχόμενος Σ* (*cf* m) fac mihi ſ ‖ *ἐν*] *τοῖς add Σ: recte? cf 196, 7?* ‖ ¹⁰ *μὴ - δυν. κ. om FS* ‖ ¹⁰⁻¹¹ *οἱ - ἐνθ.*] *ἵνα μηδὲν ἐνθ. π. ἐ. οἱ ἐξ. Σ* ¹¹ *καὶ del?* (ſ) ‖ *μηδὲν*] *μὴδὲ Q* ‖ *μὴ ἰδ. με*] *καὶ Σ* ‖ *οἱ om LS* ‖ *τελ.*] *ἢ* (*om F euan L καὶ add L*) *κατ' ἐμοῦ εὕρωσιν* (*ἐρῶσιν S*) *τι add Σ: cf 258, 19* ‖ ¹² *οἱ om P euan L* ‖ *ἀπατηταί: PQ cf 281, 11*

PQ. Σ (Σ = FLSZ) ¹² *ἐν*] *μηδὲν ἐν Σ καὶ ἐν P* ‖ *μου*] *μοι Z om PQ euan L* ‖ ¹³ *ἡττόντες P ἡγεμόνες τοῦ δράκοντος FLS ἡγεμῶνα τοῦ ᾅδου Z* abiecti ſ ‖ *post ἥττονες deficit Q*

P. Σ (Σ = FLSZ) ¹³ *κ. πον. - ἐπ. om Σ* ‖ *καὶ ἀνδ.*] *scr τοῦ ἀνδ.?* (ſ) ‖ ¹⁴ *ἀναβ.*] *πρὸς σὲ ἀναφερομένου μου FLS(Z): cf 256, 2 - 257, 1* ‖ *ἀναλεύσονται Z ἀνελεύσονται FL ἐλεύσονται S* audeant ſ: *scr κινδυνεύσωσιν??* ‖ *βῆναι P* ‖ ¹⁵ *Ἰ. om Σ* ‖ *σκέπουσάν Σ* ‖ ¹⁵⁻¹⁶ *φεύγ. - δύν.*] *καὶ* (*om LS*) *φύγωσιν ἀπ' αὐτῆς κρυπτόμενοι* (*κρ. ἀ. α. LS κρυπτωμένου ὑπ' α. Z*) *Σ* ‖ ¹⁶ *κρ.*] *οἱ ὑπὸ τὴν ὑπακοήν σου μὴ γενόμενοι add P κρ.* ⟨*ὅτι*⟩*??* ‖ *οὐ* (*μὴ LS*) *δυνάμενοι ἀντιβλ.. FLS om Z* ‖ ¹⁷ *αἰφν. - αὐτ. om P* ‖ *ἐμπίπτωσι S ἐπιπίπτουσιν F ὑπὸπήπτουσιν Z* ‖ ¹⁷⁻¹⁸ *ἡ - υἱ. om Z* ‖ ¹⁷ *δὲ*] *γὰρ FLS* ‖ ¹⁸ *τ. υἱ.*] *αὐτῶν FLS* ‖ *τ. π.*] meorum ſ ‖ *α. β.*] *ἐστὶν Σ* ‖ *ἐλ. α.*] apparet ſ

παρούσης μοι τῆς εἰρήνης καὶ χαρᾶς· πάντα δὲ ἐπὶ τοῦ κριτοῦ ὁ διάβολος μὴ ἴδοι, ἀλλ' ἀμαυρωθείη τοὺς ὀφθαλμοὺς διὰ φωτὸς ὅπερ ἀνιδρύσειας· καὶ φραγήτω αὐτοῦ τὸ βλάσφημον στόμα· μηδ' ὅ τι οὖν κατ' ἐμοῦ ἔχει βλάβην.

149 *Ἔλεγεν δὲ λυθεὶς τοῖς περὶ αὐτὸν οὖσιν ἕτερα· Πιστεύσατε τῷ σωτῆρι τῶν κεκοπιακότων τῇ πρὸς αὐτὸν λατρείᾳ. ἐμοῦ γὰρ ἤδη τέθηλεν ἡ ψυχή, ὅτι μου ὁ καιρὸς ἐγγὺς ἀπολαβεῖν αὐτόν· ὡραῖος γὰρ ὢν προσάγει με λέγειν ἀεὶ περὶ τοῦ αὐτοῦ κάλλους ὁποῖόν ἐστιν, μὴ δυνάμενον μηδὲ χωροῦντα κατ' ἀξίαν εἰπεῖν· νοῶν φέγγος τῆς ἐμῆς πενίας καὶ πληρωτὴς τῶν ἐμῶν ὑστερημάτων καὶ τροφεὺς τῆς ἐμῆς ἐνδείας· σὺ ἔσο μετ' ἐμοῦ ἕως ἂν ἔλθω καὶ ἀπολάβω σε εἰς αἰῶνα αἰώνων.*

ἀλλ' οὔτε κρύπτεται ἐξ αὐτῶν· ἡ γὰρ φύσις αὐτῶν γνωρίζεται· ἀποχωρίζουσιν οἱ τοῦ πονηροῦ παῖδες. παράσχου οὖν μοι κύριε ἵνα ἐν ἡσυχίᾳ παρέλθω καὶ χαρᾷ καὶ εἰρήνῃ ὑπερβήσομαι καὶ στῶ ἔμπροσθεν τοῦ δικαστοῦ. καὶ ὁ διάβολός με μὴ ἐπίδῃ· οἱ ὀφθαλμοὶ αὐτοῦ πηρωθῶσιν διὰ τοῦ σοῦ φωτὸς οὗ ἐν ἐμοὶ κατεσκήνωσας· φιμώσῃς αὐτοῦ τὸ στόμα· οὐδὲν γὰρ κατ' ἐμοῦ εὗρεν.

U [3] *⟨τοῦ σοῦ⟩ φωτὸς?* (ʃ) ‖ *scr ἐνίδρυσας? cf 19* ‖ [4] *scr βλάβης??*

[5–13] *ἔλ. - αἰώνων om P: cf praef*

U [5] *λυθεὶς] scr αὖθις?* (ʃ) ‖ *ἕτ.] scr Τέκνα?* (ʃ) ‖ [6] *πιστ.] non nulla add* ʃ ‖ [9] *scr κάλλους αὐτοῦ??* ‖ [10] *νοῶν] scr ὁ ὤν?* (ʃ) ‖ *φ.]* altor ʃ: *scr βοσκὸς???* ‖ [12] *ἕως ἂν] scr ἕως ⟨τέλους⟩ ἵνα??* (ʃ) ‖ [12–13] *εἰς αἰ. αἰ. del?* (ʃ)

P. Σ (Σ = FLSZ) [14] *ἀλλ' - αὐτῶν om S* ‖ *οὔτε] scr οὐδεὶς* (ʃ)? *cf 257, 5* ‖ *ἡ - γν.] τὴν γὰρ αὐτῶν φύσιν P: cf Anz l s (233, 22) p 37* ‖ [15] *ἀποχ. - παῖδες om Σ* ‖ *scr ἀποχωρίζονται??* (ʃ?) ‖ *παρ. - κύρ.] σκέπασόν με ἰησοῦ FLS(Z)* ‖ [16] *καὶ ⟨ἐν⟩ χ.?* ‖ *ὑπερβ. om Σ: del?* ‖ [17] *καὶ prius] ἵνα Σ fort recte* ‖ *στῶ] ἐν παρρησίᾳ add FLS* ‖ *τ. δικ.] σου Σ* gloria tua ʃ: *cf 1 et Anz l s (14)* ‖ *διάβ.] cf Anz l s (14)* ‖ [17–18] *με μὴ ἐπ.] εἰς ἐμὲ μὴ ἀπίδῃ FL(SZ)* in me non intendat m *ἀλλ' add FLS fort recte: cf 2* (ʃ) ‖ [18] *τούτου οἱ ὀφθ. P* ‖ [18–19] *φ. - κατ.] ἐν ἐ. φ. λάμποντος (F)LS(Z) οὗ ἕνεκεν ἐν ἐμοὶ κατῴκησας add FL* ‖ [19] *οὗ - κατ.]* in qua habito ʃ (*Wright:* quam in me panxisti *e cod Sin Burkitt l s [241, 21]*) ‖ [19–20] *φιμ. - εὗρεν om Z* ‖ [19] *φιμώσει P* conticescat m ‖ *α. τὸ στ.] τὸ στ. τοῦ διαβόλου FLS*

Πρᾶξις ιγ' ὅτε Οὐαζάνης λαμβάνει τὸ βάπτισμα μετὰ τῶν λοιπῶν.

150 Οὐαζάνης δὲ ὁ νεανίσκος ἐδέετο τοῦ ἀποστόλου (78 B) λέγων· Δέομαί σου ἄνθρωπε ἀπόστολε τοῦ θεοῦ, συγχώρησόν μοι ἀπελθεῖν, καὶ πείσω τὸν δεσμοφύλακα ἵνα σοι συγχωρήσῃ ἐλθεῖν οἴκαδε μετ' ἐμοῦ, ὅπως διὰ σοῦ λάβω σφραγῖδα, καὶ γένωμαι ὑπηρέτης σου καὶ φύλαξ τῶν ἐντολῶν τοῦ θεοῦ οὗ σὺ κηρύσσεις. καὶ γὰρ πρότερον ἐν οἷς σὺ διδάσκεις ἀνεστρεφόμην, ἕως οὗ ὁ ἐμὸς πατὴρ βιασάμενός με γυναικὶ συνῆψεν Ἀνισάρᾳ λεγομένῃ· ὧν γὰρ πρώτου καὶ εἰκοστοῦ ἔτους ἕβδομον ἤδη ἐνιαυτὸν ἔχω γαμήσας· πρὸ τοῦ δὲ συναλλάξαι 284 W γάμῳ ἄλλην οὐκ ἐγίνωσκον γυναῖκα· διὸ καὶ ἄχρηστος τῷ πατρὶ ἐνομιζόμην· οὐδέ ποτε οὔτε υἱὸς οὔτε θυγάτηρ γέγονέν μοι ἐκ τῆς γυναικὸς ταύτης· ἀλλὰ καὶ ἡ γυνή μου αὐτὴ ἐν σωφροσύνῃ συνέζησέν μοι τὸν χρόνον τοῦτον, καὶ σήμερον εἰ

PUV [1–2] Πρ. - λοιπ.] περὶ τοῦ βαπτίσματος τοῦ ἰουζάνου (cf 3) καὶ περὶ τῆς τελευτῆς τοῦ ἁγίου V (cf 197, 10) om P ‖ [3] ἰουζάνης V constanter fere sed cf 263, 2; 264, 4; (265, 14 R): uerum esse Γουζάνης suspicatur S Lévi Journ Asiat IX (1897) p 39 ‖ δὲ] τότε add U ‖ νεαν.] υἱὸς τοῦ βασιλέως μισδαίου et add ἐπίστευσεν τῷ ἀποστόλῳ τὰ κηρυττόμενα <περὶ??> τοῦ σωτῆρος χριστοῦ καὶ V ‖ ἐδεήθη UV: cf 167, 15 ‖ τ. ἀπ.] αὐτοῦ V eum ſ ‖ [4] ἄνθ. om P: ἄνθ. <ἅγιε>? (ſ) ‖ τ. θ. ἀπ. U ‖ ἀπόστ. del? cf 152, 7; 155, 21 ‖ [5] π. τ. δ.] τ. δ. εἴπω P ‖ σε UV ‖ ἀπολύσει UV permittant ſ ‖ [6] ο. μ. ἐ. ἐλθ. V μ. ἐ. ο. ἀπελθεῖν P ‖ ὅπ. - σφ.] et dabis mihi signum uitae ſ ‖ ὅπ.] τὴν ἐν χριστῷ add P: cf 231, 16 ‖ διὰ σοῦ om UV ‖ λ.] τὴν ἐν χριστῷ add V ‖ [7] σ. ὑπ. γενήσομαι P: cf 114, 3 ‖ ὃν P ‖ [8] οἶδας κηρύττειν P: cf 139, 4 ‖ κ. γ.] καὶ add V ‖ ἐν - διδ.] κατὰ τὸ σὸν P ‖ ἀνέστρεφον V (cf 162, 23; 225, 19) ἀνεστράφην ἐγὼ κήρυγμα add P ‖ [9–10] συνῆψε γυν. ἀνησάρα V ‖ [10] scr Μνησάρᾳ? Μνασάρᾳ?? cf 10; 11; 263, 8; 9; 10 ‖ ἔτ.] ἔγημαι τῇ προειρημένῃ ὡς εἶπον σοι ἀνισάρα add P ‖ [11] ἤ. - γαμ.] ἔχω ἤ. ἐν. συναφθεὶς V δὲ μετὰ τοῦτο κατέλαβον ἐν. ἀφ' οὗ καὶ τὴν σισάρα ἔσχον γυναῖκαν (ν inductum) P ‖ δὲ τοῦ U ‖ [11–12] σ. γ.] ταύτην λαβεῖν με P ‖ [12] ἄ. ο. ἐγ.] οὐ πρὸς (οὔ πως Vsener) ἑτέραν γινώσκω ἔχειν P ‖ γυναῖκαν V ‖ [12–14] διὸ - ταύτης] ἀλλ' ἰδοὺ καὶ χρόνος ἤδη πεπέρακεν καὶ οὐ τὸ σύνολον μεταὐτῆς συγκαθεύδηκα P iam dudum praeterea a concubitu uxoris abstinebat m ‖ [13] οὔτε prius] δὲ V ‖ [14] ἀλλὰ] οὐ μὴν ἀλλὰ U: cf 236, 6 et 213, 26 ‖ ἡ γ. μ. om P ‖ αὕτη V: recte?? ‖ [15] συν. - χρ.] ὅλον τ. χρ. συνζῇ μοι τὸν ὡς εἶπόν σοι ὅλον ἐνιαυτόν P ‖ τ. χρ. τ.] τ. χρ. ὅλον V hos annos ſ ‖ [15–260, 2] κ. σήμ. - ἀλλ'] ἀλλὰ καὶ τῶν σῶν καὶ αὐτὴ ἀπηκροῶτο ῥημάτων (cf 249, 20) καὶ σὺν ἐμοὶ καὶ αὐτὴ τῷ θεῷ σου πεπίστευκεν καὶ οὐκ οἶδ' ὅπως P ‖ [15] κ. σήμ. om V ‖ καὶ om U

ὑγιὴς ἐτύγχανεν καὶ παρὰ σοῦ ἀπηκροάσατο, οἶδα ὅτι κἀγὼ ἀνεπαυόμην καὶ αὐτὴ αἰωνίαν ζωὴν ἀπελάμβανεν· ἀλλ᾽ ἐν κινδύνῳ καὶ ἐν κακώσει πολλῇ ἐξετάζεται. πείθω τοίνυν τὸν φύλακα ἐάν μοι ὑποσχῇ ἐλθεῖν μετ᾽ ἐμοῦ· ἰδίᾳ γὰρ κατ᾽ ἐμαυτὸν οἰκῶ· καὶ ἅμα θεραπεύεις τὴν ἀθλίαν ἐκείνην. Ἀκούσας δὲ ταῦτα Ἰούδας ὁ ἀπόστολος τοῦ ὑψίστου εἶπεν τῷ Οὐαζάνῃ· Εἰ πιστεύεις, ὄψει τὰ θαύματα τοῦ θεοῦ καὶ πῶς σῴζει τοὺς αὐτοῦ δούλους.

151 *Διαλεγομένων δὲ αὐτῶν ταῦτα Τερτία καὶ Μυγδονία καὶ Μαρκία ἐν τῇ θύρᾳ ἵσταντο τοῦ δεσμωτηρίου, καὶ δοῦσαι τῷ δεσμοφύλακι τριακοσίους ἑξήκοντα τρεῖς στατῆρας*
79 B *ἀργυρίου εἰσῆλθον πρὸς τὸν Ἰούδαν· καὶ εὗρον τὸν Οὐαζάνην καὶ τὸν Σιφόρα καὶ τὴν γυναῖκα αὐτοῦ καὶ τὴν θυγατέρα καὶ πάντας τοὺς δεσμώτας καθημένους καὶ τοῦ λόγου ἀκούοντας. καὶ ὡς ἔστησαν πρὸς αὐτὸν εἶπεν αὐταῖς· Τίς ὑμῖν συνεχώρησεν ἐλθεῖν πρὸς ἡμᾶς; καὶ τίς ὑμῖν ἤνοιξεν τὴν ἐσφραγισμένην θύραν τοῦ ἐξελθεῖν; Λέγει αὐτῷ Τερτία· Οὐ σὺ ἀνεπέτασας τὰς θύρας ἡμῖν εἰπὼν εἰσελθεῖν εἰς τὸ δεσμω-*

---

[1] *π. σοῦ] scr ⟨τὰ⟩ π. σοῦ ⟨λεγόμενα⟩? (cf 218, 2)* sermonem tuum ſ sermonem Thomae m ‖ *ἠκροάσαντο V (scr ἠκροάσατο? ἀπ ex ἂν falso inserto) τὸν λόγον τοῦ θεοῦ add V* ‖ [3] *ἐν om V* ‖ *π. τοίν.] ἐὰν τοίν. ὑπόσχῃ τοῦ ἐλθεῖν σε μετ᾽ ἐμοῦ π. V καὶ εἰ κελεύεις π. P: cf 4* ‖ [3–4] *τ. φρουρὸν UV* custodes hominum in carcere inclusorum ſ: *scr τοὺς δεσμοφύλακας uel τὸν δεσμοφύλακα? cf 11; 228, 15; 259, 5; 262, 13; 263, 4 (sed 261, 6 τ. φ.) τοῦ add V ἀπολῦσαι σε add UV μαι (expunctum) τῶν δεσμῶν add V* ‖ [4] *ἐάν - ἐμοῦ om PV: cf 3* ‖ [4–5] *ἰδ. - οἰκ.] καὶ κατὰ τὴν ἐμὴν ἀγαγῶ σε οἰκίαν P* ‖ [5] *κ. σὺν ἐμοὶ καὶ τ. ἀθλ. θεραπεύσεις ἐκ. P* ‖ [5–6] *ταῦτα ὁ ἀπ. τ. ὑ. ἀκ. (om δὲ et Ἰ.) P* ‖ [6] *Ἰ. om V* ‖ *ὑψ.] χριστοῦ V: cf 156, 13; 162, 5; 165, 13; 193, 2* ‖ [7] *εἰ] τέκνον (recte?? cf 153, 5; 167, 9; 237, 6) εἰ ὀρθὸς V* mi fili si ſ ‖ *θεάσει UV: cf 186, 4* ‖ *θ. τ. θ.] παράδοξα τ. θ. U τ. χριστοῦ παράδοξα τέρατα V* miracula dei nostri ſ mirabilia dei m: *scr θαυμάσια τ. θ.? cf 108, 11* ‖ *καὶ om U* ſ: *del?* ‖ [7–8] *σ. τ. α.] οἶδεν τ. α. σώζειν P: cf 139, 4* [9] *καὶ] ἡ add U* ‖ *μαγδονία V: cf 283, 9* ‖ [10] *παρίσταντο P* ‖ [10–11] *τρι. ἑ. τρεῖς τῷ δ. στ. παρέξασαι (cf 261, 6) P* ‖ [10] *δώσασαι V* ‖ [11] *τριακοσίας U* | *τρεῖς om* ſ m ‖ [12] *Ἰ.] ἀπόστολον τοῦ χριστοῦ θωμᾶν V ἐν τῇ εἱρκτῇ add V: cf 290, 20* ‖ [13] *σιφόραν (ν deletum) P* ‖ *θυγ.] αὐτοῦ add UV: cf 240, 16* ‖ [14] *τ. λ.] αὐτοῦ add V* Iudan ſ ‖ [15] *ἔστ.]* ipsae tres *add* ſ m ‖ [16] *ἐ.] εἰσελθεῖν P ἐ. sup scr εἰς U* uenire ſ: *cf 18* ‖ [16–17] *καὶ - ἐξ.] τῶν θυρῶν τῆς φυλακῆς κεκλεισμένων P* ‖ [16] *καὶ] ἢ V* ‖ [17] *ἐσφ.] ἐκείνην add V* ‖ *τ. ἐξ.]* coram uobis ſ ut egrederentur de loco in quo clausae fuerant m ‖ *τοῦ] μὴ U* ‖ *ἐξ.] ἡμᾶς add U* ‖ [18] *εἰσ. εἰπ. P* ‖ *scr ἐλθεῖν?* (ſ) exite et ite m: *cf 16*

τήριον, Ἵνα τοὺς ἀδελφοὺς ἡμῶν τοὺς ἐκεῖ παραλάβωμεν καὶ 285 W
τότε ἐνδείξηται ὁ κύριος τὴν δόξαν αὐτοῦ ἐν ἡμῖν; Καὶ πλησίον τῆς θύρας γενομένων ἡμῶν οὐκ οἶδα πῶς ἐχωρίσθης ἀφ' ἡμῶν καὶ ἀποκρυβεὶς ἡμᾶς προῆλθες ἐνθάδε, ὅπου καὶ τοῦ ψόφου τῆς θύρας ᾐσθόμεθα, σοῦ ἀποκλείσαντος ἡμᾶς. δοῦσαι τοιγαροῦν χρήματα τοῖς φύλαξιν εἰσήλθομεν· καὶ ἰδοὺ πάρεσμεν δεόμεναί σου ὅπως πεισθέντα σε φυγαδεύσωμεν ἕως οὗ λήξει ὁ τοῦ βασιλέως εἰς σὲ θυμός. Πρὸς ἣν ὁ Ἰούδας· Διήγησαι πρότερον ἡμῖν πῶς συνεκλείσθητε.

152 Καί φησιν αὐτῷ· Σὺ μεθ' ἡμῶν ἦς καὶ οὐδέ ποτε ἀπελείφθης ἡμῶν πρὸς ὥραν μίαν, καὶ ἐρωτᾷς ποίῳ συνεκλείσθημεν τρόπῳ; ἀλλ' εἰ ἀκοῦσαι ποθεῖς, ἄκουσον. μεταπεμψάμενός με ὁ βασιλεὺς Μισδαῖος ἔλεγέν μοι ὅτι Οὐδέπω σου περιγέγονεν ὁ μάγος ἐκεῖνος, ἐπειδήπερ ὡς ἀκούω ἐλαίῳ καὶ ὕδατι καὶ ἄρτῳ τοὺς ἀνθρώπους μαγεύει, καὶ σὲ οὐδέπω ἐγοήτευσεν· ἀλλὰ πείσθητί μοι· ἐπεὶ σὲ μὲν ἐγκλείσας συντρίψω, ἐκεῖνον δὲ ἀπολέσω· οἶδα γὰρ ὅτι ἐὰν οὐδέπω σοι ἔλαιον καὶ ὕδωρ καὶ ἄρτον ἐπέδωκεν, περιγενέσθαι σου οὐκ ἴσχυσεν.

---

[1] ἐκεῖσαι (cf 104, 8) et add ὄντας V: cf 104, 8; 111, 9 ‖ παραβάλωμεν U καταλάβωμεν P suscipiamus m ‖ [1–2] καὶ - ἡμῖν om P ‖ [2] scr ἐνδείξεται? (ſ m) cf 114, 3 ‖ [3] ἡμ. om UV: del?? ‖ [4] κρυβεὶς UV: cf 169, 20; 192, 5 ‖ ἡμᾶς om P ‖ ἐνθ. εἰσῆλθες P ‖ προσήλθας U ‖ [4–5] ὅπου - ἡμᾶς om P ‖ [5] φόβου V ‖ [6] δ. τ. - φ.] ἀλλ' οὖν (recte? cf 237, 3; 244, 2) χρ. τ. φ. δ. P ‖ [6–7] εἰσ. - σου] τοῖς σοῖς κατελάβομεν ἴχνεσιν P ‖ [6] εἰσ.] ἔνδον add V ‖ [8] ὁ τ. β. ε. σὲ λ. P ‖ [8] εἰς σὲ (ſ) om UV m: del?? ‖ πρ. - Ἰ.] καὶ ὁ θωμᾶς πρ. αὐτάς P ‖ Ἰ.] ἀπόστολος εἶπεν V ‖ [9] διήγ.] εἴπατε P ‖ ἡμ. πρ. V ‖ ἡμῖν (ſ) om P ‖ quemadmodum a uiro suo esset inclusa m ‖ συνεκλείθητε U μεθ' ἡμῶν ὧδε add P inepte: cf 11 ‖ [10] κ. φ.] ἡ δὲ ἔφη V κ. λέγουσι P ‖ αὐτῷ] τῷ ἀποστόλῳ P ‖ ἡμ.] πάντοτε add P ‖ ἦσθα UV: cf 228, 5 ‖ [10–11] ο. - μί.] ο. μί. ὥ. τυγχάνειν διέλιπες μεθ' ἡμ. P ‖ [11] ἡμῖν V: ἡμῶν <εἰ μὴ>? (ſ m) ‖ συνελήφθημεν U ὧδέ σοι add P: cf 9 ‖ [12] ἀλλ' - ἄκ. (ſ m)] καὶ λέγει πρὸς τὸν ἀπόστολον ἡ τερτία ἡ τοῦ μισδαίου γυνή P ‖ [13] σμιγδέως V ‖ λέγει P ‖ [14] σοι P: cf 18 ‖ μάγος (m)] φαρμακὸς UV ‖ ἐπ.] καὶ γὰρ P (cf 215, 10): scr ἐπειδὴ? ἐπεὶ? ‖ [14–15] διελαίου κ. ὕδατος κ. ἄρτου περιγίνεται (cf 18) τοῖς ἀνθρώποις καὶ μαγ. P in oleo et aqua et pane magia consumet m ‖ [15–16] κ. σὲ - ἐγ.] καὶ ἐπεὶ τούτων ἀκμὴν ἐξ ἐκείνου οὐ μετέλαβες οὔτε γοητεία πάντως σοι προεχώρησε P ‖ [15] καὶ σὲ] σὲ δὲ V ‖ [16] ἀλλὰ] λοιπὸν οὖν V καὶ δέον P ‖ πεισθῆναι P ‖ [16–17] ἐπεὶ - ἀπ.] me nolle torquere te donec te deleam ſ ‖ [16] ἐπεὶ] εἰ δὲ μή γε P alioquin m: cf 274, 16 ‖ συγκλείσας P: cf 9; 11; 262, 4; 139, 2 al ‖ ἐκθλίψω P ‖ [17] ἐκ.] κακεῖνον P: cf 205, 19 ‖ ἀπολῶ U ‖ [17–18] οἶδα - ἴσχ. om P: cf 14 ‖ [18] ἄρτον] οὐκ add U ‖ ἰσχύει V

Εἶπον δὲ πρὸς αὐτὸν ἐγώ· Τοῦ μὲν σώματός μου ἐξουσίαν
ἔχεις, καὶ πᾶν ὅ τι βούλει πρᾶττε· τὴν δὲ ψυχήν μου οὐ
συναπολέσω σοι. Ἀκούσας δὲ ταῦτα συνέκλεισέν με ἐν οἰκή-
ματι· καὶ ὁ Χαρίσιος δὲ ἤνεγκεν τὴν Μυγδονίαν καὶ κατέ-
286 W κλεισεν αὐτὴν σὺν ἐμοί. καὶ σὺ ἡμᾶς ἐξήγαγες καὶ μέχρι τῶν
ὧδε παρέστησας. ἀλλὰ δὸς τάχιον τὴν σφραγῖδα ἡμῖν, ἵνα
ἐκκοπῶσιν αἱ ἐλπίδες Μισδαίου τοιαῦτα βουλομένου.

153 Ἀκούσας δὲ ταῦτα ὁ ἀπόστολος εἶπεν· Δόξα σοι
πολύμορφε Ἰησοῦ, σοὶ δόξα ὁ φαινόμενος κατὰ τὴν μετρίαν
ἡμῶν ἀνθρωπότητα· σοὶ δόξα ὁ παραθαρσύνων καὶ ἐνδυνα-
μῶν ἡμᾶς καὶ χάριν ποιῶν καὶ παραμυθούμενος καὶ παρι-
στάμενος ἡμῖν ἐπὶ πᾶσι τοῖς κινδύνοις καὶ ἐνδυναμῶν τὴν
ἀσθένειαν ἡμῶν. Λέγοντος δὲ αὐτοῦ ταῦτα ἐλθὼν ὁ δεσμο-
φύλαξ εἶπεν· Ἀπόθεσθε τοὺς λύχνους, ἵνα μή τις ὑμᾶς τῷ
βασιλεῖ διαβάλῃ. Καὶ τότε ἀποσβέσαντες τοὺς λύχνους εἰς
ὕπνον ἐτράπησαν· ὁ δὲ ἀπόστολος τῷ κυρίῳ προσδιελέγετο·
Καιρὸς λοιπόν ἐστιν Ἰησοῦ τῆς σῆς ταχυτῆτος· ἰδοὺ γὰρ οἱ
80 B τοῦ σκότους παῖδες ἐν τῷ αὐτῶν καθιοῦσι | σκότει. σὺ οὖν
ἐν φωτὶ τῆς φύσεως ὢν κατάλαμψον ἡμᾶς. Καὶ ἐξαίφνης
τὸ δεσμωτήριον ὅλον ἔλαμψεν ὡς ἡ ἡμέρα. πάντων δὲ τῶν
ἐν τῷ δεσμωτηρίῳ καθευδόντων βαθεῖ ὕπνῳ μόνοι οἱ πεπι-
στευκότες τῷ κυρίῳ ἐγρηγορότες ἐτύγχανον.

[10] cf Phil 4, 13 Tim 1, 1, 12 ‖ [17] cf thren 3, 6

---

